134. Ἀδήσειεν.] Ἀηδῶς διατεθείη. Ὑπερφιάλοισι.] Ὑπερηφάνοις, ὑβριστικοῖς. Μεμπλῶν.] Σωκλῶν.

135. Ἀποιχομένοιο.] Ἀπόντος, ἀποδημοῦντος. Ἔροιτο.] Ἐρωτήσειε, πυθοίτο.

136. Χέρνιβα.] Τὰ ἐπὶ τῶν χειρῶν ὕδατα. Ἀμφίπολος.] Θεραπαινα, ἀπὸ τοῦ περὶ τὴν δίαιταν πολεῖσθαι, ὅπερ ἐστὶν ἀναστρέφεσθαι. Προχόῳ.] Ἀγγείῳ σφυρικῷ. ἀπὸ δὲ χέειν τὸ ὕδωρ, τῷ καθ' ἡμᾶς ξέειν. Ἐπέχυτο.] Ἐπέβαλλεν.

136. Λεβήτος.] Τοῦ καθ' ἡμᾶς χερνίβου.

138. Ξεστὴν.] Τὴν καλῶς ἐξεσμμένην, ἢ καπεσκευασμένην. Ἐτάνυσσε.] Ἐξέτεινε, παρέθηκε.

139. Αἰδοίη.] Αἰδοῦς ἀξία, τιμία. Ταμίη.] Ταμιοῦχος, φύλαξ.

140. Εἴδατα.] Βρώματα, ἐδέσματα. Χαριζομένη παρεόντων.] Ἐκ τῶν παρόντων ἐποιοῦσα.

141. Δαιτὸς.] Μάγειρος, ὁ διανέμων τὰ κρέα.

142. Παρὰ δέ σφι.] Παρ' αὐτοῖς δὲ.

NOTÆ.

134. Ἀδήσειεν) Cum α' producto, quòd ab ἀηδέω, ut *Eustath.* in locum, fol. 1400. lin. 33. scribitur & cum duplici δ. ut in voce ἀάδδω & ἀάδηκόπος, passim in *Iliade*, quæ correctior esse solet. Vid. infra, ad v. 398.

NOTÆ IN SCHOLIA.

132. Ἀνάκλιντον.] Ità ex eodem MS. pro corrupto ἀνάκλιτον.

138. Ἐξεσμένον καὶ καπεσκευασμένον.) MS. GC. ἐξεσμμένον, ὅπερ ἐστὶ κατεσκευασμένον.

VARIÆ LECTIONES.

131. Ἦεν) χρ. ἦεν, MS. CCC.

134. Ἀδήσειεν) χρ. ἀηδήσειεν & ἀάδήσειεν. Vid. Not. in *Textum*.

Κήρυξ δ' αὐτοῖσιν θάμ' ἐπώχετο οἰνοχοεύων.
Ἐς δ' ἦλθον μνηστῆρες ἀγήνορες· οἱ μὲ ἔπειτα
Ἑξείης ἕζοντο κλισμούς τε θρόνους τέ.
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχυαν·
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο·
[Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι.]
Σῖτον δ' δμωαὶ παρενήνεον ἠνὰ κανέοισιν·
Οἱ δ' ἐπ' ὀνείατ' ἐτοῖμα, πολυκείμενα, χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο
Μνηστῆρες, τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μεμήλει,
Μολπή τ' ὀρχηστύς τε· τὰ γάρ τ' ἀναθήματα δαιτός.
Κήρυξ δ' ἐν χερσὶν κίθαριν πολυκαλλέα θῆκε
[* Φημίῳ, ὅς τέ νυ πολλὸν ἐκαίνυτο πάντας, ἀείδων,]
Φημίῳ, ὅς ῥ' ἤειδε θεοῖς μνηστῆρσιν ἀνάγκῃ.

Præcóque eos sedulò obibat vinum fundens:
Ingressi autem sunt proci superbi, qui quidem continuò
Ordine sedebant per sedilia thronósque:
Hisce quidem Præcones aquam in manus fuderunt;
Puerique crateras coronárunt potu:
Distribueruntque omnibus ordientes poculis.
Panem itidem Ancillæ accumulabant in canistris.
Illi deindè ad cibos paratos & appositos manus extendebant.
Sed postquam potùs & escæ desiderium exemerunt
Proci, ipsis quidem alia in mente curæ erant,
Cantus saltatioque: hæc enim sunt ornamenta convivii.
Præco autem in manus citharam perpulchram posuit
Phemio, qui quidem multùm superabat omnes, versus fundens,
Phemio, qui quidem cecinit inter procos vi, *coactus*.

Σ Χ Ο Λ Ι Α.

143. Θάμ' ἐπώχετο.] Τὸ κατάλληλον δὲ κήρυκος δηλοῖ. Θάμα.] Πυκνῶς, σωρηδόν. Ἐπώχετο.] Ἐπορεύετο. Οἰνοχοεύων.] Οἰνοχόων, κιρνῶν.

144. Ἀγήνορες.] Ἄγαν αὐχηταί.

145. Ἕζοντο.] Ἐκαθέζοντο. Κλισμούς.] Δίφρους, καθέδρας.

146. Ἔχυαν.] Ἐπίβαλλον.

148. Νώμησαν.] Ἐμίσγοσαν. Δμωαὶ.] Θεραπαινίδες. Παρενήνεον.] Παρεσώρευον· ὡς τὸ πλήθος τῶν ἐδεσμάτων ἐμφαίνῃ. Κανέοισι.] Κανίσκοις.

149. Ὀνείατα.] Τὰ ὀνητὰ ἐμποιοῦντα ἐδίσκησιν. Ἴαλλον.] Ἐβάλλοσαν, ἐξέτεινον.

N O T Æ.

146. Τοῖσι δὲ κήρυκες) Hìc ex *Florentinâ* Editione Versus forte excidit, atque proindè ex omnibus ferè illius sequacibus, exceptâ *Eustathii Romanâ*, quæ ità ordinat suppletque, Τοῖσι δὲ κήρυκες — Κοῦροι δὲ κρητῆρας — Νώμησαν δ' ἄρα πᾶσιν — Σῖτον δὲ δμωαὶ — Οἱ δ' ἐπ' ὀνείατ' ἐτοῖμα. Et hanc *Lectionem* secutum esse *Brevium Scholiorum* Compilatorem, manifestum est, qui ad v. 148. Νώμησαν) Ἐμίσγοσαν, legit. Quare is Versus omninò nobis supplendus erat. Confirmatur hæc Ordinatio, ex *Iliad.* ι'. v. 174. &c. Item, *Odyss.* γ'. v. 338. & φ'. v. 270. Quare in *Textum* sumo, nec Numerum tamen muto, ut & in aliis

N O T Æ I N S C H O L I A.

148. Δμωαὶ) Θεραπαιναι. MS. *GC.*

149. Ὀνείατα) Ad finem hujus *Scholii*; & olim, Νώμησαν) ἐμίσγοσαν. Unde apparet, *Versum* Νώμησαν δ' ἄρα πᾶσιν, hìc adesse debere, ut ab *Eustathio* rectè adhibetur. Vid. Not. in *Textum* & *Var. Lect.*

V A R I Æ L E C T I O N E S.

149. Σῖτον δὲ δμωαὶ — οἱ δ' ἐπ' ὀνείατ' ἔτιμα, — Κοῦροι δὲ κρητῆρας —) *al.* Σῖτον — Κοῦροι — οἱ δ' ἐπ', &c. *H. Stephan.* At *Eustathii Romana*, ut Nos nunc.

150. Αὐτὰρ ἐπεί.] Ἐπειδὴ δέ. Πόσιος.] ποτοῦ. Ἐδητύος.] Βρώσεως. Ἐξ ἔρον ἕντο.] Ἐπλήρωσαν τὸν ἐπιθυμίαν.

151. Τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μεμήλει.] Πιθανῶς, ἵνα ὁ Τηλέμαχος καιρὸν λάβῃ. Μεμήλει.] Ἐμελέτων.

152. Μολπή.] Ἡ μὲν ᾠδὴς παιδιά· ἡ δὲ ᾠδή. Ὀρχηστύς.] Ὄρχησις. Ἀναθήματα δαιτός.] Τῆς εὐωχίας τὸ κόσμημα. ἢ μεταφορᾷ ἀπὸ τῶν τοῖς θεοῖς ἀναπεμπομένων.

153. Κίθαριν.] Κιθάραν. Πολυκαλλέα.] Ἄγαν ὡραιζομένην.

154. Ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.] Προαναφώνησεν, ἵνα ὁ Φήμιος σωθῇ διὰ τὴν μνηστηροφονίαν. Ἤειδεν.] Ἤδεν.

N O T Æ.

ejusmodi Casibus; nè *Seberi* Indicem minùs utilem reddam.

147. Κρητῆρας ἐπιστέψαντο ποτοῖο) Quìà dicitur, κρητὴρ ἐπιστεφὴς οἴνου, ut *Iliad.* θ'. v. 232. & *Odyss.* β'. v. 430. dicimus etiam κρητῆρα ἐπιστέφειν οἴνου, ut ἐπιστέφω sumatur, pro ἐπιστεφῆ ποιῶ, qualia plura apud *Græcos* Auctores reperias. *Athenæus* l. 15. fol. 674. Σπίφειν τοὺς ποιητὰς τινα σημαίνῃ.

* Hunc Versum ex *Herodoti* Vitâ-*Homeri* restituo; nec tamen sequentem tollendum omninò reor; qui & olim in omnibus, & ob œconomiam necessarius; ut *Br. Schol.*

150. Πόσιος) Ποτοῦ. Ἐδητύος) Βρώσεως. Ità re-

Vid. Not. in *Textum* ad v. 146.

* Ὅς τέ νυ πολλὸν) γρ. ὡς τε πολλὸν, *Herodot.*

Hoc

Ἦτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν·
Αὐτὰρ Τηλέμαχος θεοειδὴς γλαυκῶπιν Ἀθήνην,
Ἄγχι σχὼν κεφαλὴν, ἵνα μὴ πθυσθοίατ' οἱ ἄλλοι,
Ξεῖνε φίλ', εἰ καί μοι νεμεσήσεαι, ὅ, τι κεν εἴπω;
Τοῖσιν μὲν ταῦτα μέλει, κίθαρις καὶ ἀοιδὴ,
Ῥεῖ', ἐπεὶ ἀλλότριον βίοτον νήποινον ἔδουσιν
Ἀνέρος, οὗ δή που λευκὰ ὀστέα πύθεται ὄμβρῳ,
Κείμθ' ἐπ' ἠπείρου, ἢ εἰν ἁλὶ κῦμα κυλίνδῃ.
Εἰ κείνόν γ' Ἰθάκηνδε ἰδοίατο νοστήσαντα,
Πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι,
Ἢ ἀφνειότεροι χρυσοῖό τε ἐανῆτός τε.
Νῦν δ' ὁ μὲν ὣς ἀπόλωλε κακὸν μόρον, ὐδέ τις ἡμῖν
Θαλπωρὴ, εἴπερ τις ἐπιχθονίων ἀνθρώπων
Φησὶν ἐλεύσεσθαι· τῷ δ' ὤλετο νόστιμον ἦμαρ.
Ἀλλ' ἄγε μοὶ τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοὶ πόλις, ἠδὲ τοκῆες;
Ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
Ἦγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι βίξετόωντο;
Οὐ μὲν γάρ τι σε πεζὸν ὀίομαι ἰνθάδ' ἱκέσθαι·
Καί μοι τῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,

Et sanè ille citharâ ludens aggressus est pulchrè canere;
Verùm Telemachus alloquutus est glaucis-oculis Palladem,
Propè habens caput, ut nè audirent alii,
" An, hospes chare, *obid* mihi irasceris, quod dixero?
" His quidem hæ curæ sunt, citharæ & cantus,
" Facilitèr *sanè*: quoniam alienam substantiam impunè absumunt
" Viri, cujus certè alicubi alba ossa putrescunt imbre,
" Jacentia in continenti, vel *illa* in mari unda versat.
" Atqui si illum in Ithacam viderint revertum,
" Omnes optârint celeriores pedibus esse,
" Quàm instructiores auro vestèque.
" Nunc verò ille sic obiit malam mortem, neque ulla nobis
" Spes est, etiamsi quis terrestrium hominum
" Dicat rediturum esse; hujus enim perit redìtùs dies.
" Sed agè, mihi hoc dic & verè enarra,
" Quis? unde es hominum? ubi tibi civitas, atque parentes?
" Quali autem in navi advenisti? quo pacto te nautæ
" Duxerunt in Ithacam? quinam *se* esse prædicant?
" Neque enim ullo pacto te peditem existimo huc venisse:
" Et mihi hoc dic verè, ut benè cognoscam,

ΣΧΟΛΙΑ.

155. Φορμίζων.] Κιθαρίζων. Ἀνεβάλλετο.] Ἀνεκρούετο, ἐπεποιεῖτο.
157. Ἄγχι σχών.] Ἐγγὺς ἐποιησάμενος. Πάθοιατο.] Ἀκούσειαν.
158. Νεμεσήσεαι.] Μέμψῃ. Ὅ, τι κέν.] Ὅπερ ἄν.
159. Ἀοιδή.] Ὠιδή.
160. Ῥεῖ' ἐπεὶ ἀλλότριον.] Τὸ ἐξῆς, ἐπεὶ ῥᾴδιά ἀλλότριον. Βίοτον.] Περιουσίαν. Νήποινον.] Ἀτιμώρητον, ἀνεκδίκητον. Ἔδουσιν.] Ἐσθίουσιν.
161. Οὗ.] Οὗ τινος. Πύθεται.] Σήπεται.
162. Ἐπ' ἠπείρου.] Ἐπὶ τῆς γῆς. Εἰν ἁλί.] Ἐν τῇ θαλάσσῃ. Κυλίνδῃ.] Κυλίῃ.
163. Ἰδοίατο.] Θεάσαιντο, ἴδοιεν.
164. Ἀρησαίατο.] Εὐξαιντο.
165. Ἀφνειότεροι.] Πλουσιώτεροι.
166. Ὣς.] Οὕτως, ὡς ἔχει. Ἀπόλωλε.] Ἀπώλετο, ἀπέθανεν.
167. Θαλπωρὴ.] Χαρὰ, παραμυθία, ἐλπωρὴ, ἐλπὶς, σωτηρία, ἀσφάλεια, σκέπη.
168. Φησὶν.] Φαίη, εἴπῃ. Ἐλεύσεσθαι.] Ἐλθεῖν. Ὤλετο.] Ἀπώλετο. Νόστιμον ἦμαρ.] Ἡ εἰς τὰ οἰκεῖα ἐπάνοδος.
170. Εἷς.] Ὑπάρχεις. Πόθι.] Πῦ. Τοκῆες.] Γονεῖς.
171. Ὁπποίης.] Ὁποίας. Νηός.] Νεώς, πλοίου. Ἀφίκεο.] Παρεγένου.
172. Εὐχετόωντο.] Ἐκαυχῶντο.
173. Οὐ μὲν γάρ τι σε πεζόν.] Πεζὸν μὲν γάρ σε ἀδύνατον ἐλθεῖν.
174. Ἀγόρευσον.] Εἰπέ. Ἐτήτυμον.] Ἀληθῆς. Εὖ εἰδῶ.] Ἀσφαλῶς γνῶ.

NOTÆ.

155. Ἦτοι ὁ) Rursum ὁ pro ὅτος, ut suprà v. 9. *Ibid.* Ἀνεβάλλετο) Ἐφθεγγιμιάζετο. Ἀναβολὴ γὰρ προοίμιον, ὡς ὁ Πίνδαρος, Ἀναβολὰς πύχης ἐλελιζομένα, *Pythionic.* Od. 1. v. 7.

NOTÆ IN SCHOLIA.

Ætiamsi MS. GC. Olim, Πόσιος) Βοώσεως, quo nil absurdius.
167. Θαλπωρὴ) Χαρὰ, παραμυθία, ἐλπωρὴ, ἐλπὶς, κ. λ. Tria priora Vocabula addo ex MS. GC.
171. Ὁππποίης) Ὁποίας. Ità MS. GC. Deleo itaque ὁππποίας, *Poeticum.*

VARIÆ LECTIONES.

157. Πευθοίαθ' οἱ ἄλλοι) γρ. πευθοίαθ ἄλλοι. 158. Εἰ καί μοι) γρ. ἤ καί μοι, MS. CCC.

Ἦ νέον μεθέπτεις, ἢ καὶ πατρώϊός ἐσσι
Ξεῖνος; ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ
Ἄλλοι, ἐπεὶ καὶ κεῖνος ἐπίφρων ἦν ἀνθρώπων.
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω·
Μέντης Ἀγχιάλοιο δαΐφρονος ὄβριμα εἶναι
Υἱὸς, ἀταρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
Νῦν δ' ὧδε ξὺν νηῒ κατήλυθον ἠδ' ἑτάροισι,
Πλέων ἐπὶ οἴνοπα πόντον ἐπ' ἀλλοδαπούς ἀνδρας,
Ἐς Τεμέσσην μὲν χαλκόν· ἄγω δ' αἴθωνα σίδηρον.
Νηῦς δέ μοι ἥδ' ἔστηκεν ἐπ' ἀγρῷ νόσφι πόληος,
Ἐν λιμένι Ῥείθρῳ, ὑπὸ Νηΐῳ ὑλήεντι.
Ξεῖνοι δ' ἀλλήλων πατρώϊοι ὀβριμοί εἰμεν
Ἐξ ἀρχῆς, εἴ περ τε γέροντ' εἴροιο ἐπελθών

" An nunc-primùm venisti, aut etiam paternus es
" Hospes? quoniam multi frequentabant viri nostram domum
" Alii; quoniam etiam ille versabatur inter homines gratiosus.
Hunc rursus alloquuta est dea cæsia Minerva,
" Enimvero ego tibi hæc valde verè narrabo:
" Mentes Anchiali prudentis præ me tero esse
" Filius: cæterùm Taphiis navigandi studiosis impero.
" Nunc verò huc cum navi veni atque socius,
" Navigans super obscurum pontum ad alienæ linguæ homines,
" Ad Temesen propter æs: duco autem splendidum terrum.
" Navis verò mihi stat ad agrum, seorsim ab urbe,
" In portu Rethro, sub Neio sylvoso.
" Hospites autem invicem paterni gloriamur esse
" Ab initio; siquidem senem interroges accedens

ΣΧΟΛΙΑ.

175. Ἦ νέον μεθέπτεις.] Ἦ νεωστὶ ὡδὲ ἡμᾶς ἦρχη. Μεθέπτεις.] Μετέρχη, ἐλήλυθας.

176. Ἴσαν.] Ἐπίσαντο. Δῶ.] Δῶμα, οἰκημα.

177. Ἐπίφρων ἦν ἀνθρώπων.] Ἐπιφρὴν ἐς ἐπιμέλειαν ἐποιεῖτο τὸ ἀνθρώπων, ἢ ἐς λόγον ἐποιοῦντο πάντες ἄνθρωπει, ἢ ἐπιχώριος καὶ ἐπιδήμιος. Ἐπίφρων.] Συναναστρεφόμενος.

181. Φιληρέτμοισι.] Ναυλικῆς.

182. Ὧδε.] Οὐδέ ποτε κεῖται παρὰ τῷ Ποιητῇ τὸ ὧδε τοπικὸν, ἀλλὰ ἀντὶ τοῦ ὧπως.

183. Οἰνοπα πόντον.] Μέλαινα πόντον. Ἀλλοθροῦς.] Ἀλλοδαπὰς, ξένας, βαρβάρους.

NOTÆ.

182. Πλέων οἰνοπα πόντον ἐπ' ἀλλοθρόους ἀνθρώπους) Si hoc modo legas, Versus exit μικροχειφάλος, βραχυκίφαλος, sive ἀκέφαλος. *Jambum* habens pro *spondæo*, ut *Iliad* Ψ'. v. 2. Ἐπειδὴ τρῶάς τε καὶ Ἕλληστοντον ἵκανον. Alii, ut sanctur hunc vitio, legunt πρωϊαν, vel πρωΐαν, utraque vox *Homerica*, ut *Odyss.* π'. v. 368. ε'. v. 240. Alii demùm, post πρωΐαν addunt τὸ ἐπὶ, Πλέων ἐπὶ, ut sit Συνίζησις in πρωΐαν, quod facit imprimis Editio *Florentina*, tum *Lovaniana*, item MSS. CCC. necnon *Eustathius* cùm Παρεκβολαῖς, fol. 1408. lin. 55. Ὅτι ὁ εἰς ἀλλοδαπὴν

NOTÆ IN SCHOLIA.

182. Ὧδε) Hoc *Scholion*, ut multa alia, ex *Eustathio*, vel ab illo ex τῶν Παλαιῶν. Idem ait *Etymolog.* M. verùm nescio, an satis rectè. Nam & in hoc ipso loco videtur τοπικῶς sumi, ut in illo, licet ab *Eustathio* aliter explicato. Ἥφαιστ, πρόμολ' ὧδε. Idem dicendum de voce πέλα, v. 251. & de voce μίλλω, v. 232.

184. Βρεντήσιον) *Stephano* περὶ πόλεων, Ἐρεντήσιον. *Ptolemæo*, Βρεντέσιον, & ità MS. *GC.*

186. Νηΐῳ) Τῷ κλ. Ità MS. *GC.* pro corrupto τῷ.

VARIÆ LECTIONES.

183. Πλέων οἰνοπα πόντον) χρ. πλέων ἐπὶ οἰνοπα πόντον, MS. CCC. *Florentin.* & *Eustath.* &c. Vid. Not. ad *Textum.*

184. Τεμέσσην) χρ. Ταμέσην, *Steph.* περὶ πόλεων, v. Ταμασσός. *Ibid.* Μετὰ χαλκὸν) χρ. μετὰ χαλκόν.

186. Ὑπὸ Νηΐῳ) χρ. ὑπονηΐῳ, *H. Stephan.*

Λαέρ-

Λαέρτιν ἥρωα· τὸ δ' οὐκέτι φασὶ πόλινδε
Ἔρχεσθ', ἀλλ' ἀπάνευθεν ἐπ' ἀγρῷ πήματα πάσχειν
Γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ ῥῖγόν τε, πόσιν τε
Παρὶ θεῖ· εὖτ' ἂν μιν κάματος γυῖα λάβῃσιν,
Ἑρπύζοντ' ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
Νῦν δ' ἦλθον· δὴ γάρ μιν ἔφαν' ἐπιδήμιον εἶναι
Σὸν πατέρ'· ἀλλά νυ τόν γε θεοὶ βλάπτεσι κελεύθου.
Οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσεύς,
Ἀλλ' ἔτι πὺ ζωὸς κατερύκεται εὐρέϊ πόντῳ,
Νήσῳ ἐν ἀμφιρύτῃ· χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
Ἄγριοι, οἵ πυ κεῖνον ἐρυκανόωσ' ἀέκοντα.
Αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ὀΐομαι αὐτὸς
Ἀθάνατοι βάλλουσι, καὶ ὡς τελέεσθαι οἴω,
Οὔτε τι μάντις ἐὼν, οὔτ' οἰωνῶν σάφα εἰδώς·
Οὔτι ἔτι δηρόν γε Φίλης ἄπο πατρίδος αἴης
Ἔσται, οὐδ' εἴπερ τε σιδήρεα δεσμὰ ἔχῃσι·
Φράσσεται, ὅς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἶς Ὀδυσῆος.
Αἴνως γὰρ κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας

" Laertem heroëm, quem non amplius ajunt in urbem
" Venire, sed seorsum in agro dolores pati
" Vetulâ cum ancillâ, quæ illi cibúmque potúmque
" Apponit, quoties ipsum labor circa membra invaserit,
" Repentem per fertile solum Areæ vitibus-consitæ.
" Nunc autem veni; dudum enim illum aiebant peregrè reversum adesse
" Tuum patrem; verùm adhuc huic diu impediunt iter:
" Nondum enim mortuus est super terram divinus Ulysses;
" Sed adhuc alicubi vivus detinetur in lato ponto,
" Insulâ in circumfluâ; sævíque ipsum viri tenent,
" Feri, qui alicubi illum invitum detinent.
" Porrò nunc tibi ego vaticinabor, quemadmodum in animo
" Immortales suggerunt, & quemadmodum perfectum iri puto,
" Non quasi vates sim, neque auspiciorum clarè peritus:
" Nequaquam adhuc diu charâ à patriâ terrâ
" Erit, neque si etiam ferrea vincula *illum* detineant:
" Cogitabit enim, quî redeat; quoniam callidus est.
" Sed agè mihi hoc dic, & verè enarrato,
" Si utique ex ipso tantus filius es Ulysse:
" Vehementèr enim & capite & oculis pulchris similis es

Σ Χ Ο Λ Ι Α.

190. Ἀπάνευθεν.] Ἄπωθεν, μακρὰν. Πήματα.] Κακά.

191. Γρηῒ.] Γραΐ. Βρῶσιν.] Τροφήν. Πόσιν.] Ποτόν.

192. Παρὶ θεῖ.] Παραθεῖ. Εὖτ' ἂν μιν.] Ὁπότ' ἂν αὐτόν.

193. Ἑρπύζοντα.] Μετὰ ὀδύνης ἢ πάσης ἡσυχίας βαδίζοντα, ἀφ' ὧν τὸ γῆρας. Γουνόν.] Τὸ γονιμώτατον ἢ κάλλιστον. Ἀλωῆς.] Ἀμπελοφύτου γῆς. Οἰνοπέδου.] Οἰνοφόρου.

194. Ἔφαντο.] Εἶπον. Ἐπιδήμιον.] Ἐπιδημοῦντα.

195. Βλάπτουσιν.] Ἐμποδίζουσιν.

197. Ζωὸς.] Ζῶν. Κατερύκεται.] Κατέχεται, κωλύεται. Εὐρεῖ.] Πλατεῖ, μεγάλῳ.

198. Ἐν ἀμφιρύτῃ.] Τῇ ὑπὸ θαλάσσης περιεχομένῃ.

199. Ἔρυκανόωσι.] Ἐπίχυσιν κωλύουσιν. Ἀέκοντα.] Ἄκοντα καὶ μὴ βουλόμενον.

202. Οὔτε τι.] Οὐδαμῶς. Οἰωνῶν σάφα εἰδώς.] Ὀρνεοσκοπίας ἔμπειρος, ἢ οἰωνισὴς ὤν.

204. Δίσμαξα.] Δισμοί. ἔστι δὲ Ἀττικῶς τὰ ὑφαντικὰ ἐργαστήρια λίγειν. ἀπὸ δὲ δίω, δίσμαξα, καὶ ἀπὸ τοῦ ξέω, ξίσμαξα. Ἔχῃσι.] Κατέχῃ. Φυλάσσῃ.

205. Φράσσεται.] Διανοήσεται. Νέηται.] Ἀνακομίζεται. Πολυμήχανός ἐστιν.] Πολύβουλος, συνετός.

207. Αὐτοῖο.] Ἐξ αὐτοῦ.

208. Αἴνως.] Νῦν ἀντὶ τοῦ λίαν. Ἔοικας.] Ὅμοιος εἶ.

N O T Æ.

203. Οὔτι ἔτι δηρόν γε) *Ultima* τοῦ ἔτι producitur in *Cæsurâ*, & antè δ'. ἀναβλητὸν, Literam etiam Ἀναδιπλασιασμῷ capacem. Vid. ad *Iliad.* α'. v. 416. & ad *Odyss.* ζ'. v. 296.

205. Φράσσεται) Pro φράσσεται lego, *Metri* causâ. Quoties enim *Vocalis* ante σ'. Naturâ sit *brevis*, si res postulet, duplicabitur σ'. ut sic Productio fiat, ut *Hesiod.* lib. 1. v. 263. Φραισάμενος πάντ' ἐπέεσσι ἓ εἰς τέλος ἦσιν ἀμείνω. Quod passim in his Notis probatur.

NOTÆ IN SCHOLIA.

204. Ἔχῃσι) Κατέχῃ, φυλάσσῃ. MS. GC. habet κατέχῃ, φυλάσσῃ.

VARIÆ LECTIONES.

196. Ἐπὶ) χ. ἀνὶ, MS. CCC.

203. Οὔπ ἔτι) χ. ὄπι ἔτι.

Κείνῳ, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ' ἀλλήλοισι,
Πρίν γε τ' ἐς Τροίην ἀναβήμεναι, ἔνθα πὲρ ἄλλοι
Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλης ἐνὶ νηυσίν·
Ἐκ τοῦδ', ὅτ' Ὀδυσῆα ἐγὼν ἴδον, ὅτ' ἐμὲ κεῖνος.
Τίω δ' αὖ Γηλέμαχον πεπνυμένος ἀντίον ηὔδα,
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω,
Μήτηρ μέν τ' ἐμέ φησι γ' ἔμμεναι· αὐτὰρ ἔγωγε
Οὐκ οἶδ'· οὐ γάρ πω τις ἐὸν γόνον αὐτὸς ἀνέγνω.
Ὡς δὴ ἔγωγ' ὄφελον μακαρός νύ τοι ἔμμεναι υἱὸς
Ἀνέρος, ὃν κλεάτεσσιν ἐοῖς ἔπι γήραος οὐδῷ·
Νῦν δ', ὃς ἀπολμόχαλος γένετο θνητῶν ἀνθρώπων,
Τῷ μ' ἐκ φασὶ γενέσθαι· ἐπεὶ σύ με τοῦτ' ἐρεείνεις.
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Οὐ μέν τοι γενεὴν γε θεοὶ νώνυμον ὀπάσσω
Θῆκαν· ἐπεὶ σέ γε τοῖον ἐγείνατο Πηνελόπεια.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Τίς δαὶς, τίς δὲ ὅμιλος ὅδ' ἔπλετο; τίπτε δέ σε χρεώ;

" Illi: quoniam frequenter ad hunc modum versabamur invicem,
" Antequam in Trojam ille conscenderet; quo utique alii
" Græcorum optimates ierant cavis in navibus:
" Ex hoc tempore neque Ulyssem ego vidi, neque me ille.
Hanc rursus Telemachus prudens alloquebatur,
" Etenim ego tibi, hospes, valde verè enarrabo;
" Mater quidem me inquit ejus esse, caterùm ego
" Nescio: non enim ullo pacto aliquis suum genitorem ipse cognovit.
" Adeò minam ego felicis alicujus forem natus
" Viri, quem in facultatibus suis senium deprehendisset:
" Nunc verò, qui infelicissimus est mortalium hominum,
" Ex hoc me inquiunt natum esse: quoniam tu me hoc interrogas.
Hunc rursus alloquuta est dea cæsia Minerva,
" Non sanè tibi genus utique dii ignobile in posterum
" Dederunt: quandoquidem te talem peperit Penelope.
" Sed age mihi hoc dic & verè enarrato,
" Quod epulum, quæ verò hæc turba est? quod verò te opus urget?

ΣΧΟΛΙΑ.

209. Θαμὰ] Συχνῶς. Τοῖον.] Τοιοῦτον· ὅτι, ὡς ἐν νῦν ἡμεῖς. Τοῖον.] Τοιοῦτον. Ἐμισγόμεθα.] Ἐμιγνύμεθα.

212. Ἐκ τοῦ.] Ἔκποτε, ἐξ οὗπερ χρόνου.

213. Πεπνυμένος.] Σοφισμένος, πεπαιδευμένος, συνετός.

216. Γόνον.] Γεννήτορα. Ἀνέγνω.] Ἐπέγνω.

217. Ὄφελον.] Ὤφελον. Νύ τοι.] Δή που.

318. Κτάπιοπ.] Κτήμασι. Ἑοῖς ἔπι.] Ἐπὶ τοῖς ἰδίοις. Ἔπιμι.] Καταλαβεῖν.

219. Ἀποτμοπολίζεται.] Δυσχίστως.

220. Ἐρεείνεις.] Ἐρωτᾷς, πυνθάνῃ.

222. Νώνυμον.] Ἀνώνυμον, ἄδοξον.

225. Δαὶς.] Εὐωχία. Ὅμιλος.] Ἀθροισμα, πλῆθος. Ἔπλετο.] Ὑπάρχει. Χρεώ.] Χρεία.

NOTÆ.

225. Τίς δαὶς; τίς ὅμιλος) *Quæ hæc Daps est? Quis festus Dies*, ut *Livius Andronicus* olim vertebat. *Ammonius* ὡς ὁμοίων καὶ ἀδιαφόρων λέξεων & *Aristarchus* legunt, Τίς δαὶς; τίς δαὶ ὅμιλος; Vid. ad *Iliad.* κ'. v. 408. *Ibid.* Τίπτε δέ σε χρεὼ) Non hìc, ut nonnulli putant, χρεὼ est *Neutrum*, uti neque *Odyss.* δ'. v. 312. Τίπτε δέ σε χρεὼ δεῦρ' ἤγαγε. Δήμιον, ἢ ἴδιον. Ἔλκεψις videtur, Τί ποτέ σε χρεὼ ποιεῖν, τίς χρεία σὲ εἰς ταῦτα ἐλαύνει; Et πῶς δέ σε χρεὼ δεῦρ' ἤγαγε; Ἐλλειπτικῶς, ἀντὶ τοῦ, Δι' ἣν πέπτε; vel πῶς pro πότε, ut pro πῇ πολεῖ; Nec obstat, quod δήμιον, ἢ ἴδιον, sequitur; neutra enim Epitheta sunt. Τί χρεώ, vel certè absolutè sunt sumpta; ut *Quanam te res hue impulit? Publicumne quid, an privatum?* Ubi enim *res* intelligitur, ibi *Adjectivum* effertur *Neutraliter*. Vel fit per Σχῆμα, ὡς τὸ σημαινόμενον, quia χρεὼ idem sonat, quod χρεῖος, quemodò φίλε πάτερ. In illis locis, *Odyss.* β'. v. 28. — πίνα χρεὼ τόσσον ἵκω; Et *Odyss.* ε'. v. 189. — ὅτις μὲ χρεὼ τόσον ἵκοι. *Adverbium est τόσον*, non *Adjectivum* & *Tantoperè* sonat. Apertè enim hanc Vocem *Homerus Femininam* facit, ut *Iliad.* κ'. v. 172. Ἀλλὰ μάλα μεγάλη χρεὼ βιβᾶσιν Ἀχαιούς. Et bis aliàs, *Iliad.* κ'. v. 118. & λ'. v. 609. χρεὼ γὰρ ἱκάνει) οὐκ ἔτ' αἰνικτός. Hoc tamen in loco, χρεὼ legitur apud *Athenæum* fol. 362. quod certè *Neutrum* est, & ità scribitur, *Odyss.* ο'. v. 201.

NOTÆ IN SCHOLIA.

209. Θαμὰ) Συχνῶς. Τοῖον) Τοιοῦτον· ὅτι, ὡς νῦν ἡμεῖς. Ità ordinandas voces censeo.

VARIÆ LECTIONES.

220. Σύ μι) χρ. σύ γε. *H. Steph.*

225. Τίς δαῖς; τίς ὅμιλος;) χρ. τίς δαῖς; τίς δαὶ ὅμιλος; Vid. Not. in *Textum*. *Ibid.* Χρεὼ) χρεῶν. Vid. ut prius.

Εἰλα-

Εἰλαπίνη, ἢ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν.
Ὡς τό μοι ὑβρίζοντες ὑπερφιάλως δοκέουσι
Δαίνυσθ' ἀτρύτους κτῆσιν δώματα νεμεσσήσαιλό κεν ἀνὴρ
Αἴσχεα πόλλ' ὁρόων, ὅστις πινυτός γε μετέλθοι.
Τιὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ξεῖν', ἐπεὶ ἦρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς,
Μέλλεν μήν ποτε οἶκος ὅδ' ἀφνειὸς κὴ ἀμύμων
Ἔμμεναι, ὄφρ' ἔτι κεῖνος ἀνὴρ ἐπιδήμιος ἦεν·
Νῦν δ' ἕτερος ἐβάλοντο θεοὶ, κακὰ μητιόωντες,
Οἵ κεῖνον μὲν ἄιστον ἐποίησαν περὶ πάντων
Ἀνθρώπων· ἐπεὶ οὔ κε θανόντι περ ὧδ' ἀκαχίμην,
Εἰ μοῖς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ,
Ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσε·
Τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν παναχαιοὶ,
Ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω·
Νῦν δέ μιν ἀκλειῶς ἅρπυιαι ἀνηρείψαντο·

" An ſplendidum convivium? an nuptiæ? quoniam non ſymbolæ hæc ſunt.
" Adeò mihi ſupra modum contumeliosè videntur
" Convivari per domum; indignè ferat utique vir
" Flagitia multa videns, quicunque cordatus intervenerit.
Hanc rurſum Telemachus prudens contrà alloquutus eſt:
" Hoſpes, quandoquidem me hæc interrogas atque percontaris,
" Futurum quidem erat, ut aliquando domus hæc locuples & indemnis
" Eſſet, quamdiu adhuc ille vir præſens erat:
" Nunc verò alitèr ſtatuerunt dii mala cogitantes,
" Qui illum quidem evanidum fecerunt ſuprà omnes
" Homines, quoniam non ob mortuum utique ſic lugere poſſem,
" Si inter ſuos ſocios occiſus fuiſſet Trojanorum in populo,
" Aut amicorum in manibus; poſtquam bellum egregiè adminiſtraſſet,
" Tunc utique ipſi tumulum feciſſent omnes Græci,
" Atque etiam ſuo filio ingentem gloriam retuliſſet in poſterum;
" Nunc verò ipſum inglorie Harpyæ diſcerpſerunt:

ΣΧΟΛΙΑ.

226. Εἰλαπίνη.] Ἡ μεγάλη εὐωχία, ἀπὸ τοῦ ἅμα εἶναι καὶ συσσιτεῖν εὐωχεῖσθαι. Ἐπὶ οὐκ ἔρανος.] Ὡς ἂν ἐκεῖνα κοσμιώτερα καὶ εὐπλειστέρα ὄντος, καὶ εἰκότως. ὁ μὲν γὰρ γάμος καὶ αἱ λοιπαὶ εὐωχίαι, φιλίας πρὸ γίνονται. ὁ δὲ ἔρανος, ὡς ἑκάστου τι κομίσαντος. Ἔρανος.] Τὸ ἀπὸ συμβολῆς εἰρημένον.

227. Δοκέουσι.] Δοκοῦσι, φαίνονται.

228. Νεμεσσήσαιτο.] Μεμψαίμην ἂν ἐγκαλέσαιτο.

229. Αἴσχεα.] Αἰσχύνας. Πινυτός.] Σώφρων, συνετός. Μετέλθοι.] Ἐπέλθοι.

231. Ἀνείρεαι.] Ἀνερωτᾷς. Μεταλλᾷς.] Ἐπιζητεῖς.

232. Μέλλεν.] Ὠφελεν. αὐτη ἡ λέξις ἐδείπνησε κεῖται παρὰ τῷ Ποιητῇ, ὡς ἐν τῇ συνηθείᾳ χρωτικῶς, ἀλλ' ἑκάστοτε, ἀντὶ τοῦ ἐμέλλε.

NOTÆ.

226. Εἰλαπίνη ἢ γάμος) Ità ſcribo, pro εἰλαπίνη, ἢ γάμος, quam ad *Var. Lect.* rejicio, quia illa potior, tutiorque videtur *Lectio*. Ità, Ἐν ᾧ δικαιοσύνη συμπέφευγεν πᾶσ' ἀρετή τε. Vid. ad *Iliad.* α'. v. 277. & infrà, ad v. 290.

234. Νῦν δ' ἕτερος ἐβάλοντο θεοί) Quòd ἐβάλοντο ſit ſcriptum, agnoſcit *Euſtath.* quamquam hìc ἐβάλετο præferat ob εὐμετρίαν. Vid. ad *Var. Lect.* βάλοντο tamen potuit, ſalvo etiam Metro, ſtare. Vid. plura ad *Odyſſ.* π'. v. 387. Εἰ δ' ὑμῖν οὐδὲ μῦθος ἀφανδάνῃ, ἀλλὰ βάλεσθε.

241. Νῦν δέ μιν ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο) De *Harpyiis*, vid. *Fulgentii* Mytholog. l. 1.

NOTÆ IN SCHOLIA.

226. Ἕκαστός τι κομίσειεν) Pro corrupto κομίσειεν, lego & emendo κομίσειεν. Ità MSS. *Aloyſ.* & GC. Senſu item poſtulante.

232. Μέλλεν) De hoc *Scholio*, vid. ad v. 182.

241. Ἅρπυιαι) Addo in fine, ἢ ὄρνεα ἁρπακτικά ex *Aloyſii* MSto.

VARIÆ LECTIONES.

226. Εἰλαπίνη ἢ γάμος) *rec.* εἰλαπίνη ἢ γάμος, εἰλαπίνη, ἢ γάμος Vid. Not. in *Textum*. *Ibid.* Ἐπὶ οὐκ ἔρανος) *rec.* ἐπὶ ἢ γ' ἔρανος, *Euſtath.* fol. 207. lin. 33.

234. Ἐβάλοντο) *rec.* ἐβάλετο, MS. GC. *Florent.* Edit. *Lovaniana Rutgeri Reſcii, Br. Schol.* & *Euſtath.* qui tamen ἐβάλοντο præfert ob εὐμετρίαν. Mallem βάλετο, ut *Senſui* & *Metro* ſufficiens.

Ὤϊχε᾽ ἄϊστος, ἄπυστος, ἐμοὶ δ᾽ ὀδύνας τε γόους τε
Κάλλιπεν· οὐδ᾽ ἔπι κείνον ὀλυρόμῳ γε ναχίζω
Οἷον, ἐπεί νύ μοι ἄλλα θεοὶ κακὰ κήδε᾽ ἔθυξαν.
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
Ἠδ᾽ ὅσσοι κραναὴν Ἰθάκην καθυποδρανέουσι,
Τόσσοι μητέρ᾽ ἐμὴν μνῶνται, τρύχουσι δ᾽ οἶκον.
Ἡ δ᾽ οὔτ᾽ ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
Ποιῆσαι δύναται· τοὶ δ᾽ ἥμενοι ἔδοντες
Οἶκον ἐμόν· τάχα δή με ἀφαρπάξουσι καὶ αὐτόν.
Τόνδ᾽ ἐπαλαφήσασα προφρονέως Παλλὰς Ἀθήνη,
Ὤ πόποι, ἦ δὴ πολλὸν ἀπιχόμην Ὀδυσῆος
Δηρόν, ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη.
Εἰ γὰρ νῦν ἐλθὼν, δόμον ἂν πρώτῃσι θύρῃσι
Σταίη, ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε,
Τοῖος ἐών, οἷόν μιν ἐγὼ τὸ πρῶτ᾽ ἐνόησα,
Οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε,
Ἐξ Ἐφύρης ἀνιόντα παρ᾽ Ἴλου Μερμερίδαο,

" Periit obſcurus, inglorius, mihi verò dolores luctumque
" Reliquit; neque ampliùs illum lugens defleo
" Solum, quoniam mihi alia dii mala incommoda fecerunt.
" Quotquot enim inſulis dominantur optimates
" Dulichioque, Samæque, & nemoroſæ Zacyntho,
" Atque quotquot aſperam Ithacam regunt,
" Tot matrem meam ambiunt, deſtruúntque domum.
" Illa autem neque abnuit odioſas nuptias, neque finem
" Facere poteſt: hi verò dilapidant epulantes
" Domum meam; mox etiam me malè perdent & ipſum.
Hunc indignabunda alloquebatur Pallas Minerva,
" Dii Boni! Proteſtò plurimùm abſentis Ulyſſis
" Indiges, qui utique procis impudentibus manus injiciat.
" Si enim nunc veniens, domûs in primis foribus
" Staret, habens galeam & ſcutum & duo haſtilia,
" Talis, qualem ipſum ego primùm vidi,
" Domo in noſtrâ bibentémque lætantémque,
" Ex Ephyre reverſum ab Ilo Mermeridâ,

ΣΧΟΛΙΑ.

242. Ἄϊστος.] Ἀνιζόμενος. ἀφανής. Ἄπυστος.] Ἀνήκουστος. Ὀδύνας.] Λύπας. Γόους.] Θρήνους.

243. Κάλλιπεν.] Καπέλιπεν. Σπαχίζω.] Σπαράζω.

244 Ἐπεί νύ μοι.] Ἐπειδή μοι. Ἔτυξαν.] Κατεσκεύασαν.

245. Ἐπικρατέουσι.] Κρατοῦσιν, ἄρχουσι.

246. Δουλιχίῳ.] Νήσῳ κειμένῃ τὴν Κεφαλληνίαν. Ζακύνθῳ.] Νήσῳ κειμένῃ τῇ Κεφαλληνίας. Σάμῃ.] Τὴν Σάμην, Σάμην εἶπε. ἐπὶ ᾗ δὲ αὕτη κατὰ τὴν Κεφαλληνίαν.

247. Κραναὴν.] Τραχεῖαν. Καθυποδρανέουσι.] Βασιλεύουσι.

248. Μνῶνται.] Μνηστεύονται. Τρύχουσι.] Καταδαπανῶσι.

249. Στυγερὸν.] Μισητὸν, φοβερόν. Τελευτὴν.] Τέλος, τελείωσιν.

250. Φθινύθουσι.] Φθείρουσιν, ἐλαττοῦσι. Ἔδοντες.] Ἐσθίοντες.

251. Τάχα.] Αὕτη ἡ λέξις ἐκ τῆς τάξεως παρὰ τῷ Ποιητῇ οὐσιαστικῶς, ὡς ἐν τῇ συνηθείᾳ, ἀλλ᾽ ἐπίρρημα ἀντὶ

NOTÆ IN SCHOLIA.

251. Τάχα) De hoc quoque *scholio*, vid. ad v. 182.

254. Δεύῃ) Ἐνδεῖ, λείπῃ. Hoc in loco, εἰδεῖ, pro εἰδῇ, εἰδῇ, Vocis *Mediæ*, & λείπῃ, pro λείπει, *Atticè*.

VARIÆ LECTIONES.

247. Καθυποδρανέουσι) γρ. κάτα ποιφανέουσι.

252. Τὸν οἱ ἐπαλαφήσασα) γρ. τ᾽ ἦ παλαφήσασα. *H. Steph.* & *Br. Schol.*

ἢ τραχείως. Διαρραίσωσι.] Διαφθερῶσιν..

252. Ἐπαλαφήσασα.] Ἐπὶ τοῖς λεχθεῖσιν, ὡς ἀλαόσις καὶ δεινοῖς ἐσι, δεινοπαθήσασα. ἐκὼν ἢ ἦ χωλὸς ἦ ε, παλαφήσασα, ἴσως τῷ παλαιᾷ, ὃ ἐπὶ τοῦ ἀγκῶνι τῆς χειρὸς, νύξασα. Παλλὰς.] Ἐπιθετικῶς ἡ Ἀθηνᾶ, ἀπὸ ἦ πάλλειν τὸ δόρυ· ἢ ὅτι Πάλλαντα ἀνεῖλεν, ἵνα τῶν γιγάντων.

253. Ἦ δή.] Ἀληθῶς δή. Πολλὸν ἀπιχόμην.] Ἐπιπολὺ ἀποδημοῦντος. ἢ πολλὸν δεῦρο, ἐπιπολὺ λείπει τούτους τιμωρίαν ἐπιφέρων.

254. Δεύῃ.] Ἐνδεῖ, λείπῃ. Ὅς κε.] Ὅς τις δή, ὅς τις ἄν. Ἔφείη.] Ἐπιβάλλῃ.

255. Εἰ γάρ.] Εἴθε γάρ. Δόμον.] Οἶκον. Ἐν πρώτῃσι θύρῃσιν.] Ἐν αὐταῖς ταῖς πρώταις θύραις.

256. Σταίη.] Στῇ. Πήληκα.] Περικεφαλαίαν. Δοῦρε.] Δόρατα, δυϊκῶς.

257. Ἐνόησα.] Ἐθεασάμην.

258. Οἴκῳ ἐν ἡμετέρῳ πίνοντα.] Τὸν ἀγαθὸν πᾶς δείκνυσι καιρὸς, οἷος ἂν ᾖ ἐν τοῖς ἔργοις.

259. Ἐφύρης.] Πόλεως Θεσπρωτίας. Ἐφύρα ἡ τρεῖς

NOTÆ IN SCHOLIA.

259. Ἐξ Ἐφύρης) Sex *Ephyras* notat *Euſtathius*; Confer *Br. Schol.* ad *Iliad.* ζ. v. 152. *Strabo*, fol. 338. & *Thucydidis* Scholiaſt. l. 1. fol. 27.

VARIÆ LECTIONES.

254. Δεύῃ) γρ. δεύει, *Lovaniana*, *Rutgeri Reſcii*, Edit. Item, δεύεαι, ὃς μνηστῆρσιν.

Ὤιχετο γὰρ κἀκεῖσε θοῆς ἐπὶ νηὸς Ὀδυσσεὺς,
Φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
Ἰὸς τοξεύσαι χαλκήρεας· ἀλλ' ὁ μὲν οὔ οἱ
Δῶκεν, ἐπεί ῥα θεοὺς νεμεσίζετο αἰὲν ἐόντας·
Ἀλλὰ πατὴρ οἱ δῶκεν ἐμός· φιλέεσκε γὰρ αἰνῶς·
Τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεὺς,
Πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
Ἀλλ' ἦτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.
Ἦ κεν νοστήσας ἀποτίσεται, ἦε καὶ αὐτοῦ,
Οἷσιν ἐνὶ μεγάροισι· σὲ δ' οὐ φράζεσθαι ἄνωγα,
Ὅσσον κεν μνηστῆρας ἀπώσεται ἐν μεγάροισι.
Εἰ δ' ἄγε νῦν ξυνίει, καὶ ἐμοῦ ἐμπάζεο μύθων,
Αὔριον εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς,
Μῦθον πέφραδε πᾶσι, θεοὶ δ' ἐπιμάρτυροι ἔστων·
Μνηστῆρας μὲν ἐπὶ σφέτερα σκίδνασθαι ἄνωχθι.
Μητέρα δ', εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι,
Αἶψ' ἴτω ἐς μέγαρον πατρὸς μέγα δυναμένοιο.

" Profectus enim erat illuc celeri in navi Ulysses,
" Venenum mortiferum inquirens, ut ipsi esset
" Ad sagittas ungendas ære-acuminatas: sed ille quidem non illi
" Dedit; quoniam deus verebatur sempiternos:
" At pater illi dedit meus, amabat enim vehementer.
" Talis existens procis si obversaretur Ulysses,
" Omnes & brevis fati fierent & amaris-nuptiis *maltractentur*.
" Verùm enimverò hæc deorum in genibus posita sunt,
" Sive reversus ulciscatur, necne,
" Suis in ædibus: te autem considerare jubeo,
" Quonam modo procos expellas ex ædibus.
" Sed agè nunc attende & meam adverte orationem;
" Cras in concionem *ubi* vocaveris heroas Græcos,
" Orat onem edissere omnibus: dii verò testes adsunto:
" Procos quidem ad propria abire jube:
" Matrem autem *jube*, si ipsi animus incessit nubere,
" Redeat in domum patris multùm potentis.

Σ Χ Ο Λ Ι Α.

ειοίν. ἢ, τὰ θεραπευτικὰ. [ἢ] ἡ νῦν Κέρκυρα, καὶ ἡ τείτη Ἦλις. Ἀντίστρ.] Ἀντιστρόφου. Μερμεριάδαι.] Μερμέρου παιδές.

260. Ὤιχετο.] Ἀπῆλθε. Θοῆς.] Ταχείας.

261. Ἀνδροφόνον.] Ἄνδρας φονεύον. Διζήμενος.] Ζητῶν. Οἱ.] Αὐτῷ.

262. Ἰὸς τοξεύσαι.] Προπαρασκευάσειν, ἵνα μὴ ζητῶμεν, πῶς ἀπὸ μιᾶς πληγῆς ἀναιρεθῶσιν οἱ μνηστῆρες. Ἰός.] Βέλη. Χαλκήρεας.] Χαλκᾷ ἠρμοσμένους.

263. Νεμεσίζετο.] Ἐσέβετο, ἐφοβεῖτο.

264. Φιλέεσκε γάρ.] Καὶ οἶδεν, ὅτι καὶ ἐχθροῦ ἦσεν. Αἰνῶς] λίαν.

265. Ὁμιλήσειε.] Συναναστραφῇ.

266. Γενοίατο.] Γένοιντο. Πικρόγαμοι.] Ἐπὶ κακῷ τῷ ἑαυτῶν τὸν γάμον τοῦτον μνηστευόμενοι.

267. Θεῶν ἐν γούνασι κεῖται.] Ἐν τῇ τῶν θεῶν ἐξουσίᾳ ἐστί.

268. Ἀποτίσεται.] Τιμωρίαν εἰσπράξεται.

269. Ἄνωγα.] Κελεύω.

270. Ἀπώσεται.] Ἀποθήσεις, ἐκβαλεῖς. Μεγάροιο.] Τῆς οἰκίας, τ' οἰκείας.

271. Ξυνίει.] Νόησον, ἄκουσον. Ἐμπάζεο.] Ἐπιστρέφου, ἀνάσχου, φρόντιζε.

273. Πέφραδε.] Εἰπέ. Ἔστων.] Ἔστωσαν, ὑπαρχέτωσαν.

274. Σφέτερα.] Τὰ ἴδια. Σκίδνασθαι.] Σκορπίζεσθαι. Ἄνωχθι.] Κέλευε.

275. Μητέρα.] Τῇ ἀρχαίᾳ συνηθείᾳ ἐγίγνωσκεν μῆτερ ἀντὶ τοῦ μήτηρ· τοῦτο ἀγνοήσας τὸ ω ἢ τὸ ιον μητέρα ὑποκοριστικῶς τὸ ἀφωκειωμένον. Ἐφορμᾶται.] Ἐπιθυμεῖ, σπεύδει. Γαμέεσθαι.] Γαμηθῆναι.

275. Αἶψ'.] Ἐπίρρημα συνεκτικὸν, [καὶ καιρὸν παραστατικόν] πάλιν, εἰς τέρμα, καὶ οὐ διὰτέρου. Ἴτω.] Ἀπίτω, ἀπερχέσθω, πορευέσθω. Μέγα δυναμένοιο.] Μέγα ἰσχύοντος ἐν τῇ οἰκίᾳ.

Ν Ο Τ Æ.

261. Φάρμακον ἀνδροφόνον διζήμενος) Huc refer Ælian. Animal. l. 5. c. 16. De *Vespis* Aculeos suos *Viperino* veneno imbuentibus.

276. Δυναμένοιο) Prior *Syllaba* ex Necessitate *producitur*. quamvis in δύναμαι sit *brevis*; quomodò in aliis *Polysyllabis*, ut ad *Iliad.* α'. v. 265. Idem fit, *Odyss.* λ'. v. 413. *Iresione*, v. 1. Præterea τὸ γ' ἀκολουθικόν ἐστιν, unde & γαμινὸς, *Mediam* producit.

Ν Ο Τ Æ Ι Ν S C H O L I A.

270. Ἀπώσεται) Ἀποθήσεις. Male ἀποβήσεις, *Impressi* & MS. *Aloys.*

276. Quæ inter συνακτικὸν & πάλιν, ex MS. *Aloysii.*

Variæ Lectiones.

275. Μητέρα) Κ. μήτηρ, *Br. Schol.*

Οἱ ἢ γάμον τεύξουσι, καὶ ἀρτυνέουσιν ἔεδνα
Πολλὰ μάλ', ὅσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
Σοὶ δ' αὐτῷ πυκινῶς ὑποθήσομαι, αἴκε πίθηαι·
Νῆ' ἄρασαι ἐρέτῃσιν ἐείκοσιν, ἥτις ἀρίστη,
Ἔρχεο πεπυσόμενος πατρὸς δὴν οἰχομένοιο·
Ἤν τίς τοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσῃς
Ἐκ Διός, ἥτε μάλιστα φέρει κλέος ἀνθρώποισι.
Πρῶτα μὲν ἐς Πύλον ἐλθὲ, καὶ εἴρεο Νέστορα δῖον·
Κεῖθεν ἢ Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον·
Ὅς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.
Εἰ μὲν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσῃς,
Ἦ τ' ἂν, τετυχόμενός γε, ἔτι τλαίης ἐνιαυτόν·
Εἰ δέ κε τεθνειῶτος ἀκούσῃς, μηδέ τ' ἐόντος,
Νοστήσας δὴ ἔπειτα φίλην ἐς πατρίδα γαῖαν,
Σῆμά τέ οἱ χεύσαι, καὶ ἐπὶ κτέρεα κτερείξαι
Πολλὰ μάλ', ὅσσα ἔοικε· καὶ ἀνέρι μητέρα δῦναι·

" Hi nuptias conficient & apparabunt dotem,
" Sanè eximiam, quantam decet charam filiam comitari.
" Tibi autem ipsi prudentèr consulam, siquidem parueris:
" Navi instructâ remigibus viginti, quæ *sit* optima,
" Profic scere interrogaturus *de* patre diù ablente:
" Si quis tib. dicat mortalium, aut famam audiveris
" Ex Jove, quæ potissimum indicationem fert homin.bus.
" Primum quidem ad Pylum abi, & interroga Nestorem divinum:
" Illinc in Spartam ad flavum Menelaum;
" Hic enim novissimus venit Græcorum loricatorum.
" Si fortè patris vitam & reditum audieris,
" Tum sanè, tristis quantumvis, adhuc perduraveris in annum:
" Sin mortuum audieris, neque amplius viventem,
" Reversus posteà charam in patriam terram,
" Monumentum illi erige, & parentalia perfice
" Eximia valdè, qualia decet; & viro matrem dato.

Σ Χ Ο Λ Ι Α.

277. Τεύξωσι.] Ποιήσωσι, κατασκευάσωσι. Ἀρτυνέωσι.] Ἑτοιμάσωσιν. Ἔεδνα.] Δῶρα τὰ διδόμενα ὑπὸ τῶ γαμοῦντος τῇ γαμουμένῃ. εἰρηνῇ ὃ τὰ ἔεδνα, τὰ τῷ ἑδραν καὶ παραμονὴν ἐποιεῖτο τῇ νύμφῃ.

278. Ἔοικε.] Πρεπόντως, σχέτλιε. Ἕπεσθαι.] Ἀκολουθεῖν.

279. Πυκινῶς.] Πυκνῶς, συνετῶς. Ὑποθήσομαι.] Συμβουλεύσω. Πίθηαι.] Πειθῇς.

280. Νῆ' ἄρασαι.] Ἁρμόσας, εὐτρεπίσας. Ἐρέτῃσι.] Ἐρέταις, κωπηλάταις. Ἐείκοσιν.] Εἴκοσιν.

281. Ἔρχεο.] Ἀπέρχου. Πευσόμενος.] Ἀκουσόμενος. Οἰχομένοιο.] Ἀποδημοῦντος.

282. Ἤν τις.] Ἐάν τις. Ὄσσαν.] Τὴν ἐκ θεῶν κληδόνα.

283. Ἥτε.] Ἥτις. Ἥτε μάλιστα φέρει, κ. λ.] Κληδόνα ἐφ' ἡμῖν ὡς ἀγνοουμένων. Κλέος.] Νῦν κληδόνα, τυτέστι κλέος καὶ δόξαν.

284. Πρῶτα μὲν ἐς Πύλον.] Πέμπει αὐτὸν παιδευθησόμενον, ὡς ἄριστα ἐνδέξον ἐσόμενον, ἐπὶ λῦσαι πατρὸς ἀποδήμησιν. Εἴρεο.] Ἐρώτησον.

285. Κεῖθεν.] Ἐκεῖθεν. Σπάρτηνδε.] Πυρρόν.

286. Ὅς γάρ.] Οὗτος γὰρ. Δεύτατος.] Ὕστατος.

287. Βίοτον.] Βίον, ζωλύν.

288. Ἦ τ' ἂν.] Καὶ ὡς. Τρυχόμενός γε.] Καταπονούμενός. Τλαίης.] Καρτερήσειας, ὑπομείνειας.

289. Τεθνειῶτος.] Τεπλευνηκότος, ἀποθανόντος.

291. Σῆμα.] Τάφον. Χεύσαι.] Χῶσαι, ἀντὶ τοῦ χῶσον. Κτερείξαι.] Ἐνταφιάσαι. Κτέρεα.] Ἐνταφίαν.

292. Δῦναι.] Ἀντὶ τοῦ δύς.

N O T Æ.

Hymn. *Mercur.* v. 44. Ita δαΐπιδον, *priorem*, alias *brevem*, hic producit, Δαΐπιδα καὶ δισμὺς χρυσὸς ἐ παιδαμοίπαρ, *Anthолog.* l. 7. Vid. *Anacreon.* v. 123.

290. Νοστήσας δὴ ἔπειτα) Ita scribendum statuo, cum pro δὴ & ἔπειτα ponatur, non pro ἢ & ἔπειτα. Potest etiam ἢ & ἔπειτα eodem modo *Coalescere*, diverso *scribi*, viz. δ' ἔπειτα. Potest item legi ἢ ἔπειτα, nec *Contrahi*. Vid. *Radulph. Winterton.* ad *Hesiod.* l. 1. v. 290. & in *Theogon.* v. 405.

NOTÆ IN SCHOLIA.

277. Ἔεδνα) Ab εἰρηνῇ, *inclusivè*, & deinceps, ex *Aloysii* MSto.

282. Ὄσσαν) Τὴν ἐκ θεῶν κληδόνα. Ex MS. *GC.*

289. Ἀποθανόντος) Ità MS. *GC.* pro Corrupto illo ἀποθανοῦντος.

Variæ Lectiones.

288. Ἔτι) ἴσως, ἐπί.

289. Τεθνειῶτος) χρ. πεθνηῶτος, MS. *GC.* *Ibid.* Μηδέ τ' ἐόντος) χρ. μηδ' ἔτ' ἐόντος.

290. Δὴ ἔπειτα) χρ. δ' ἔπειτα, Vid. Not. in *Textum.*

291. Χεῦσαι) χρ. χεῦαι, vid. infrà, ad β'. v. 354.

Αὐτὰρ

Αὐτὰρ ἐπὶὼ δὴ ταῦτα τελευτήσῃς τε καὶ ἔρξῃς,
Φράζεσθαι δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ὅππως κεν μνηστῆρας ἐνὶ μεγάροισι τοῖσι
Κτείνῃς, ἠὲ δόλῳ, ἢ ἀμφαδόν· ἐδέ πῃ σε ἔοικε
Νηπιάας ὀχέειν, ἐπεὶ οὐκ ἔτι τηλίκος ἐσσί.
Ἦ οὐκ ἀΐεις, οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
Πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμηδιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα;
Καὶ σύ, φίλος, μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε,
Ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
Αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη,
Ἠδ' ἑτάρους, οἵ πού με μάλ' ἀχαλόωσι μένοντες·
Σοὶ δ' αὐτῷ μελέτω, καὶ ἐμεῖο ἐπάκουε μύθων.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ξεῖν', ἦτοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις,
Ὡς τε πατὴρ ᾧ παιδί, καὶ ὅττι λήσομαι αὐτῶν·
Ἀλλ' ἄγε νῦν ἐπίμενον, ἐπειγόμενός περ ὁδοῖο,
Ὄφρα λοεσσάμενός τε, τερπόμενός τε φίλον κῆρ,
Δῶρον ἔχων ἐπὶ νῆα κίῃς, χαίρων ἐνὶ θυμῷ,
Τιμῆεν, μάλα καλὸν, ὅ τοι κειμήλιον ἔσται
Ἐξ ἐμεῦ· οἷά φίλοι ξεῖνοι ξείνοισι διδῶσι.

" Porrò poſtquam ſanè hæc finieris & perfeceris,
" Conſidera deinde in mente & in animo,
" Quo pacto procos intra ædes tuas
" Interficias, ſive dolo, ſive palàm: neque enim ampliùs te convenit
" Puerilia confectari, quoniam non ampliùs tantillus es.
" An non audiſti, qualem gloriam conſecutus eſt divus Oreſtes
" Omnes per homines, poſtquam interiecit patricidam,
" Ægiſthum doloſum, qui illi patrem inclytum interemerat?
" Et tu, amice (te enim video eximiúmque magnumque)
" Strenuus eſto; ut aliquis te etiam poſterorum eximiè laudet.
" Cæterùm ego ad navem celerem deſcendam jam,
" Atque ad ſocios, qui ibi me plurimùm anguntur expectantes.
" Tibi autem ipſi curæ ſint, quæ dixi, & meos adverte ſermones.
Hanc rurſus Telemachus prudens contrà loquutus eſt,
" Hoſpes, profectò hæc amicè ſentiens dicis,
" Perinde atque pater ſuo filio; & nunquam oblivíſcar illorum.
" Sed agè nunc expecta, accelerans licet iter,
" Ut & lotus & oblectatus amicum pectus,
" Donum habens ad navem eas, gaudens in animo,
" Preciofum, valdè eximium, quod tibi reconditi muneris loco erit
" Ex me; qualia amici hoſpites hoſpitibus dant.

Σ Χ Ο Λ Ι Α.

293. Αὐτὰρ ἐπιὼ.] Ἐπειδὰν δή. Τελευτήσῃς.] Τελειώσῃς, πληρώσῃς. Ἔρξῃς.] Πράξεις.
295. Τοῖσι.] Τοῖς σοῖς.
296. Ἀμφαδόν.] Φανερόν.
297. Νηπιάας ὀχέειν.] Τὸ νέον φρονεῖν καὶ φέρειν. ἢ ὀχεῖσθαι ὑπὸ νεότητος, τουτέστιν ἄφρονα εἶναι. Τηλίκος.] Τηλικοῦτος, μικρὸς, ἀντὶ δὲ πάνυ νέος. Ἐσσί.] Ὑπάρχεις.
298. Ἀΐεις.] Ἀκούεις, αἰσθάνῃ.
299. Πατροφονῆα.] Τὸν δὲ πατρὸς φονέα.
300. Δολόμηδιν.] Δόλιον βουλεύσαντα. Ἔκτα.] Ἀπέκτεινεν.
302. Ὀψιγόνων.] Μεταγενεστέρων. Ἔσσο.] Γενοῦ.
303. Κατελεύσομαι.] Κατέρχομαι.
304. Ἀχαλόωσι.] Δυσανασχέτως ἔχουσι, δυσχεραίνουσι.
305. Μελέτω.] Ἐν ἐπιμελείᾳ ἔστω. Ἐμπάζεο.] Ἐπιστέφου, ἀντιποιοῦ, φρόντιζε, ἐπιστροφὴν ποιοῦ καὶ σέβου.
307. Φίλα φρονέων.] Φιλοφρονούμενος.
308. Λήσομαι.] Ἐπιλάθωμαι.
309. Ἐπειγόμενος.] Σπεύδων.
310. Λοεσσάμενός.] Λουσάμενος. Τερπόμενος.] Τερφθείς.
311. Κίῃς.] Πορεύθῃς.
312. Τιμῆεν.] Τίμιον. Κειμήλιον.] Ἀποθετὸν χρῆμα.

NOTÆ.

298. Ἦ οὐκ ἀΐεις) De hac Coalitione δυοῖν συλλαβῶν εἰς μίαν, Vid. *Iliad.* ι'. v. 533.

NOTÆ IN SCHOLIA.

305. Ἐπιστροφὴν ἀντιποιοῦ & φρόντιζε &c. quæ in multis deſiderabantur, ex *Aldo* & *Aloyſio*.

VARIÆ LECTIONES.

294. Δὴ ἔπειτα) Vid. ſuprà, ad v. 290.
296. Οὐδέ π) κ. οὐδ' ἔπ.
297. Νηπιάας) κ. νηπιάχους, *H. Steph.*
298. Ἔλλαβε) κ. ἴλαβε, MS. CCC.
307. Φίλα φρονέων) κ. φιλοφρονέων.

Τόνδ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη,
Μή μ' ἔτι νῦν καλέρυκε, λιλαιόμενόν περ ὁδοῖο·
Δῶρον δ', ὅ, τι κέ μοι δῶναι φίλον ἦτορ ἀνώγει,
Αὖθις ἀνερχομένῳ δόμεναι, οἴκονδε φέρεσθαι,
Καὶ μάλα καλὸν ἑλών· σοὶ δ' ἄξιον ἔσται ἀμοιβῆς.
Ἦ μὲν ἄρ' ὡς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
Ὄρνις δ' ὡς ἀνόπαια διέπτατο· τῷ δ' ἐνὶ θυμῷ
Θῆκε μένος καὶ θάρσος, ὑπέμνησέν τέ ἑ πατρὸς
Μᾶλλον ἔτ', ἢ τὸ πάροιθεν· ὁ δ', φρεσὶν ᾗσι νοήσας,
Θάμβησεν κατὰ θυμόν· ὀίετο γὰρ θεὸν εἶναι.
Αὐτίκα δ' μνηστῆρας ἐπᾴχετο ἰσόθεος φώς·
Τοῖσι δ' ἀοιδὸς ἄειδε περικλυτὸς, οἱ δὲ σιωπῇ
Εἵατ' ἀκηδέες· ὁ δ' Ἀχαιῶν νόστον ἄειδε
Λυγρὸν, ὃν ἐκ Τροίης ἐπετέλλετο Παλλὰς Ἀθήνη.
Τῆδ' ὑφ' ὑπερῴῃ φρεσὶ σύνθετο θέσπιν ἀοιδὴν

Huic respondebat deinde dea cæsia Minerva,
" Ne me ampliùs nunc detine cupidum nimirum itineris:
" Donum verò quodcunque mihi dare tuum cor jubet,
" Rursus redeunti da, ut domum feram,
" Etiam eximio accepto; tibi vero dignum erit gratiis.
Illa autem sic loquuta abiit cæsia Minerva;
Avis autem ut Anopæa avolabat: huic verò in animo
Indidit robur & audaciam, recordaríque fecit sui patris
Magis adhuc quam antè: hic verò mente suâ considerans,
Obstupuit in animo; putabat enim deum esse.
Statim verò procos adibat deo æquandus vir:
Illis autem cantor canebat insignis; hi verò tacitè
Sedebant audientes: ille itaque Achæorum reditum canebat
Molestum, quem ex Trojâ indixit Pallas Minerva.
Hujus è cœnaculo mente intellexit divinam cantilenam

ΣΧΟΛΙΑ.

315. Κατέρυκε.] Κάτεχε, κώλυε.
316. Ἀνώγῃ.] Βάλλῃ. ϖροτάσσῃ.
317. Αὖθις ἀνερχομένῳ.] Ὑποτρέφοντι ἐν τῇ Ἰθάκῃ. Φέρεσθαι.] Ἀποφέρειν.
318. Ἄξιον ἔσται ἀμοιβῆς.] Ἀξίως ἀμοιφθεῖ. ἢ τυχοῦσον. παρ' ἐμοῦ καλὸν δῶρον λάβοις ἄν, ὥστε ἄξιον ἀμοιβῆς γενέσθαι. καὶ γὰρ οἱ ξενιζόντες ἐδίδοσαν δῶρα, Βελλεροφόντης δὲ χρυσοῦν ποτήριον. Ἀμοιβῆς.] Χάριτος.
319. Ἦ μὲν.] Αὐτὰρ μέν. Ἀπέβη.] Ἀπῆλθεν.
320. Ὄρνις δ' ὡς.] Καθάπερ δ' ὄρνις. Ἀνόπαια.] Εἶδος ὀρνέου. ἢ ἀφ' ἑνὸς τόπου, ἢ ἀέρος, ἀφ' οὗ ὡς ὄρνις ταχέως ὁρμῶσαι. καὶ Ἀρίστραχος δέ φησιν ὄνομα ὀρνέου. ἢ ἀνόπαια, ὡς Φήνη εἰδωλίῳ. ἔνιοι δὲ κατὰ τὰς ὤπας, ὅ ἐστι τὰς ὀφθαλμούς. Διέπτατο.] Διέπτη.
321. Ὑπέμνησεν.] Ἐπιμνησθῆναι ἐποίησεν.
323. Θάμβησεν.] Ἐξεπλάγη, ἐθαύμασεν. Ὀίετο.] Ὑπενόησεν.
324. Ἐπᾴχετο.] Ἐπορεύετο. Ἰσόθεος φώς.] Ὅμοιος κατὰ δρᾶσιν. Φῶς.] Ὁ ἀνήρ.
325. Ἀοιδὸς.] Ὁ Φήμιος δηλονότι. Ἄειδε.] Ἤδετο. Περικλυτὸς.] Περίσκοπος ἔνδοξος.
326. Εἵατο.] Ἐκαθίζοντο.
327. Λυγρὸν.] Χαλεπόν. Ἐπετέλλετο.] Προσέταττε.
328. Ὑπερῴῃ.] Ἐκ τῶν ἀναγαίων οἴκου, ἐκ τῶν ὑπερῴων. Σύνθετο.] Σωπῆσαι, ἢ ἡσυχάσαι. Θέσπιν.] Θείαν, θαυμαστήν.

NOTÆ.

323. Ὀίετο) Ita cum duplici σ'. scribendum asserо, & ita legit, MS. *Gonvillo-Caiense*; nec enim alias *Antepenultima* produceretur, *brevis* enim *Naturâ* probatur, per ὠϊσάμην. Idem dicendum de ἐπλιοσάμεθα, *Odyss.* μ'. v. 292. unde *Odyss.* β'. v. 20. ὠπλίσαντο scribendum Curo in nostra hâc Editione, quod & facit MS. CCC. ut ι'. v. 291. & alias etiam antehac scriptum erat: Vid. suprà, ad v. 205. & infrà, v. 323. & v. 398.

326. Ὁ δ' Ἀχαιῶν νόστον ἄειδε) De Reditu *Græcorum* ex *Trojâ*, vel ipsi *Trojano* hosti, miserando, multi retulerunt. *Homerus* Odyss. γ'. v. 130. ad v. 194. Q. *Calaber*, Παραλειπομένων, l. 14. v. 418. ad finem. *Euripides* in *Troum* Prologo. *Lycophron*, in

NOTÆ IN SCHOLIA.

318. Ἄξιον ἔσται ἀμοιβῆς) Locus de *Bellerophonte* explicatur, ad *Iliad.* ζ'. v. 220.

325. Περικλυτὸς.) Περίσκοπος ἔνδοξος, ità MS. *GC.* pro Corrupto illo, θεῖος, ἔνδοξος.

VARIÆ LECTIONES.

314. Τόνδ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη) γρ. τόνδ' ἀπαμειβομένη προσέφη γλ. Ἀ. MS. CCC. in ipso *Textu*; verùm in Margine, ut nos Legimus.

320. Ἀνόπαια) γρ. ἀνοπαῖα, & ἀν' ὀπαῖα, & παν-οπαῖα, *Etymolog.* M. in v.

323. Ὀίετο) γρ. οἴετο. Vid. Not. in *Textum*. MS. GC, οἰόμενος legit, cum σ'.

Κύρη

Κύρη Ἰκαρίοιο περίφρων Πηνελόπεια·
Κλίμακα δ' ὑψηλὴν καλεβήσατο οἷο δόμοιο,
Οὐκ οἴη, ἅμα τῇ γε γ' ἀμφίπολοι δύ' ἕποντο.
Ἦδ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
Ἄντα παρειάων ἀνὰ μύριον λιπαρὰ κρήδεμνα·
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη,
Δακρύσασα δ' ἔπειτα προσηύδα θεῖον ἀοιδόν,
Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας,
Ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί·
Τῶν ἕν γέ σφιν ἄειδε παρήμενος· οἱ δὲ σιωπῇ
Οἶνον πινόντων· ταύτης δ' ἀποπαύε' ἀοιδῆς
Λυγρῆς, ἥτε μοι αἰεὶ ἐνὶ φρεσὶ θῆσιν ἔθηκε
Τείρεϊ. ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
Τοίην γὰρ κεφαλὴν ποθέω, μεμνημένη αἰεὶ
Ἀνδρὸς, οὗ κλέος εὐρὺ κατ' Ἑλλάδα καὶ μέσον Ἄργος.
Τὼ δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Μῆτερ ἐμὴ, πῖ τ' ἄρ' αὖ φθονέεις, ἐελμένον ἀοιδὸν

Filia Icarii prudens Penelope:
Per ſcalam verò altam deſcendit ſuæ domûs,
Non ſola; unà cum hâc ancillæ duæ ſequebantur.
Illa verò quando jam ad procos perveniſſet diva mulierum,
Stabat ſanè juxta limen aulæ benè fabricatæ,
Ante genas habens tenues vittas:
Ancilla verò certè ei honeſta utrinque aſtabat,
Lacrymanſque demùm alloquebatur divinum cantorem,
" Phemie, multa ſanè alia mortalium obleſtamenta noviſti,
" Geſta hominúmque deorúmque, quæ celebrant cantores:
" Horum unum ipſis cane aſſidens; illique ſilentio
" Vinum bibant: ab hâc verò quieſce cantilenâ
" Moleſtâ, quæque mihi perpetuò in pectoribus charum cor
" Affligit; quando me in primis inceſſit dolor immenſus.
" Tale enim caput deſidero, memor ſemper
" Viri, cujus lata eſt gloria per Græciam & medium Argos.
Hanc rurſus Telemachus prudens contrà alloquutus eſt:
" Mater mea, quare utique invides, jucundum cantorem

ΣΧΟΛΙΑ.

329. Ἰκαρίοιο.] Πηνελόπης πατήρ. Περίφρων.] Σωστή.
330. Καταβήσατο.] Κατῆλθεν. Οἷο.] Τῆς ἰδιωτικῆς.
331. Οἴη·] Μόνη. Δύ'.] Τὸ πλῆθος, δύο.
332. Ἀφίκετο.] Παρεγένετο.
333. Σταθμόν.] Παραστάδα. Τέγεος.] Καλύμματος οἴκου. Πύκα ποιητοῖο.] Τῆς ἐπιμελῶς κατασκασμένης.
334. Ἄντα.] Ἐμφερῶς εἶπεν. Ἄντα παρειάων.] Προκαλυπτομένη τῇ καλύπτρᾳ. Σχεμύνη.] Καλυπτομένη, κρυπτομένη. Λιπαρά.] Ἁπαλὰ, καλά. Κρήδεμνα.] Τὰ ἐπὶ τῆς κεφαλῆς περιδέσμια.
335. Κεδνὴ.] Προσώπῳ σώφρων, συνετή. Ἑκάτερθεν.] Ἐξ ἑκατέρου μέρους.
337. Θελκτήρια.] Τὰ θέλγητρα ἢ ἀπατῶντα τοὺς ἀνθρώπους.
338. Κλείουσιν.] Ὑμνοῦσι, δοξάζουσι.
339. Σιωπῇ.] Μετὰ σιωπῆς.
340. Πινόντων.] Πινόντωσαν, Ἀττικῶς.
341. Λυγρῆς.] Χαλεπῆς.
342. Τείρει.] Καταπονεῖ. Καθίκετο.] Καθήψατο. Ἄλαστον.] Ἀνεπίληστον.
343. Τοίην γὰρ κεφαλήν.] Τοιοῦτον γὰρ ἄνδρα.
344. Καθ' Ἑλλάδα.] Καὶ τὴν Θετταλίαν, ἀπὸ μιᾶς πόλεως, ὀνόματι Ἑλλάδος.
346. Ἐελμένον.] Εὐάρμοστον, σοφιστήν.

NOTÆ.

Alexandra, *Laurentii Rhodomanni* Troica, & Parva *Ilias*. *Virgilius Æneid.* l. XI. v. 255. *Ovid.* Metamorph. l. XIV. §. 10. *Æſchyl.* Agamemnon. *Seneca*, Agamemnonis, *Act.* 3. *Joſephus Iſcanus*, *Anglus*, in ipſo fine *Daretis Phrygii*, à ſe verſi; *Angelus* denique *Politianus*, in *Ambra*.

NOTÆ IN SCHOLIA.

334. Κρήδεμνα) Τὰ ἐπὶ &c. pro Ἐπὶ &c. MS. GC. optime.
335. Κεδνὴ) Voces, σώφρων, συνετή ex MS. GC.
346. Ἐελμένον) Εὐάρμοστον. Ità pro Corrupto σοφιστήν, MS. GC.

VARIÆ LECTIONES.

330. Καταβήσατο) χ. καταβήσετο, MS. CCC. Vid. infrà, ad β'. v. 388. & Not. in *Textum* ad β'. v. 337.
341. Αἰεὶ) χ. αἰὲν, ut mox v. 343. & ſemper, ubi Vocalis ſequitur.
346. Τί τ' ἄρ' αὖ φθονέεις) χ. τί τ' ἄρα φθονέοις, MS. CCC. & *H. Steph.*

Τέρ-

Τέρπειν, ὅππῃ οἱ νόος ὄρνῦσι; θεὸς νύ τ' ἀοιδοὶ
Αἴτιοι, ἀλλά που Ζεὺς αἰτίος, ὅστε δίδωσιν
Ἀνδράσιν ἀλφηστῆσιν, ὅπως ἐθέλῃσιν ἑκάστῳ.
Τούτῳ δ' οὐ νέμεσις, Δαναῶν κακὸν οἶτον ἀείδειν·
Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
Ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέλῃται.
Σοὶ δ' ὑποτλήτω κραδίη καὶ θυμὸς ἀκούειν.
Οὐ γὰρ Ὀδυσσεὺς οἷος ἀπώλεσε νόστιμον ἦμαρ,
Ἐν Τροίῃ, πολλοὶ δὴ καὶ ἄλλοι φῶτες ὄλοντο·
Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε,
Ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Ἔργον ἐποίχεσθαι· μῦθος δ' ἄνδρεσσι μελήσει
Πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ.
Ἡ μὲν θαμβήσασα πάλιν οἰκόνδε βεβήκει.
Παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
Ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ,
Κλαῖεν ἔπειτ' Ὀδυσῆα φίλον πόσιν, ὄφρα οἱ ὕπνον
Ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα,

" Oblectare, quicunque illi mens impellitur? non fanè cantores
" In causâ sunt, sed interdum Jupiter in causâ est, qui fingerit
" Viris ingeniosis ità, ut velit unicuique.
" Huic verò non reprehensio *deferetur*, quòd Danaûm adversa canit:
" Eam enim cantilenam magis celebrant homines,
" Quæcunque auditoribus recentissima exsilat.
" Tibi verò sustineat cor & animus audire.
" Non enim Ulysses solus perdidit reditûs diem,
" In Trojâ: multi verò alii viri perierunt:
" Sed in domum profecta, tua opera administra,
" Telámque & colum, & ancillis impera
" Opus accelerare: sermo verò viris curæ erit
" Omnibus; potissimùm vero mihi; hujus enim imperium est in domo.
Illa quidem attonita, rursus in domum ivit;
Filii enim dictum prudens ponebat in animo.
Ad cœnaculum ubi conscendisset cum ancillis mulieribus,
Flevit subinde Ulyssem charum maritum, donec illi somnum
Dulcem palpebris immisit cæsia-oculis Minerva.
Proci verò tumultuabantur per ædes obscuras,

Σ Χ Ο Λ Ι Α.

347. Ὄρνυται.] Προήγηται.
349. Ἀλφηστῆσιν.] Ἐφοδευτικοῖς, ἐπιτροπικοῖς, σοφίσμασι.
350. Οἶτον.] Θάνατον.
351. Ἐπικλείουσι.] Ὑμνοῦσι, δοξάζουσιν.
352. Ἀκουόντεσσιν.] Ἀκούουσι. Νεωτάτη ἀμφιπέλῃται.] Περὶ πάντων λέγει· συντελεσθῆναι.
353. Ὑποτλήτω.] Ὑπομενέτω.
355. Ἐν Τροίῃ πολλοὶ δὴ καὶ ἄλλοι.] Διασυρῆ ἀναγνωστέον. Οὐ γὰρ Ὀδυσσεὺς ἐν Τροίᾳ ἀπώλετο. Φῶτες.] Ἄνδρες.
356. Ἀλλ' εἰς οἶκον ἰοῦσα.] Ἀφιεῖσα σὺ παῦλαν, ἀπὸ τῶν οἰκείων. Σκιόεντα.] Σύσκια, ἀφ' ὃ τὸ οὐρανόν.

Ὁ δ' Ἔκτορος καλῶς. Κόμιζε.] Ἐπιμελείας ἀξιῶ.
357. Ἠλακάτην.] Ἐργαλεῖον ἐριουργόν.
358. Ἐποίχεσθαι.] Πορεύεσθαι.
359. Κράτος.] Νῦν ἡ διαστολή.
360. Θαμβήσασα.] Ἐκπλαγεῖσα, θαυμάσασα.
Βεβήκει.] Ἐπορεύετο.
361. Πεπνυμένον.] Συνετόν. Ἔνθετο θυμῷ.] Ἐνέβαλε τῇ ψυχῇ, συνῆκεν.
362. Ὑπερῷα.] Τὰ ἀνώγαια οἰκήματα.
363. Ὄφρα.] Μέχρις ὅτου, ἕως. Οἱ.] Αὐτῇ.
365. Ὁμάδησαν.] Ἐθορύβησαν. Ἀνὰ μέγαρα.] Καθ' ὅλους τοὺς οἴκους. Σκιόεντα.] Σύσκια, ἀφ' ὃ τὸ οὐρανόν.

N O T Æ.

351. Τὸν δ' ἀοιδὸν μᾶλλον) Vid. *Athenæ*: fol. 122.
356. Ἀλλ' εἰς οἶκον ἰοῦσα) Confer *Iliad.* ζ. v. 490.

N O T Æ I N S C H O L I A.

356. Ἀλλ' εἰς οἶκον ἰοῦσα) Male hìc *Critici* Quatuor hos Versus ἀθετοῦσι, quos in *Iliade*, ab *Hectore* benè proferri agnoscunt. *Telemachus* enim Virum jam agere incipit & in Paternæ Domûs jus succedit; quare nihil amplius per Matrem, verùm omnia se deinceps per se ministraturum profitetur. Confer *Sophocl.* Ajac. v. 294. & *Scholiastem*, in locum.

Ibid. Κόμιζε) Ἐπιμελείας ἀξιῶ. Ità *Scholiastem* emendo, qui hactenus, Κόμιζει & ἀξιοῖ, quasi *Imperfectum* esset *Indicativi*, non *Imperativi* Præsens.

V A R I Æ L E C T I O N E S.

351. Ἐπικλείουσ') χρ. ἐπιφορεύουσ', *Plato* de Rep. l. 4. & *Duport.* Gnomolog. *Homeric.* p. 151.
352. Ἀκουόντεσσι) χρ. ἀοιδίοντεσσι, *Plato*, ibid. ὀρθ.
360. Οἰκόνδε βεβήκει) χρ. οἴκοσ' ἐβεβήκει, MS. CCC.

Πάντες

Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι·
Τοῖσι δ' Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων,
Μητρὸς ἐμῆς μνηστῆρες, ὑπέρβιον ὕβριν ἔχοντες,
Νῦν μὲν δαινύμενοι τερπώμεθα, μηδὲ βοητὺς
Ἕσπεσθ' ἐπεὶ τόγε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
Τοιοῦδ', οἷος ὅδ' ἐστί, θεοῖς ἐναλίγκιος αὐδήν.
Ἠῶθεν δ' ἀγορῆνδε καθεζώμεσθα πάντες,
Πάντες, ἵν' ὑμῖν μῦθον ἀπηλεγέως ἀγορεύω,
Ἐξιέναι μεγάρων· ἄλλας δ' ἀλεγύνετε δαῖτας,
Ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατ' οἶκους.
Εἰ δ' ὔμμιν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον
Ἐμμενέναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
Κείρεθ', ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
Αἴκε πόθι Ζεὺς δῶσι παλίντιτα ἔργα γενέσθαι,
Νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύλλες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε·
Τόνδ' αὖ Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός,
Τηλέμαχ', ἦ μάλα δή σε διδάσκησιν θεοὶ αὐτοὶ
Ὑψαγόρην τ' ἔμεναι, καὶ θαρσαλέως ἀγορεύειν·
Μή σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων

Omnes autem cupiebant cum *illâ* in lectis reclinari.
Illis verò Telemachus prudens incepit sermonem,
" Matris meæ proci, immensâ contumeliâ elati,
" Nunc quidem convivantes delectemur, neque clamor
" Adsit: nam hoc honestum est audire cantorem
" Talem, qualis ille est, diis assimilis voce.
" Manè verò in concionem consideamus venientes
" Omnes, ut vobis sermonem audentèr renunciem,
" Ut exeatis ex ædibus: alias porrò sequimini dapes,
" Vestra bona absumentes, alternis *conviviis* per ædes *singulas*.
" Si verò vobis videtur hoc satius & melius
" Esse, viri unius victum impunè perdere,
" Absumite; ego verò deos invocabo sempiternos,
" Si unquam Jupiter det vicissim retributionem fieri;
" Inulti sanè postea intra ædes peretis.
Sic ait; illi verò omnes mordicùs labiis compressis
Telemachum admirabantur, ob id, quod audacter loquutus esset.
Hunc rursus Antinous alloquutus est, Eupithei filius,
" O Telemache, certè admodùm te docuerunt dii ipsi
" Sublimiloquum esse, & confidenter proloqui.
" Nè te utique in circumfluâ Ithacâ regem Saturnius

ΣΧΟΛΙΑ.

366. Παραὶ λεχέεσσι.] Παρὰ κοίταις. Κλιθῆναι.] Συγκλιθῆναι.
Ὡς κε δόλῳ φθίῃς, τάδε δ' αὐτοὶ πάντα δάσωνται.
Ἀλλὰ μέν' αὖθ', ἐπὶ σοῖσι καθήμενος· οὐδέ τί σε χρὴ
Πόντιον ἐπ' ἀτρύγετον κακὰ πάσχειν, οὐδ' ἀλάλησθαι.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Θάρσει, μαῖ'· ἐπεὶ οὔτι ἄνευθ θεοῦ ἥδε γε βουλή·
Ἀλλ' ὄμοσον, μὴ μητρὶ φίλῃ ταδε μυθήσασθαι
Πρίν γ' ὅτ' ἂν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται,

" Ipſa quoque ſola ſcias: hæc autem maturata-ſint omnia;
" Sub noctem enim accipiam, quando certè jam
" Mater ad cœnaculum conſcenderit, & lecti curam-habuerit.
" Vado enim ad Spartam & Pylum arenoſam,
" Reditum interrogaturus patris chari, ſicubi audiero.
Sic dixit, ejulavit verò chara nutrix Euryclea,
Et quidem lugens, verba alata dixit,
" Cur verò tibi, chare fili, in mente hæc ſententia
" Eſt? Quonam vis ire multam per terram,
" Solus, cùm ſis dilectus? Is verò periit longè à patriâ terrâ
" Generoſus Ulyſſes, ignoto in populo:
" Et hi tibi ſtatim profecto mala machinabuntur poſthac
" Ut dolo pereas, atque hæc ipſi omnia dividant.
" Sed mane hic, apud tuos ſedens; neutiquam te oportet
" Per pontum indomitum mala pati, neque errare.
Hanc rurſus Telemachus prudens contra loquutus eſt,
" Confide, nutrix; quia non abſque deo hoc conſilium eſt:
" Sed jura, non matri charæ te hæc dicturam,
" Priuſquam undecimâque duodecimâque *die* aderit,

ΣΧΟΛΙΑ.

ἐπὶ τῶν ὑγρῶν λέγεται, ὡς ὁ τῆς θεᾶς Κύκλωψ. Μυληφάτης.] Τῆς ἐκ μύλης κεκμηκυίης. Ἀκτῆς.] Δωρεᾶς, ἢ ἐξ κλάσματος, παρὰ τὸ κλῶ ἢ ἀκτῆς, ἤτοι σιταγωγῆς, τροφῆς.

357. Αἱρήσομαι.] Λήψομαι.

361. Κώκυσεν.] Θρηνητικῶς ἐβόησεν.

363. Τίπτε δέ τοι φίλε τέκνον.] Φίλε υἱέ· πυκνὰ καὶ μετὰ ἀγάπης προσβάλλει) νοήματα ἡ τροφός.

364. Ἔπλετο.] Ἐπῆλθεν. Ἰόντι.] Πορευόμενος.

365. Ἀγαπητός.] Περιπόθητος.

366. Ἀλλογνώτῳ.] Ἄλλοις, καὶ οὐχ ἡμῖν, γινωσκομένῳ, ἢ ἄλλοις γνωτῷ, ἢ καὶ γένει οἰκείῳ. Ὧν δὲ ἀλλογνώτων, καὶ τὸ ἄγνωστον πάσχουσιν.

367. Οἱ δέ τοι αὐτίκ' ἰόντι.] Παραναφώνησις· τοῦτο δὲ ἐγίνετο. Ἰόντι.] Πορευθέντι.

369. Ἀλλὰ μέν' αὖθ'.] Τὸ αὐτὸ νόημα καὶ πρὸς Ἀντίνοον ἐλέχθη, δυσμενῶς μέν τοι.

370. Πόντον ἐπ' ἀτρύγετον.] Ἀκαρπότητος, ἢ ἄκαρπον. Ἀλαλήσθαι.] Πλανᾶσθαι.

374. Γένηται.] Ἔλθῃ ἡμέρα.

NOTÆ.

367. Φράσσονται) Ità cum gemino σ'. ſcribo, *Metri* cauſâ: *Florentin. Lovanian. Hervagian. Roman. Elzevirian.* φράσονται, malè. *H. Stephan.* φράζονται, ità *Spondan.* ita *Oxon.* & *Caſtellion.*

369. Ἀλλὰ μέν') Pro μέν, omninò ſcribendum, ut *Florentin. H. Stephan. Caſtellion.* & *Oxon.* τὸ μέν *Elzevirianum* nihili eſt.

NOTÆ IN SCHOLIA.

σας, ὕδατος ἀντὶ εὐηθοσι μύτρου. Hæc *Euſtathius* apertius & plenius; *Scholiaſtes* noſter, ſive potius *Euſtathii* compilator, ſuo more, contractiùs.

361. Κώκυσεν) Hoc ex *Aloyſio*; ut & *Scholion*, v. 364. ubi tamen Ἰόντι &c. ex *GC.* ſolo.

365. Ἀγαπητὸς) Περιπόθητος, ex *Aloyſio* ſolo.

367. Οἱ δέ τοι αὐτίκ' ἰόντι) Παραναφώνησις. Ità pro Ἀναφώνησις, vid. ad v. 284. *Ibid.* Ἰόντι) Πορευθέντι, MS. *Aloyſii.*

370. Πόντον &c. ex *Aloyſii* MSto.

VARIÆ LECTIONES.

367. Φράσσονται) κ. φράζονται, *H. Steph.* 369. Μέν') Malè, μὲν, in nonnullis. *Ibid.* Σοῖσι) κ. τοῖσι, *Steph.*

Ἢ αὐτὴν ποθέσαι, ἢ ἀφορμηθέντος ἀκοῦσαι·
Ὡς ἂν μὴ κλαίουσα κατ' ἀγλαὸν εἶδος ὀλέσσῃ.
Ὣς ἄρ' ἔφη· γρηὺς δ' θεῶν μέγαν ὅρκον ἀπώμνυ.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε, τελεύτησέν τε τὸν ὅρκον,
Αὐτίκ' ἔπειτα οἱ οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσεν,
Ἐν δέ οἱ ἄλφιτα χεῦεν εὐῤῥαφέεσσι δοκοῖσιν.
Τηλέμαχος δ' ἐς δῶμα θεοῖς ἐπιμίξ ὁμίλει.
Ἔνθ' αὖ ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
Τηλεμάχῳ δ' εἰκυῖα κατ' ἄστυ ἄγετο πάντη,
Καί ῥα ἑκάστῳ φωτὶ παριστάμενη φάτο μῦθον·
Ἐσπερίους δ' ἐπὶ νῆα θοὴν ἀγερέσθαι ἀνώγει.
Ἦδ' αὖτε Φρονίοιο Νοήμονα φαίδιμον υἱὸν
Ἤιτεε νῆα θοήν· ὁ δέ οἱ πρόφρων ὑπέδεκτο.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
Καὶ τότε νῆα θοὴν ἅλαδ' εἵρυσε, πάντα δ' ἐν αὐτῇ
Ὅπλ' ἐπέθηκε, τά τε νῆες εὐεστελμοι φορέουσιν.

" Aut ipsa desideret, & me solvisse resciverit;
" Videlicet nè flens pulchrum corpus ladat.
Sic loquutus est; anus verò deorum magnum juramentum juravit.
Cæterum postquam juravit, pertecitque jusjurandum,
Statim poslea illi vinum in amphoris hausit:
Farinam etiam illi infudit benè-consutis in utribus.
Telemachus verò domum ingressus cum procis versabatur.
Tum rursus alia cogitavit dea cæsia Minerva,
Telemacho enim assimulata urbem obibat,
Et singulis viris astans dicebat sermonem:
Sub noctem verò ad navem celerem congregari jussit.
Ipsa rursus Phronii Noëmona clarum filium
Rogabat navem celerem; ille verò ipsi lubens promisit.
Occiditque sol, obumbrabantúrque omnes viæ.
Et tunc navem celerem in mare protraxit, omniáque in ipsâ
Arma posuit, quæ naves benè-tabulatæ ferunt.

Σ Χ Ο Λ Ι Α.

375. Ἢ αὐτὴν ποθέσαι.] Ἐδῆ, σχὶν αὐτὴ ποθέσῃ· ὁ δ' ἀσυνήθως ἐχημάτισε, ἀλλὰ τὴν δ' σχὶν ἐπιῤῥήματος δύναμιν. Ποθέσαι.] Ζητῆσαι. Ἀφορμηθείη.] Ἐξελθόντος.

376. Ἰάπτῃ.] Διαφθείρῃ, παρὰ τὸ ἴον· ὄθεν, καὶ τὸ, Ἅιδι φθίσαψεν.

377. Ἀπώμνυ.] Ἀποφατικῶς, ἀντὶ τοῦ ἐπώμνυ.

378. Ὀμόσσέν τε.] Ὀμόσσαι μὲ, τὸ εἰκὸς ἦθος τι ὄνομα, οἷον νὴ τὸν Ἑρμῆν, μὰ τὰς Ἐλευσινίας θεάς. Τελεύτησέν τε τὸν ὅρκον.] Τὸ ἀπαθὲς ἀντὶ ἐνεργοῦς λόγου, οἷον ποιήσω τόδε, ἢ ἐποίησεν.

383. Τηλεμάχῳ δ'] εἰκυῖα.] Αἰνίττεται, ὡς ἔκασος τῶν Ἰθακησίων τῷ δοκεῖ νῦν δημιουργείαν εἰς νῆα φέρων, καὶ τὸν δ' βασιλέως ἀνεδυλοπρεπέμενον παῖδα, οἷον παρ' αὐτοῖς ἰσάθμιον, ἢ κρείττων δίκαιος ἑαυτὸν εἰκεῖν, ἢ αἰτήσασθαι, ἀμύνειν μὲ ἐ δικαίως, ἀλλὰ τὸ κινδυνῶδες δ' ἔργε, νῆα ὁ δῆθεν λογιζόντων, καὶ αὐτῶν πως εἰς ἐρέτας συσπουδάζειν. Εἰκυῖα.] Ὁμοία.

386. Φρονίοιο Νοήμονα.] Ἀσελῶς ἀνομαθετοποίηκεν. πάντως γὰρ ἐκεῖνος νῆα ἐτοίμαζε, ὁ μὴ καθ' ἑαυτὸν μνηστῆρας ἀφεσθῆς ἢ ἀνοήμονας ἐπὶ τοῖς μύθοις.

387. Πρόφρων.] Ἑτοίμως. Ὑπέδεκτο.] Ὑπέσχετο.

388. Σκιόωντό τε πᾶσαι ἀγυιαί.] Ἡ γὰρ νὺξ, σκιὰ γῆς. Σκιόωντο.] Ἐσκιοποιοῦντο. Ἀγυιαί.] Τὰ ἀμφοδα, αἱ ὁδοί. Σπεύχους Ἀθηναῖοι, ἀγυιὰς Ἀρχαῖοι καλοῦσιν.

389. Εἵρυσε.] Καθείλκυσεν.

390. Ὅπλ' ἐπέθηκ.] Τῶν σκευῶν τὰ νηός. Εὐστελμοι.] Εὐσκευίδωτοι. Λέγει ὁ ἐπιτηδείως τὰς ναῦς, στέλμασι γὰρ τὰ τῶν νεῶν σκευιδώματα.

N O T Æ.

377. Ὡς ἄρ' ἔφη· γρηῦς δ' θεῶν μέγαν ὅρκον ἀπώμνυ) Ità pro Veteri γρηῦς, μετασυλλαβὴ, dissyllabos lego χρῆυς, vel γρεὺς, utroq; enim modò scribitur. Διαίλυσις enim.

385. Ἀγερέσθαι) Ità pro ἀγέρεσθ scribo, *Aoristi* 2.

388. Δύσετο) Aliàs δύσατο, ut suprà, v. 337. Κατεδήσατο.

N O T Æ I N S C H O L I A.

275. Quæ addita ad finem, à ποθέσαι, ad ἐξελθόντος, ex eodem *Aloysio*.

383. Εἰκυῖα) Ὁμοία. *Aloysius*.

386. Φρονίοιο Νοήμονος.) Ὠνομαθετοποίηκεν, *Aloys.* ut *Impressi*. Ὠνομαθετοποιήται, MS. GC.

388. Quæ post σκιὰ γῆς sequuntur, ex MSS. ut & illud *Vetus* Scholion, Σπεύχους Ἀθηναῖοι, ἀγυιὰς Ἀρχαῖοι καλοῦσιν.

389. Εἵρυσε) Καθείλκυσεν, ex duobus MSS.

390. Ab εὐστελμοι — ad σκευιδώματα, *inclusivè*, ex utroque MSto.

V A R I Æ L E C T I O N E S.

377. Γρηῦς) χ. γρηὺς, & χρῆυς. Vid. Not. in *Textum*.

388. Δύσετο) χ. δύσατο. Vid. ad α'. v. 330. & ad χ'. v. 289. Δύσετό τ') χ. δύσετο δ'.

Στῆσε δ'

Στῆσε δ' ἐπ' ἐχαλῆς λιμένος· πρὶ δ' ἑταῖροι
Ἀθρόοι ἠγερέθοντο· θεὰ δ' ὤτρυνεν ἕκαστον.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
Βῆ δ' ἴμεν' ἐς δόμον Ὀδυσῆος θείοιο·
Ἔνθα μιν ἠπείροιο ἐπὶ γλυκὺν ὕπνον ἔχυθεν,
Πλάζε δὲ πίνοντας· χειρῶν δ' ἔκβαλλε κύπελλα.
Οἱ δ' εὖδεν ὤρνυντο κτλ πόλιν· ὑφ' ἄρ' ἕπ δίω
Εἵατ', ἐπεὶ σφισιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπλεν.
Αὐτὰρ Τηλέμαχον προσέφη γλαυκῶπις Ἀθήνη,
Ἐκπροκαλεσσαμένη μεγάρων θυμαιετάντων,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν,
Τηλέμαχ', ἤδη μέν τοι ἐὐκνήμιδες ἑταῖροι
Εἵατ' ἐπήρεμοι, τὰ σὰ πρόπαν ὁρμήν,
Ἀλλ' ἴομεν, μὴ δηθὰ ἀφατείομεν ὁδοῖο.
Ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
Καρπαλίμως· ὅδ' ἕπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Εὗρον ἔπειθ' ἐπὶ θῖνὶ κομόωντας ἑταίρους·
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἰς Τηλεμάχοιο,
Δεῦτε, φίλοι, ἤια φερώμεθα· πάντα γὰρ ἤδη

Statuit verò in extremitate portûs; circùm autem eximii socii
Frequentes congregabantur: dea verò concitabat singulos.
Tunc alia cogitavit dea cæsia Minerva,
Festinavit ire ad domum Ulyssis divini.
Hic procis dulcem somnum infudit:
Disturbavit autem bibentes, è manibus verò excussit pocula.
Hi itaque dormitum festinabant in urbem, neque amplius
Sedebant, postquam ipsis somnus palpebris incidit.
Cæterùm Telemachum alloquuta est cæsia Minerva,
Evocatum ex ædibus benè-habitatis,
Mentori similis facta, tum corpore tum voce,
" Telemache, jam dudum tibi parati socii
" Assident remigio, tuum expectantes nutum:
" Sed eamus, nè diutiùs differamus iter.
Sic certè locuta præcessit Pallas Minerva
Subitò: ille continuò ad vestigia sequutus est deæ.
Cæterùm postquam ad navem pervenerunt atque mare,
Invenerunt postea ad littus comatos socios.
Hos verò interfatus est divus Telemachus,
" Venite, amici, viatica repetamus; omnia enim jam

ΣΧΟΛΙΑ.

391. Ἐπ' ἐχαλῆς.] Ἐπὶ τὸ ἄκρον ἢ λιμένος, μεθ' ὃ ἡ θάλασσα. Ἐχαλῆς.] Τῇ πλωτῇ μέρει. Ἑταῖροι.] Οἱ σύμπλοοι, ἢ συνιασῦ.

395. Ὕπνον ἔχυθεν.] Τὸ ὑγρὸν ἢ ὕπνον δηλοῖ.

396. Πλάζε δὲ πίνοντας.] Παρεπλάνα ἢ ἐγκρησέναι. Πλανᾶσθαι καὶ παραφορεῖν ἐποίησεν. Χειρῶν δὲ ἔκβαλλε κύπελλα.] Ἀδυνατοῦν, ἀφὲ τὸ ὕπνον.

398. Ἐπὶ βλεφάροισιν ἔπιπλεν.] Βαρὺ ὕπνος δηλοῖ, ταχὺ τὰ βλέφαρα κλείοντας.

400. Ἐκπροκαλεσσαμένη.] Ἔξω καλέσασα.

402. Εὐκνήμιδες.] Κατὰ μεταφήλησιν, πρόσκαιροι, εὖ ἀπλισμένοι τὰ πρὸς τὸ πολεῖν.

403. Ἐπήρεμοι.] Ἐπίκαιροι, ἕτοιμοι ἐρέσσειν. Προπαρήγμενοι.] Προσδιχόμενοι.

404. Διατρίβωμεν.] Ἐκλύωμεν, περίλκωμεν.

406. Μετ' ἴχνια βαῖνε θεοῖο.] Εὐσεβεῖ σχήματι.

407. Κατήλυθον.] Κατῆλθον.

409. Ἰς.] Βία.

410. Δεῦτε, φίλοι.] Δημαγωγικῶς, εὐκαίρως κολακεύει. Ἤια.] Ἐφόδια.

NOTÆ.

397. Οὐδ' ἄρ' ἕπ δήν) De δ'. ectatico, Vid. ad α'. v. 203.

410. Δεῦτε, φίλοι, ἤια φερώμεθα) De *Mediâ* Syllabâ Vocis ἤια productâ, vid. ad v. 289.

NOTÆ IN SCHOLIA.

391. Ἐχαλῆ, Hæc ad συνιασ῀, ex utroque MSto, excepto, quòd *Aloys.* ναῦται, *GC.* συνιάσται.

396. Πλανᾶσθαι ἢ παραφορεῖν ἐποίησεν, ex MS. *GC.* solo.

400. Ἐκπροκαλεσσαμένη) Ἔξω καλέσασα. Hoc ex utroque; mirè enim in multis concordant.

402. Εὐκνήμιδες) Hoc *Scholion* ex utroque MSto, excepto, quòd vox πρόσκαιροι desit in *Aloysio.*

403. Ἐπήρεμοι) Pro ἑτοίσειν, vel τοίσειν, lego ἐρέσσειν. Προπαρήγμενοι) Προσδιχόμενοι, ex utroque MSto, ut etiam *Scholia*, 404. 407. 411. 415. 419.

409. Ἰς) Βία, MS. *Aloysii.*

410. Δεῦτε, φίλοι) In fine hujus *Scholii*, addo, ex *Aloysii* MSto. Ἤια) Ἐφόδια.

VARIÆ LECTIONES.

391. Ἐχαλῆς) γρ. ἐχαλῆ, τῇ πλοΐτῃ μέρει, MS. *GC.* Idem MS. *Scholia Aloysii Alem.*

403. Προπαρήγμενοι) γρ. προσδιήγμενοι, MSS. *GC.* & *Aloysii.* Vid. Not. in *Scholia.*

Ἀθρὸ-

Ἀθρῷ σὺν μεγάθῳ· μήτηρ δ' ἐμὴ ὔπα πέπυσται,
Οὐδ' ἄλλαι δμωαί, μία δ' οἴη μῦθον ἄκουσεν.
Ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο.
Οἱ δ' ἅμα πάντα φέρουσιν, ἐϋστέλμῳ ἐπὶ νηΐ
Κάτθεσαν, ὡς ἐκέλευσεν Ὀδυσσῆος φίλος υἱός.
Ἂν δ' ἄρα Τηλέμαχος νηὸς βαῖν', ἦρχε δ' Ἀθήνη,
Νηῒ δ' ὑπὲρ πρύμνη κατ' ἄρ' ἕζετο· ἄγχι δ' ἄρ' αὐτῆς
Ἕζετο Τηλέμαχος· τοὶ δὲ πρυμνήσι' ἔλυσαν·
Ἂν δὲ καὶ αὐτοὶ βάντες, ἐπὶ κληῖσι κάθιζον·
Τοῖσιν δ' ἴκμενον ἧκεν ἰὴ γλαυκῶπις Ἀθήνη,
Ἀκραῆ, ζέφυρον, κελάδοντ' ἐπὶ οἴνοπα πόντον.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
Ὅπλων ἅπτεσθ'· τοὶ δ' ὀτρύνοντος ἄκουσαν,
Ἱστὸν δ' εἰλάπινον κοίλης ἔντοσθε μεσόδμης
Στῆσαν ἀείραντες· κὰδ δὲ πρότονοισιν ἔδησαν,

" Maturata ſunt in ædibus: mater verò neutiquam ſcit,
" Neque aliæ ancillæ; unica ſola rem audivit.
Sic certè loquutus præceſſit, hi ſimul ſequebantur.
Ipſi verò ſimul omnia portantes benè tabulatam in navem
Depoſuerunt, quomodo præceperat Ulyſſis charus filius:
Telemachus verò navem conſcendit, prævitque Minerva,
Et in Navis puppe conſedit, propéque eam
Sedebat Telemachus: ipſi verò retinacula ſolvebant,
Etiam ipſi aſcendentes per tranſtra ſederunt.
His verò ſecundum ventum miſit cæſia Minerva,
Vividum Zephyrum, reſonantem per obſcurum pontum.
Telemachus interim ſocios hortatus juſſit
Rudentes traſtare; hi verò adhortantem audiverunt,
Malum itaque abiegnum cavam intra baſem, *vel* modium,
Conſtituerunt elevantes, rudentibuſque colligârunt,

Σ Χ Ο Λ Ι Α.

411. Πέπυσμ.] Ἤκουσεν.

412. Μία σ' οἴη.] Λεληθότως, ἀπέρηπεν αὐτῆς ὑποτίθησι τῷ πράξει ἴσως, ἵνα μηδὲ αὐτὴ ἐξείπωσι πατί.

415. Κάτθεσαν.] Καπέθηκε.

416. Νηὸς βαῖν.] Ἐπὶ νηός.

417. Νηῒ δ' ὑπὲρ πρύμνη.] Ἀντὶ δὲ νεὼς πρύμνη· ἐν Ἰλιάδι. Νηῒ δ' ὑπὲρ πρύμνη ἴαρα βοτρύοισι Δόλων.

418. Πρυμνήσια.] Τὰ πείσματα.

419. Κληῖσι.] Ταῖς ναυτικαῖς καθέδραις. Κάθιζον.] Ἐκαθέζοντο.

420. Ἴκμενον.] Ὑγρὸν, παρὰ τὸ ἰκμάδα· ἢ τὸ φορὸν, ἢ εἰς τὸ ἱκέσθαι ἐπιτήδειον, οἱονεὶ ἱκόμενον· ἵκμενον, οἰῦγραν· ἢ ἀλλαχῶς, Ἀνέμων μὲν ὑγρὸν αἴνιττον. ἢ τὸ ἱκετεῦσαι ἢ φέρεσθαι πιστόν. Ἧκεν γλαυκῶπις Ἀθήνη.] Ἡ καλὴ τῶν ναυτῶν ἐμπειρία ἡ φρόνησις, ἣ χρησιμώτατοι ἔπλευσαν.

421. Ἀκραῆ ζέφυρον.] Ἐπιτήδειον, ἄκρως πνέοντα διὰ τὴν χρείαν, ὅτι ἴλαιπον· ἢ τὸ μὴ κεκραμένον, ἀλλ' ἀκεραίως ζέφυρον. τινὲς ὑκραῆ. Ἄκρως, Ἀκραῆ.] Ἄκρως πνέοντα, ἢ αὐτάρκως. Κελάδοντ' ἐπὶ οἶνοπα πόντον.] Ἤτοι ἠχοῦντα καθὰ τὸ θάλασσαν τὸν ἄνεμον· ἢ καθὰ τὸ κελαδοῦντα πόντον, πνέοντα. Κελάδοντα.] Ἐπίθετον δὲ πόντου, ὅθεν καὶ οἱ παλαιοὶ Ἐγκέλαδον ἵππον τῷ Ποσειδῶνι παραδιδόασιν.

424. Ἱστὸν τ' εἰλάπινον.] Τὸν ἐξ ἐλάτης γεγονότα. Μεσόδμης.] Τῆς ληνοῦ λέγει, εἰς ἣν ἐμβάλλεται ὁ ἰσός. Ἔστι δὲ μείση δὲ πλοίου, κοῖλον τόπον. Ἔντοσθε μεσόδμης.] Μεσόδμη, ἡ ὀπὴ, δι' ἧς ὁ ἰσὸς συνείρεται, παρὰ τὸ εἰς μίσσον τῆς νηὸς διδομῆσθαι.

425. Ἀείραντες.] Ἐπάραντες. Πρότονοισι.] Σχοινίοις, δι' ὧν ὁ ἰσὸς ἀπεδεσμεῖτο, ὡς ἂν ἔχῃ βεβαίως ἵστασθαι· οἱ δὲ παλαιοὶ, κάλωσι, ἀπὸ δὲ καρχησίου εἰς πρῷραν καὶ πρύμναν διατείνουσι.

N O T Æ.

417. Νηῒ δ' ὑπὲρ πρύμνη) Appoſitio, ut *Virgil. Æn.* l. 1. v. 690. *Laticem Lyæum.*

424. Μεσόδμης) Illa Cavitas, in quam Mali baſis inſeritur; *Modium* vocat *Iſidorus. Iſaac. Caſaubon.* manu ſuâ notavit ad locum. Aliàs dicitur ἱστοπέδη, μ'. v. 51.

NOTÆ IN SCHOLIA.

420. Ἴκμενον) Nihil omnino hujus *Scholii* habet *Aloyſii* MS. excepto, Τὸν ἱκετεῖαν καὶ φέρεσθαι πιστὸν ὄντα MS. *GC.* addit, ἢ οἰῦγρον καὶ ἀπαλόν. Vocem priorem Codd. *Impreſſi* agnoſcunt.

421. Ἄκρως, Ἀκραῆ) Ἄκρως πνέοντα &c. uſque ad πόντον, πνέοντα, ex utriſque ſimul MSS. excepto, quòd inibi πόντον πλοίου, malè; quare emendamus.

424. Ἱστὸν τ' εἰλάτινον) Hoc *Scholion*, ad κοῖλον τόπον, *incluſivè*, ex duobus paritèr MSS. In fine *Impreſſorum* διδομῆσθαι, emendo in διδομῆσθαι, ex *Euſtath.*

425. Ἀείραντες) Ἐπάραντες, ex MSS. Πρότονοισι) Τοῖς δὲ καρχησίου εἰς πρῷραν καὶ πρύμναν διατείνουσι καλοῖς, eadem MSS. Verùm *Impreſſis* eadem Mens; nihil itaque muto.

VARIÆ LECTIONES.

421. Ἀκραῆ) χ. ὐκραῆ. *Brevia Scholia.*

Ἕλκον

Ἕλκον δ' ἱστία λευκὰ εὐτρέπλοισι βοείῃσιν.
Ἔπρησεν δ' ἄνεμος μέσον ἱστίον· ἀμφὶ δὲ κῦμα
Στείρῃ πορφύρεον μεγάλ' ἴαχε, νηὸς ἰούσης·
Ἦρ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον·
Δησάμενοι δ' ἄρα ὅπλα θοὴν ἀνὰ νῆα μέλαιναν,
Στήσαντο κρητῆρας ἐπιστεφέας οἴνοιο·
Λεῖβον δ' ἀθανάτοισι θεοῖς αἰειγενέτῃσιν,
Ἐκ πάντων δὲ μάλιστα Διὸς γλαυκώπιδι κούρῃ.
Παννυχίη μὲν ῥ' ἧγε καὶ ἠῶ πεῖρε κέλευθον.

Traxeruntque vela alba benè tortis loris,
Inflavit verò ventus in medium velum: circáque fluctus
Carinam purpureus insonabat, naveeunte.
Illa currebat per fluctus sulcans iter.
Cùm ligarent igitur rudentes celerem per navem nigram,
Constituerunt crateras plenas vini;
Libabantque diis immortalibus sempiternis;
Ex omnibus autem potissimùm Jovis glaucis-oculis filiæ.
Per totam noctem quidem illa & diem trajiciebat iter.

ΣΧΟΛΙΑ.

426. Εὐτρέπλοισι.] Εὐμαλάκτοις, εὐκλώστοις, καλῶς εἰργασμένοις. Βοείοις.] Χρήσεως ἀρχαίας ἐστὶ, καθ' ὃν καὶ νῦν οἱ ῥᾶκος τοὺς παύρους δέρκηκοι, φασκὸν ὀνομάσει, ἐξ ἀλόης τισὶ τυκτοῖς, τῷ τὸ χοιρίων χρεῖαν ἀποπληροῦσι. Βοείαις καὶ βοείῃ, λείᾳ τοὺς ἐκ βοείων ἱμάντας καλέσας. Ἄλλως, Βοείοις.] Τοῖς ἰμᾶσιν· ὕστερον δὲ οἱ καλοὶ ἐπινοήσασι.

427. Ἔπρησεν δ'.] Πνεῦμα ἐπλήρωσεν, ἐκόλπωσεν, ἐφύσησεν· ὄθεν καὶ ὁ πρηστήρ.

428. Στείρῃ.] Τῇ πρώτῃ, διὰ τὸ πρῶτον εἶναι. Πορφύρεον.] Μέλαν. Νηὸς ἰούσης.] Πορευομένης. Ἴαχεν.] Ἤχησεν, ἐνομαζοποιΐα.

429. Διαπρήσσουσα.] Διαπερῶσα.

430. Δησάμενοι.] Δήσαντες.

431. Ἐπιστεφέας.] Πλήρεις μείχεως ἐπιφάνης δὲ καὶ λαμπρὸς ἄνω παρὰ τὸ, Κρητῆρας ἐπιστέψαντο ποτοῖο.

433. Διὸς γλαυκώπιδι κούρῃ.] Τῇ Ἀθηνᾷ.

434. Παννυχίη.] Διὰ πάσης νυκτός. Ἠῶ.] Τὸν ὡρισμένον τῆς ἡμέρας καιρὸν εἶπε, τουτέστι τὸν ἡμέραν. Ἄλλως. Ἠῶ.] Τὸν μεταξὺ νυκτὸς καὶ ἡμέρας ὥραν· ὥρα δὲ ἐστὶν, ἠώ. Πεῖρε.] Διεπέρα, διήρχετο. Ἔνθα καὶ τὸ Ἀλλ' ἄγε καὶ τὰ κύματα πείρων.

NOTÆ.

430. Στήσαντο κρητῆρας ἐπιστεφέας οἴνοιο) *Ultima* Ē ἐπιστεφέας producitur, in *Cæsurâ*, vi *Finalis*; ut nihil dicam, de præcedenti & sequenti *Acuto*. Vid. ad α'. v. 147.

NOTÆ IN SCHOLIA.

426. Εὐτρέπλοισι) Post εὐκλώστοις, addo ex utroque MS. καλῶς εἰργασμένοις.

427. 428. 431. 433. Quicquid his in locis, additum, immutatum, aut innovatum, in *Scholiis*, id omne ex prædictis MSS.

434. Παννυχίη) Διὰ πάσης νυκτός. Ἠῶ) Τὸν ὡρισμένον τῆς ἡμέρας καιρὸν εἶπε, τουτέστι, τὸν ἡμέραν, ità utrumque MS. quæ ut dextrè capiantur, ἡμέρα in Priori loco exponitur *Dies*, in Posteriori *Tempus-matutinum*. In sequentibus, post διεπέρα, addo, διήρχετο, ex duobus MSS. nec tot piget Repetitiones facere, ut *Fidem* & *Diligentiam* nostram Orbi Literato comprobemus.

VARIÆ LECTIONES.

428. Πορφύρεον) γρ. πορφύρεον. Vid. Not. in *Textum*, ad ξ'. v. 16. & *Var. Lect.* ad *Iliad.* α'. v. 482.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ
ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Γ.

Ὑπόθεσις τῆς ῥαψῳδίας Γ.

ΤΗλίμαχος ἐλθὼν σὺν Ἀθηνᾷ ξενίζεται Νέστορι· καὶ διηγεῖται αὐτῷ τὰ συμβεβηκότα τοῖς Ἕλλησι, καὶ τὴν ἀπόπλουν ἐκ Τροίας. πυθόμενος δὲ παρὰ τοῦ Νέστορος τὰς μηνῆρας, καὶ γνωρίσας τὸν Ἀθηνᾶν ἀπιόντα, θυσίαν αὐτῇ ἐπιτελεῖ. Λαβὼν δὲ ὁ Τηλέμαχος ἅρμα σὺν Πεισιστράτῳ Νέστορος υἱεῖ, εἰς Σπάρτην ἀπαίρει· νυκτὸς δὲ ἐπιχωμάσης, ξενίζονται παρὰ Διοκλεῖ ἐν Φηραῖς.

Ἄλλη ὑπόθεσις.

ΤΗλέμαχος εἰς Πύλον καταχθεὶς, ἅμα τῇ Ἀθηνᾷ ἐν Μέντορος μορφῇ, καταλαμβάνει τοὺς Πυλίους θυσίαν παρὰ ἐκπλεῖν τῷ Ποσειδῶνι· καὶ τὸ πρῶτον αὐτῷ πυθομένῳ, ἐκπέμπεται πρὸς τὸν Ἰλιακῶν διηγημάτων· μεθ' ὃν ἡ μὲν Ἀθηνᾶ ἐν ὄρνιθος μορφῇ ἀπαλλάττεται· ὁ δὲ Νέστωρ θυσίαν αὐτῇ συμπλήσας, τὸν Τηλέμαχον ἅμα τῷ υἱῷ Πεισιστράτῳ εἰς Λακεδαίμονα ἀποπέμπει.

Ἐπιγραφή.

Ἄφιξις Τηλεμάχου εἰς Πύλον.

Ἄλλως.

Τὰ ἐν Πύλῳ.

Ἄλλως.

Γάμῳ μὲν τότε Νέστωρ δέκτο, σωῶρτο δ' ὃς υἷϊ, θεὰ ἔπλη. Lib. III.

Ἦ Ἕλιος δ' ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην,
Οὐρανὸν ἐς πολύχαλκον, ἵν' ἀθανάτοισι φαείνῃ,
Καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
Οἱ δ' ἦλθον Πύλον, Νηλῆος εὐκτίμενον πτολίεθρον,
Ἷξον· τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον,
Ταύρους παμμέλανας Ἐνοσίχθονι κυανοχαίτῃ.

SOL verò surrexit, relicto pulchro lacu, i.e. Oceano,
Cœlum in firmum, ut immortalibus illuceret,
Et mortalibus hominibus super almam terram:
Illi utique ad Pylum, Nelei benè-ædificatum oppidum,
Pervenerunt: ipsi autem in littore maris sacra faciebant,
Tauros omninò-nigros Neptuno cæruleâ-cæsarie:

Σχόλια.

Ἀνόρουσεν.] Ἀνάρμοστον. Λίμνην.] Νῦν, τὸν ὠκεανόν.

2. Πολύχαλκον.] Ἰσχυρὸν, στερεόν. Φαείνῃ.] Φαίνῃ, λάμπῃ.

3. Ζείδωρον.] Τὴν τοῦ ζῆν δωρουμένην.

5. Ἷξον.] Ἀφίκοντο, ἦλθον. Ῥέζον.] Ἔπραττον, ἔθυον.

6. Ταύρους παμμέλανας.] Ταύρους μὲν, ἀφ' οὗ τὸ βίαιον καὶ θηλαστικὸν μέλανας· διὰ δὲ τὸν χρόαν καὶ ὑδατώδη τὸν ἐν αὐτοῖς βάθους. Ἐνοσίχθονι.] Τῷ Ποσειδῶνι τῷ κινοῦντι

NOTÆ.

V. 5. Ἷξον) Vid. quæ ad *Iliad.* ε'. v. 773. 6. Ταύρους ἐνοσίχθονι) *Virgil.* Æn. l. 3. v. 119. *Taurum Neptuno.*

NOTÆ IN SCHOLIA.

V. 2. Φαείνῃ) Φαίνῃ, λάμπῃ, MSS. *Gonvillo-Caiense* & *Alexii Alemanni.*

6. Μέλανας) Lego ità, pro *corrupto* μέλαινας. Κυανοχαίτῃ) Μελανότριχι. Ità Duo MSS. prædicta, & *Hesych.* Κυανοχαίτης) Μελανόθριξ. Quare, pro μελανοχρῶτι, in *Impressis*, μελανότριχι lego.

VARIÆ LECTIONES.

V. 2. Φαείνῃ) χ. φανίῃ.

Ἐννέα

Ἐννέα δ' ἕδραι ἔσαν, πεντηκόσιοι δ' ἐν ἑκάστῃ
Εἵατο, ἠ δ' ἐννέα ταύρους.
Ἔνθ' οἱ σπλάγχν' ἐπάσαντο, θεὸν δ' ἐπὶ μηρία καῖον.
Οἱ δ' ἰθὺς καθάροντο, ἰδ' ἱστία νηὸς ἔίσης
Στεῖλαν ἀείραντες, τλὼ δ' ὥρμισαν· ἐκ δ' ἔβαν αὐτοί,
Ἐκ δ' ἄρα Τηλέμαχος νηὸς βαῖν'· ἦρχε δ' Ἀθήνη·
Τὸν πρότερη προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Τηλέμαχ', ἦ μήν σε χρὴ ἔτ' αἰδῶς ἠδ' ἠθαίον,
Τοὔνεκα γὰρ ἠ πόντον ἐπέπλως, ὄφρα πύθηαι
Πατρὸς, ὅπου κύθε γαῖα, ἠ ὅντινα πότμον ἐπέσπεν.
Ἀλλ' ἄγε νῦν ἰθὺς κίε Νέστορα ἱπποδάμοιο·
Εἴδομεν, ὅντινα μῆτιν ἐνὶ στήθεσι κέκευθε.
Λίσσεσθαι δέ μιν αὐτόν, ὅπως νημερτέα εἴπῃ·
Ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστί.
Τλὼ δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Μέντορ, πῶς τ' ἄρ' ἴω, πῶς τ' ἄρ' προσπτύξομαι αὐτόν;
Οὐδέ τί πω μύθοισι πεπείρημαι πυκινοῖσιν·
Αἰδὼς δ' αὖ, νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Τηλέμαχ', ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,

Novem quidem sedilia erant, quingentique in singulis
Sedebant, & præbebant singulis novem boves:
Hic illi viscera gustârunt, deoque coxas incendebant.
Hi autem rectà portum subibant, atque vela navis æquatæ
Contrahebant tollentes, illamque firmârunt; ipsi verò egressi sunt.
Ergo Telemachus navi exivit, præbátque Pallas:
Illum prior alloquuta est dea cæsia Minerva,
" Telemache, minimè te decet amplius pudor nè tantillum quidem:
" Ideò enim & pontum pernavigâsti, ut perconteris
" De Patre, ubi occultet terra, & quodnam fatum consequutus sit.
" Verum agè nunc rectà vade ad Nestorem equorum-domitorem:
" Videamus, quodnam consilium in præcordiis celat.
" Precare verò ipsum, ut vera dicat:
" Mendacium tamen non dicet; valde enim prudens est,
Hanc rursus Telemachus prudens contrà alloquutus est,
" Mentor, quo pacto accedam, quo pacto salutabo ipsum?
" Neque unquam sermonum experimentum habeo prudentium:
" Pudor verò, juvenem virum seniorem interrogare.
Hunc rursus alloquuta est dea cæsia Minerva,
" Telemache, alia quidem in mente tuâ perspicies,

Σ Χ Ο Λ Ι Α.

τλὼ γᾶν· ἴνοσις γρ, ἡ κίνησις. Χθὼν ϑ, ἡ γῆ· δοκοῦσι γὰρ οἱ σεισμοὶ ἐξ αὐτῆ εἶναι. Κυανοχαίτης.] Μελανότερας.

7. Ἐννέα ἕδραι ἦσαν.] Ἐννέα σωίδεια ἦν τὰ πᾶλαι, ἃ δὲ τὸ συνεπάπτειν εἶναι τλὼ Πύλον.

8. Εἵατο.] Ἦντο. Πρᾶγμ. ϑ.] Περιέχουϑ, παρεῖχον, ἢ κατεῖχον, ἐπὶ τῷ σφάξαι. Ἑκάστῃ.] Ἑκάστοτε, ἐφ' ἑκάστης.

9. Ἔνθ' οἱ.] Αὐτίκα ἤτοι. Ἐπάσαντο.] Ἐγεύσαντο.

10. Ἔίσης.] Ἴσης καὶ τὰς τοίχας.

11. Στεῖλαν.] Συνέστειλαν. Ἐκ δ'] Ἐβαν.] Ἐξέβησαν δέ.

12. Βαῖνε.] Ἐξέβαινεν.

14. Ἔτ' αἰδῶς.] Ἔπ αἰδεῖσϑαι.

15. Ἐπέπλως.] Ἐπλεύσας.

16. Κύθε.] Κεύθει, κρύπτει, ἢ ἔκρυψεν. Ἔπεσπεν.] Ἐπλήρωσεν.

18. Εἴδομεν.] Γνῶμεν, μαϑωμεν. Μῆτιν.] Βουλὴ, γνώμην.

22. Ἴω.] Προβῶ, προσπλύξομαι, προσταιρίσομαι, ϑεραπεύσω, φιλοφρονήσομαι.

23. Πεπείρημαι.] Ῥᾳϑύμως εἰμὶ· οὐκ ἤσκημαι λόγοις. Πυκινοῖς.] Σωφρόσι, σώφροσιν.

24. Γεραίτερον.] Παλαιότερον. Ἐξερέεσθαι.] Ἐπερωτᾶν.

N O T Æ.

13. Τὸν πρότερη) Nonnulli Codd. hunc Versum non habent, inquit Dr. *Scattergood*; de quo mihi nondum liquet.

26. Τηλέμαχ', ἄλλα μὲ αὐτὸς) Hunc locum egregiè ornat explicatque *Meric. Casaubon.* Tractatu, De *Enthusiasmo*, p. 189. *Phalaris* apertè alludit. Epist. 146. *M. Antoninus*, τοῖς τῶν ἀνεμνήσεις ϑ μυστικὰς διδασκαλίας vocat. Vid. *Max. Tyr.* §. 26.

NOTÆ IN SCHOLIA.

8. Εἵατο) Ἦντο, MS.

22. Προσταιρίσομαι) Lego, ut rectè MS. GC. Malè προσπταιρήσομαι, *Aloys.* & *Impressi.*

Variæ Lectiones.

9. Ἔνθ' οἱ σπλάγχν' ἐπάσαντο) γρ. ἔνθ' οἱ σπλάγχνα πάσαντο. *H. Stephan.*

18. Ἦντινα) γρ. ἤντινα.

Ἄλλα ἤ κ' δαίμων ὑποθήσετ'· ὐ γὰρ οἴω
Οὔ σε θεῶν ἀέκητι γεγάθαι τε τραφέμεν τέ.
Ὣς ἄρα φωνήσας ἡγήσατο Παλλὰς Ἀθήνη
Καρπαλίμως· ὁ δ' ἕπειτα μετ' ἴχνια βαῖνε θεοῖο·
Ἵξον δ' ἐς Πυλίων ἀνδρῶν ἄγυιάς τε ἠδὲ δόμους.
Ἔνθ' ἄρα Νέστωρ ἧστο σὺν υἱάσιν· ἀμφὶ δ' ἑταῖροι
Δαῖτ' ἐντυνόμενοι, κρέα ὤπτων, ἄλλα δ' ἔπειρον.
Οἵ δ', ὡς σὺν ξείνους ἴδον, ἀθρόοι ἦλθον ἅπαντες,
Χερσίν τ' ἠσπάζοντο, καὶ ἑδριάασθαι ἄνωγον.
Πρῶτος Νεστορίδης Πεισίστρατος ἐγγύθεν ἐλθὼν
Ἀμφοτέρων ἕλε χεῖρα, καὶ ἵδρυσεν, παρὰ δαιτί,
Κώεσιν ἐν μαλακοῖσιν, ἐπὶ ψαμάθοις ἁλίῃσι,
Πάρ τε κασιγνήτῳ Θρασυμήδεϊ καὶ πατέρι ᾧ.
Δῶκε δ' ἄρα σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχευε
Χρυσέῳ ἐν δέπαϊ· δειδισκόμενος δ' προσηύδα
Παλλάδ' Ἀθηναίην κύδιμον Διὸς αἰγιόχοιο,
Εὔχεο νῦν, ὦ ξεῖνε, Ποσειδάωνι ἄνακτι·
Τῷ γὰρ καὶ δαίτης ἐπετήσατε δεῦρο μολόντες.
Αὐτὰρ ἐπὴν σπείσῃς τε καὶ εὔξεαι, ἣ θέμις ἐστί,
Δὸς καὶ τῷ ἕπειτα δέπας μελιηδέος οἴνου
Σπεῖσαι· ἐπεὶ καὶ τῶν γε ὀΐομαι ἀθανάτοισιν
Εὔχεσθαι· πάντες δὲ θεῶν κατέδημοι ἄνθρωποι·
Ἀλλὰ νεώτερός ἐστιν, ὁμηλικίη δ' ἐμοὶ αὐτῷ·
Τὔνεκά τοι πρώτῳ δώσω χρύσειον ἄλεισον.
Ὣς εἰπὼν, ἐν χερσὶ πάλῃ δέπας ἡδέος οἴνου,

" Alia vero & deus suggeret, non enim puto,
" Te, diis inviris, natumque esse nutritumque.
Sic quidem loquutus præcessit Pallas Minerva
Celeriter: ille verò continuò pòst vestigia incedebat deæ:
Venerunt itaque in Pyliorum virorum congregationem & sedilia.
Hic sanè Nestor sedebat cum filiis: circumque socii
Convivium apparantes, carnes assabant, aliasque transfigebant.
Illi igitur, ut hospites viderunt, conferti venerunt omnes,
Manibusque prehensabant, & considere jusserunt.
Primus Nestorides Pisistratus propè accedens,
Utrorumque prehendit manum, & collocavit ad epulum
Pellibus in mollibus super arenas marinas,
Juxtáque fratrem Thrasymedem, & patrem suum.
Præbuit autem viscerum partes, infundebátque vinum
Aureo in poculo, propinansque allocutus est
Palladem Minervam filiam Jovis,

" Supplica nunc, ô hospes, Neptuno regi;
" Hujus enim dapium participes estis huc venientes.
" Cæterùm postquam libaveris & supplicaveris, ut decens est,
" Da & huic deinde poculum dulcis vini
" Libare: quoniam etiam hunc puto immortalibus
" Supplicare: omnes enim diis indigent homines:
" Sed junior est, ætate similis mihi ipsi;
" Propterea tibi priori dabo aureum poculum.
Sic loquutus in manibus posuit poculum dulcis vini:

Σ Χ Ο Λ Ι Α.

27. Ὑποθήσεται.] Ὑποβάλῃ.
28. Ἀέκητι.] Ἀβουλίᾳ, παρὰ γνώμην. Γενέσθαι.] Γεννηθῆναι.
31. Ἵξον.] Ἀφίκοντο, ἦλθον. Ἕδρας.] Τὰ συνέδρια.
33. Ἐντυνόμενοι.] Παρασκευάζομενοι. Ἔπειρον.] Περιέπειρον, ἐνῆγον. ὃ ἐστι διεπερόνησαν.
37. Ἵδρυσεν,] Ἐκάθισεν.
38. Κώεσι.] Κωδίοις, δέρμασι καθαίτοις. Ἁλίῃσι.] Θαλασσίαις.
40. Μοίρας.] Μερίδας. Δειδισκόμενος.] Δεξιούμενος, φιλοφρονούμενος.
44. Δαίτης.] Εὐωχίας. Μολόντες.] Ἐλθόντες.
45. Σπείσῃς.] Θύσῃς. Ἐπετήσατε.] Ἐπετύχετε, συνηντήσατε.
49. Ὁμηλικίη.] Ὁμηλιξ, συνηλικιώτης.
50. Πρώτῳ.] Πρώτῃ. Ἄλεισον.] Ἔκπωμα ἐκτετορυδρωμένον, οἷον κύκλιον ὑπάρχον, ἢ πλατὺ, ὅθεν ἐσθίουσιν ἄλις πιεῖν.

NOTÆ IN SCHOLIA.

33. Ἐνῆγον) Pro *corrupto* σὺν ἦγον lego, ipsis licet MSS. cum *Impressis* refragantibus. Ità enim *Hesych.* Ἔπειρον) Ἐνῆγον. Ἐνῆγον enim & σὺν ἦγον, ab σὺν εἴρω.

VARIÆ LECTIONES.

28. Τὸ τραφέμεν τὸ) γρ. τετραφέμεν τὸ, *H. Steph.*
33. Κρέα ὤπτων, ἄλλα δ' ἔπειρον) γρ. κρέα τ' ὤπτων, ἄλλα τ' ἔπειρον, *Florentin.*

Χαῖρε

Χαῖρε δ' Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ,
Οὕνεκά οἱ προτέρῃ δῶκε χρύσειον ἄλεισον·
Αὐτίκα δ' εὐχετόωντο πολλὰ Ποσειδάωνι ἄνακτι,
Κλῦθι, Ποσείδαον γαιήοχε, μηδὲ μεγήρῃς
Ἡμῖν εὐχομένοισι τελευτῆσαι τάδε ἔργα.
Νέστορι μὲν πρώτιστα καὶ υἱάσι κῦδος ὄπαζε,
Αὐτὰρ ἔπειτ' ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβήν,
Σύμπασιν Πυλίοισιν, ἀγακλειτῆς ἑκατόμβης.
Δὸς δ' ἔτι Τηλέμαχον καὶ ἐμὲ πρήξαντα νέεσθαι,
Οὕνεκα δεῦρ' ἱκόμεσθα θοῇ σὺν νηῒ μελαίνῃ.
Ὡς ἄρ' ἔπειθ' ἡρᾶτο, καὶ αὐτὴ πάντα τελεύτα,
Δῶκε δὲ Τηλεμάχῳ καλὸν δέπας ἀμφικύπελλον.
Ὡς δ' αὔτως ἠρᾶτο Ὀδυσσῆος φίλος υἱός.
Οἳδ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
Μοίρας διασάμενοι, δαίνυθ' ἑκηβόλα δαῖτα.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Τοῖς ἄρα μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ,
Νῦν δὴ κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἐρέσθαι
Ξείνους, οἵ τινές εἰσιν, ἐπεὶ τάρπησαν ἐδωδῆς.
Ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
Ἦ τί νε χρῆμ' πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε,
Οἷά τε λῃστῆρες ὑπεὶρ ἅλα; τοί γ' ἀλόωνται

Gavisa est autem Pallas propter prudentem virum justum,
Eò quòd ipsi priori præbuerit aureum poculum.
Statimque supplicavit multa Neptuno regi,
" Audi, Neptune, terram-continens, neque invideas
" Nobis supplicantibus perficere hæc opera.
" Nestori quidem primò & filiis gloriam præbe:
" Cæterùm postea aliis da gratam remunerationem,
" Omnibus Pylis, ob inclytam Hecatombam:
" Da insuper Telemachum & me re confectâ redire,
" Cujus gratiâ huc venimus celeri cum nave nigrâ
Sic utique tandem precabatur, & ipsa omnia perficiebat:
Dedit verò Telemacho pulchrum poculum rotundum.
Eodem etiam modo supplicavit Ulyssis charus filius.
Hi postquam assarunt carnes superiores & abstraxerunt,
Partibus distributis, celebrârunt splendidum convivium.
Cæterùm postquam potûs & cibi desiderium exemerunt,
Illis utique sermones cœpit Gerenius eques Nestor,
" Nunc certè satius est inquirere & interrogare
" Hospites, quinam sint; postquam saturati sunt cibo.
" O hospites, quinam estis? unde navigatis humidas vias?
" An ob aliquod negocium, aut temerè erratis,
" Tanquam prædones per mare; qui errant,

ΣΧΟΛΙΑ.

55. Μεγήρῃς.] Φθονήσῃς.
58. Ἀμοιβήν.] Χάριν, ἔκτισιν.
59. Ἀγακλειτῆς.] Ἄγαν εὐδόξε.
62. Τελεύτα.] Ἐτελείου, ἐπλήρου.
64. Ὡς δ' αὔτως.] Οὕτως δέ.
65. Ὑπέρτερα.] Τὰ ὑπερβάλλοντα καὶ μείζονα ἔξωθεν τῶν ἔνδον· ἔστι δὲ ἐν ταπαῖς, ταῦτα γὰρ ὑπερέχει τῶν λοιπῶν κρεῶν.
66. Διασάμενοι.] Μερισάμενοι.
68. Γερήνιος.] Καλῶς μὲ Ἡσίοδον, ὃ ἐκ Γερήνας ὠνομασμένον.
69. Καλλιον.] Καλόν. Μεταλλῆσαι.] Ἐπιζητῆσαι. Ἐρέσθαι.] Ἐρωτῆσαι.
70. Τάρπησαν.] Ἐκορέσθησαν.
71. Πλεῖτε.] Πλέετε.
72. Ἀλάλησθε.] Πλανᾶσθε.
73. Οἷά τε λῃστῆρες.] Οὐκ ἄδοξον ἦν παρὰ τοῖς παλαιοῖς τὸ λῃστεύειν, ἀλλ' ἔνδοξον. Λῃστῆρες.] Λῃστάι. Ὑπὲρ ἅλα.] Κατὰ τὸν θαλάσσαν. Ἀλόωνται.] Πλανῶνται.

NOTÆ.

52. Χαῖρε δ' Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ) Ità Oraculum Pythii apud *Eusebium* & *Lactantium*, Εὐσεβέστατον ἦ βροτοῖς γένημαι τόσον, ὅσον Ὀλόμπῳ.
73. Οἷά τε λῃστῆρες) Vid. Not. in *Brevia Schol.*

NOTÆ IN SCHOLIA.

65. Ὑπέρτερα) Vocalem τ, ante ἔξωθεν, delco, MSS. duorum auctoritate.
73. Οἷά τε λῃστῆρες) Huic *Scholio* lucem præfert *Thucydides*, l. 1. §. ε'. fol. 3. Οὐκ ἔχοντός πω αἰσχύνην

VARIÆ LECTIONES.

73. Ὑπὲρ ἅλα) γρ. ὑπὲρ ἅλμ. *Br. Schol.* *Ibid.* Τοίγ' ἀλόωνται) γρ. τοί τ' ἀλόωνται. *H. Steph.*

Ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέρουσ᾽;
Τόνδ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Θαρσήσας· αὐτὴ γὰρ ἐνὶ φρεσὶ θάρσος Ἀθήνη
Θῆκ᾽, ἵνα μὶν περὶ πατρὸς ἀπιχομένοιο ἔροιτο,
Ἠδ᾽ ἵνα μὶν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχησιν·
Ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν,
Εἶρεαι, ὁππόθεν εἰμύ· ἐγὼ δέ κε τοὶ κατὰ μοῖραν
Ἡμεῖς ἐξ Ἰθάκης ὑπονηίου εἰλήλουθμεν,
Πρῆξις δ᾽ ἦδ᾽ ἰδίη, ὐ δημιόν, ἣν ἀγορεύσω.
Πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι, ἤντιν᾽ ἀκούω,
Δίου Ὀδυσσῆος ταλασίφρονος· ὅν ποτέ φασιν
Σὺν σοὶ μαρνάμενον, Τρώων πόλιν ἐξαλαπάξαι.
Ἄλλους μὲν γὰρ πάντας, ὅσοι Τρωσὶν πολέμιζον,
Πευθόμεθ᾽, ἧχι ἕκαστος ἀπώλεσε λυγρῷ ὀλέθρῳ·
Κείνου δ᾽ αὖ κῆρ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων.
Οὐ γάρ πις δύναται σάφα εἰπέμεν, ὁππόθ᾽ ὄλωλεν·
Εἴθ᾽ ὅγ᾽ ἐπ᾽ ἠπείρου δάμη ἀνδράσι δυσμενέεσσιν,
Εἴτε κὴ ἐν πελάγει μετὰ κύμασιν Ἀμφιτρίτης.
Τέκνα νῦν τὰ σὰ γούνατ᾽ ἱκάνομαι, αἴκ᾽ ἐθέλῃθα
Κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴπου ὄπωπας
Ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἀκούσας

" Animis *in diſcrimen* conjectis, malum alienis ferentes?
Hunc rurſus Telemachus prudens contra alloquutus eſt,
Confidens; ipſa enim intra præcordia confidentiam Pallas
Poſuit; ut ipſum de patre abſente interrogaret,
Et ut ipſum gloria ingens inter homines conſequatur:
" O Neſtor Neleïde, ingens gloria Græcorum,
" Interrogas, unde ſimus; ego quidem tibi enarrabo:
" Nos ex Ithacâ ad Nejum *ſita* venimus,
" Negotiumque hoc privatum eſt, non publicum, quod dicam:
" Patris mei decus ingens inquiro, ſicubi audiero,
" Divi Ulyſſis patientis, quem pridem ajunt,
" Unà tecum pugnantem, Trojanorum urbem evertiſſe.
" Alios quidem omnes, quotquot cum Trojanis pugnârunt,
" Audivimus, quo in loco unuſquiſque perit ſævâ morte:
" Illius verò etiam mortem incognitam fecit Jupiter.
" Neque quiſquam poteſt clarè dicere, ubinam perierit:
" An ille in continenti domitus ſit à viris hoſtibus,
" An in Pelago inter *fluctus* maris
" Ideò nunc ad tua genua venio, ſiquidem velis
" Illius ſævam mortem dicere, ſicubi videris
" Oculis tuis, an alterius orationem audiveris

ΣΧΟΛΙΑ.

74. Ψυχὰς παρθέμενοι.] Ἀφειδήσαντες ἑαυτῶν, παραβαλόντες. Ἀλλοδαποῖσιν.] Τοῖς ἀλλοφύλοις ξένοις.
80. Εἶρεαι.] Ἐρωτᾷς.
81. Ὑπονηίου.] Τῆς ὑπὸ τὸ Νήϊον ὄρος κειμένης.
82. Οὐ δημιόν.] Οὐ δημοσίᾳ.
83. Μετέρχομαι.] Ἐπιζητῶ.
84. Ταλασίφρονος.] Ὑπομενητικοῦ.
85. Ἐξαλαπάξαι.] Ἐκπορθῆσαι.
87. Πευθόμεθα.] Ἐμαθόμεν, ἠκούσαμεν. Λυγρῷ.] Χαλεπῷ.
88. Ἀπευθέα.] Ἀνήκουστον.
91. Ἀμφιτρίτης.] Τῆς θαλάσσης· λέγεται δ᾽ ὅτι ἡ Ποσειδῶνος γυνή.
92. Ἱκάνομαι.] Ἱκετεύω.
93. Ἐνισπεῖν.] Εἰπεῖν. Ὄπωπας.] Ἐθεάσω, ἑωράκας.

NOTÆ IN SCHOLIA.

τότε δ᾽ ἔργα, φέροντες δέ τι καὶ δόξης μᾶλλον. Δηλῶσι δ᾽ ἴσως τὸ Ἡσιοδείων τινες ἐπὶ τῷ νῦν, οἷς κόσμος καλῶς τοῦτο δρᾶν, καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύστεις τοῦ καταπλεόντων, παντάχοῦ ὁμοίως ἐρωτῶντες, Εἰ λῃσταί εἰσιν· ὡς ἔπ᾽ ὧν πυνθάνονται ἀπαξιοῦντες τὸ ἔργον· οἷς τ᾽ ἐπιμελὲς τὸ εἶναι εὐδόκιμον, οὐκ ἀνειδίζοντες.

81. Ὑπονηίου) *Scholioli* hujus Auctor videtur, cum *Crateta*, Νήϊον accipere pro Νήριθον, de quâ re *Euſtath.* fol. 1613. lin. 29. *Heſychius* exponit, Ὑπονηίου) Τόπος, λίνθρον ἔχων· ἐν οἷς ἐδίσμενον τὰς ναῦς.

84. Ὑπομνητικοῦ) Ità ſemper lego, pro corrupto ὑπομνηστικοῦ. Ità *Aloyſii* MS. *Euſtathius* ὑπομνηστικὸς haud ſemel; verùm à μεμνῆσθαι, μεμνῆμαι, fit Regulariter ὑπομνητικὸς, à *Tertia* nempè *Præteriti Act.* Vid. ad *δ'*. v. 636.

VARIÆ LECTIONES.

81. Ὑπονηίου) *χρ.* ὑπὸ Νηίου. vid. ad *α'*. v. 186. & *Br. Schol.*

82. Ἀγορεύσω) *χρ.* ἀγορεύω. *H. Steph.*

92. Αἴκ᾽ ἐθέλῃθα) *χρ.* αἴκε θέλῃθα, olim in *Impreſſis*, at malè; cùm θέλω non ſit *Homericum*, ut ad *Il. α'*. v. 133. & ità hic verſus legitur, *Il. σ'*. v. 457.

Πλαζο-

Πλαζομένῳ· πέλ. γάρ μιν ὀϊζυρὸν τέκε μήτηρ.
Μηδέ τί μ' αἰδόμενος μειλίσσεο, μηδ' ἐλεαίρων,
Ἀλλ' εὖ μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς·
Λίσσομαι, εἴ πολέ τοί τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεὺς,
Ἢ ἔπει, ἠέ τι ἔργῳ, ὑποσχὰς ἐξετέλεσσε
Δήμῳ ἔνι Τρώων· ὅθι πάσχετε πήματ' Ἀχαιοί,
Τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἔνισπε.
Τόνδ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ,
Ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀϊζύος, ἣν σὺ ἂν εἴνῳ
Δήμῳ ἀνέτλημεν μυθήσασθαι ἄχεσθαι ἰῆς Ἀχαιῶν,
Ἣ μὴν ὅσα ξὺν νηυσὶν ἐπ' ἠεροειδέα πόντον
Πλαζόμενοι κτὶ λῃΐδ', ὅπη ἄρξειεν Ἀχιλλεύς,
Ἠδ' ὅσα περὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
Μαρνάμεθ', ἔνθάδ' ἔπειτα κατέκταθεν, ὅσσοι ἄριστοι·
Ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς,
Ἔνθα ὃ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
Ἔνθα δ' ἐμὸς φίλος υἱὸς, ἅμα κρατερὸς καὶ ἀμύμων,
Ἀντίλοχος, ποδὶ μὲν θείειν ταχὺς, ἠδὲ μαχητής·
Ἄλλα τε πολλ' ἐπὶ τοῖς παθόμεν κακά· τίς κεν ἐκεῖνα
Πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;
Οὐδ' εἰ πενταετές γε καὶ ἑξαετὶς ὧδε μίμνων
Ἐξερέοις, ὅσα κεῖθι πάθον κακὰ δῖοι Ἀχαιοί·
Πρὶν κεν ἀνιηθεὶς σὴν παλίσσυτο γαῖαν ἵκοιο.
Εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες

" Errantis, nimium enim ipsum arumnosum peperit mater.
" Neque ullo pacto me veritus blandiaris, neque misertus;
" Sed planè mihi narres, utcunque contigit videre:
" Supplico, si unquam tibi pater meus bonus Ulysses,
" Sive dictum, sive factum, promittens perfecit
" Populo in Trojanorum; ubi passi estis clades Græci,
" Horum nunc mihi memor sis, & mihi veritatem dicas.
Huic respondit deinde Gerenius eques Nestor,
" O amice, quoniam memorem me facis calamitatis, quam in illo
" Populo passi sumus robore indomiti filii Achivorum,
" Sive quæcunque cum navibus per obscurum pontum
" Errantes ad prædam, ubicunque duceret Achilles:
" Sive quæcunque circa urbem magnam Priami regis
" Pugnavimus; ibi subinde occisi sunt, quotquot optimi.
" Illic quidem Ajax jacet martius, illic Achilles,
" Illic & Patroclus diis, consilio æquiparandus,
" Illic & meus dilectus filius, simul fortis & inculpabilis,
" Antilochus, supra modum currendo velox atque pugnator:
" Aliaque multa præter hæc passi sumus mala. Quis illa
" Omnia utique enarraret mortalium hominum?
" Neque si quinquennio utique & sexennio hîc permanens
" Interrogaveris, quæ illic passi sint mala divi Græci:
" Prius utique tædio affectus tuam ad patriam terram perveneris.
" Novennio enim ipsis mala nexuimus hinc inde aggredientes

Σ Χ Ο Λ Ι Α.

95. Ὀϊζυρόν.] Ἐπίπονον, παλαίπωρον.
96. Μειλίσσεο.] Μείλιχα καὶ ὡσανεὶ λέγε. Ἐλεαίρων.] Ἐλεῶν.
97. Κατάλεξον.] Ἔκαστα εἰπέ. Ἤντησας.] Ἀπλῶτησας. Ὀπωπῆς.] Θέας, παρὰ τὰς ὄψεις, ἢ φωνῆς, παρὰ τὸ ὄπα.
99. Ὑποσχάς.] Ὑπομείνας, ὧν ὑποχόμενος. Ἐξετέλεσσε.] Ἐτελείωσεν, ἐπλήρωσεν.
101. Μνῆσαι.] Μνημόνευσον. Ἔνισπε.] Εἰπέ.
104. Ἀνέτλημεν.] Ἐπιμείναμεν. Μύθῳ ἄχεσθαι.] Τὸ δύναμαι ἀκαταίσχετοι, ἀνδρεῖοι.

N O T Æ.

114. Καταθνητῶν) Vid. ad *Iliad.* ε'. v. 402.

NOTÆ IN SCHOLIA.

97. Ἀπήντησας) Ità pro, *malo* ἐπήντησας, & pro ὄπας, lego ἄπας, nec sine MSS. Auctoritate.

106. Ὅπη, καὶ λῃΐδα.] Κατὰ τὴν λείαν, ἀφ' τὴν τῶν λαφύρων κτῆσιν. Ὅπη.] Ὅπου. Ἄρξειεν.] Ἡγήσαιτο.
108. Μαρνάμεθα.] Μαχόμεθα.
110. Θεόφιν μήστωρ ἀτάλαντος.] Θεοῖς σὺ τῷ βουλεύσῃ ὅμοιος.
114. Μυθήσαιτο.] Εἴποι.
115. Παρεμμίμνων.] Παραμείνων.
116. Ἐξερέοις.] Ἐξερωτήσειας, ἐρωτήσειας.
118. Κακὰ ῥάπτομεν.] Κακὰ ἐβουλεύομεθα, συνηργάσμεν, ἐτεχνώμεθα.

VARIÆ LECTIONES.

106. Ὅπη) κ. ὅπῃ, MS. GC.
114. Καταθνητῶν) κ. καθ' θνητῶν, vid. Not. in *Textum*.

Παν

Παντοίοισι δόλοισι· μόγις δ' ἐτέλεσσε Κρονίων.
Ἔνθ' ὅπις ποτὲ μῆτιν ὁμοιωθήμεναι ἄντιω
Ἤθελ', ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσσεύς
Παντοίοισι δόλοισι, πατὴρ τεός· εἰ ἐτεόν γε
Κεῖνο ἔκγονός ἐστι· σέβας μ' ἔχει εἰσορόωντα.
Ἦτοι γὰρ μυθοί γε ἐοικότες, οὐδέ κε Φαίης
Ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι.
Ἔνθ' ἦτοι εἶος μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεύς,
Οὔτε πότ' εἰν ἀγορῇ δίχ' ἐβάζομεν, οὔτ' ἐνὶ βουλῇ,
Ἀλλ' ἕνα θυμὸν ἔχοντε, νόῳ καὶ ἐπίφρονι βουλῇ
Φραζόμεθ', Ἀργείοισιν ὅπως ὄχ' ἄριστα γένηται.
Αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
Βήμῃ δ' ἐν νήεσσι, θεὸς δ' ἐνὶ δάσσατο Ἀχαιούς·
Καὶ τότε δὴ Ζεὺς λυγρὸν ἐνὶ φρεσὶ μήδετο νόστον
Ἀργείοις· ἐπεὶ οὔπι νοήμονες, οὐδὲ δίκαιοι,
Πάντες ἔσαν· τῷ σφέων πολέες κακὸν οἶτον ἐπέσπον,
Μήνιος ἐξ ὀλοῆς Γλαυκώπιδος ὀβριμοπάτρης,

" Omnigenis dolis; vix tandem finem dedit Jupiter.
" Ibi nullius unquam prudentiâ similis esse palam
" Voluit; nam valdè multùm vincebat divus Ulysses
" Omnimodis dolis, pater tuus; siquidem tu verè
" Illius filius es; admiratio me tenet aspicientem:
" Profectò enim sermones similes; neque utique diceres
" Virum juniorem usque adeò similia loqui.
" Ibi profectò quousque quidem ego & divus Ulysses *aderamus*,
" Nunquam in concione diversum dicebamus, neque in concilio,
" Sed eundem animum habentes, mente & prudenti opinione
" Consultabamus, Græcis ut quàm eximiè optima fierent.
" Cæterùm postquam Priami urbem expugnavimus excelsam,
" Abivimusque in navibus, deusque disperfit Græcos;
" Et tunc certè Jupiter tristem in mente machinabatur reditum
" Græcis; nam neque prudentes neque justi
" Omnes erant: ideóq; ipsorum plures malum fatum consequuti sunt,
" Irâ ex pernicioſâ Minervæ terribilem patrem habentis,

Σ Χ Ο Λ Ι Α.

121. Ἤθελεν.] Ἠδύνατο.
122. Τεός.] Ὁ σός.
123. Ἔκγονός.] Παῖς. Σέβας.] Ἔκπληξις.
124. Μῦθοι.] Λόγοι. Φαίης.] Εἴποις, ἀντὶ τοῦ εἴποι τις ἄν.
126. Εἶος.] Ἐφ' ὅσον χρόνον.
127. Δίχ' ἐβάζομεν.] Ἐδιχογνωμονοῦμεν, ἐλέγομεν.
128. Ἕνα θυμὸν ἔχοντε.] Ὁμονοοῦντε. Ἐπίφρονι.] Σωστῇ. Βουλῇ.] Σκέψει, γνώμῃ.
129. Φραζόμεθα.] Ἐβουλευόμεθα.
130. Διεπέρσαμεν.] Παντελῶς ἐπορθήσαμεν.
131. Βῆμεν.] Ἐβημεν, ἐσηλθομεν.
134. Σφέων.] Αὐτῶν. Ἐπέσπον.] Ἐπλήρωσαν.
135. Μήνιος.] Ἐπὶ Αἴαντι τῷ Λοκρῷ ὅτι ἐβιάσατο, βιασάμενον ἐν τῷ ἱερῷ αὐτῆς Κασσάνδραν. Μήνι.] Ὀργῆς.

N O T Æ.

121. Ἐπὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσσεὺς Παντοίοισι δόλοισι, πατὴρ τεός) Et aliàs laudi ducitur esse, παντοίοισι δόλοισι κεκασμένον, & ipse aliàs de se, Εἶμ' Ὀδυσσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισιν Ἀνθρώποισι μέλω, καὶ μοῦ κλέος οὐρανὸν ἵκει. De quâ re, Nos fusius ad *Odyss. α'.* v. 417. *Prælection.* XXIX. Vid. infrà, ad v. 198.

NOTÆ IN SCHOLIA.

MSto, at in MSto GC. συνήργημεν, unde συνηργοῦμεν emendamus; quâ voce *Eustathius* utitur, in locum.

122. Τεὸς) Ὁ σός. Hoc ex Duobus MSS. In *Impressis* puto omissum, præ contemptu; cùm aliàs nè ἐῶπα, in totâ hâc *Rhapsodiâ*, in *Impressis* omittatur, quod in MSS. reperiatur, exceptis, quæ excipio.

127. Ἐδιχογνωμονοῦμεν.) Quanquam ἐδιχονοεῖμεν, quod priùs obtinuerat, sit vox probata; cùm tamen MS. *Aloysii* ἐδιχγνωμοῦμεν, & MS. GC. ἐδιχγνωμοῦμεν aperte præferat, ità scribo. Cætera melius ordinavi; & ad sequens *Scholion*, quo pertinebant removi.

135. Μήνιος) Pro ἐκάλεσεν, lego, ὃν ἐκόλασεν, ex *Historiâ*. Nam quod huic *Ajaci*, in *Minervæ* templo *Cassandram* violasse, Impunè fuit, nec in illum à quovis animadversum, ὃν ἐκόλασεν, ideò *Minervæ* cum omnibus pariter *Græcis* irata est, Vid. Prologum *Euripidis*, Troadum & *Hyginum*, Fab. CXVI. *Nauplius*. Sic et M. Nic. Comn. in Aristid. Quintilian. p. 296.

VARIÆ LECTIONES.

123. Ἔκγονός) χρ. ἔχος, *Eustath.* fol. 1460. lin. 17. Nec hoc *H. Steph.* vidit, ut nec alios plurimos. De harum vocum inter se differentia, *Tzetzes* in *Lycophron.* v. 580.

127. Δίχ' ἐβάζομεν) χρ. δίχα βάζομεν, *H. Steph.*

Ἦτ'

Ἦτ' ἔριν Ἀτρείδησι μετ' ἀμφοτέροισιν ἔθηκεν.
Τὼ ἤ καλεσαμένω ἀγορὴν ἐς πάντας Ἀχαιοὺς
Μάψ, ἀτὰρ ἠ κατὰ κόσμον, ἐς ἠέλιον καταδύντα,
Οἱ δ' ἦλθον οἴνῳ βεβαρηότες υἷες Ἀχαιῶν,
Μῦθον μυθείσθην, τῶ εἵνεκα λαὸν ἄγειραν.
Ἔνθ' ἦτοι Μενέλαος ἀνώγει πάντας Ἀχαιοὺς
Νόστου μεμνήσκεσθαι ἐπ' εὐρέα νῶτα θαλάσσης·
Οὐδ' Ἀγαμέμνονι πάμπαν ἐήνδανε· βούλετο γάρ ῥα
Λαὸν ἐρυκακέειν, ῥέζειν τ' ἱερὰς ἑκατόμβας,
Ὡς τὸν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο,
Νήπιος, οὐδὲ τὸ ἤδη, ὃ ἠ πείσεσθαι ἔμελλεν·
Οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων·
Ὣς τὼ μὴ χαλεποῖσιν ἀμειβομένω ἐπέεσσιν
Ἔστασαν· οἱ δ' ἀνόρουσαν ἐϋκνήμιδες Ἀχαιοὶ
Ἠχῇ θεσπεσίῃ· δίχα δὲ σφίσιν ἤδαν βουλή.
Νύκτα μὴν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες
Ἀλλήλοις· ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο·
Ἠῶθεν δ' οἱ μὲν νέας εἵλκομεν εἰς ἅλα δῖαν,
Κτήματά τ' ἐνθέμεθα, βαθυζώνους τε γυναῖκας·
Ἡμίσεες δ' ἄρα λαοὶ ἐρητύοντο μένοντες
Αὖθι, παρ' Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν·
Ἡμίσεες δ' ἀναβάντες ἐλαύνομεν· αἱ ἤ μάλ' ὦκα
Ἔπλεον· ἐξόρεσεν δὲ θεὸς μεγαχήτεα πόντον.

"Quæ contentionem Atridas inter injecit utrosque.
" Hi verò convocatis ad concionem omnibus Achivis
" Frustrà, sed neque ex decoro ad solem occidentem,
" Venerunt enim vino gravati filii Achivorum,
" Sermones explicabant, cujus gratiâ populum congregârant.
" Ibi tum Menelaus jubebat omnes Græcos,
" Reditûs memores esse super lata dorsa maris:
" Neque Agamemnoni penitùs placebat: volebat sanè
" Populum detinere, & facere sacra Hecatombas,
" Ut Palladis vehementem iram placaret;
" Stultus; neque istoc noverat, quòd non persuasurus erat:
" Non enim statim deorum vertitur mens sempiternorum.
" Sic hi quidem asperis inter se altercantes dictis
" Stabant: ipsi verò surrexerunt fortes Græci,
" Clamore ingenti: bifariàm autem ipsis placebat consilium.
" Noctem quidem dormivimus pernicioſa mente cogitantes
" Invicem; insuper enim Jupiter parabat damnum maximum:
" Manè autem naves quidem deduximus in mare humidum:
" Resque imposuimus, demissas zonas habentesque mulieres.
" Dimidii autem populi remansit manentes
" Ibidem, apud Atridem Agamemnona, pastorem populorum:
" Dimidii a. conscensâ *nave* profecti sumus; hæ autem valdè velociter
" Navigabant: straverit enim deus monstrosum pontum:

ΣΧΟΛΙΑ.

137. Καλεσαμένω] Καλέσαντες.
140. Μυθήσθην.] Ἔλεγον. Ἄγειραν.] Συνήγειραν.
144. Ἐρυκακέειν.] Καθέχειν, κωλύσαι.
145. Ἐξακέσαιτο.] Θεραπεύσειεν, ἰάσαιτο.
146. Πείσεσθαι.] Πείσειν.
147. Τρέπεται.] Μεθίσταται.
148. Ἀμειβομένω.] Ἐξ ἀμοιβῆς ἀλλήλοις ἀπεκρινόμενοι.
149. Ἔστασαν.] Ἀντὶ τοῦ, διέτριβον. Ἀνόρουσαν.] Ἀνεθορύβησαν.
151. Ἄεσαμεν.] Ἀνεπαισθόμεθα, ὀνειρώξημεν, ἢ διενυκτερεύσαμεν, ἐμείναμεν. Ὁρμαίνοντες.] Ἐνθυμούμενοι. βουλευόμενοι.
152. Ἤρτυε.] Παρεσκεύαζεν.
155. Ἐρητύοντο.] Ἐμένομεν οἰκείᾳ τῇ γνώμῃ.
157. Ἡμίσεες.] Ἥμισυς.
158. Ἐξόρεσεν.] Ἔσωσεν, χαλκείῳ ἐπιπόνῳ. Μεγαχήτεα.] Μεγάλα κήτη ἔχοντα.

NOTÆ.

143. Ἐήνδανε) Pro ἤδανε. Vid. ad *Iliad.* α'. v. 25.
147. Οὐ γάρ τ' αἶψα θεῶν) Vid. *Iliad.* ι'. v. 493.

NOTÆ IN SCHOLIA.

146. Πείσεσθαι) Πείσειν, ut benè Duo MSS. malè *Impressi* πείσεσθαι, nihil simul sumas ἴμεναι, πείσεσθαι ἴμεναι) Πείσειν.
155. Γνώμῃ) Ità MSS. Duo; quare βουλῇ, quod olim in *Impressis*, minùs placet.

VARIÆ LECTIONES.

144. Ῥίζειν) γρ. ῥίξαι, *H. Steph.*

Ἐς

Ἐς Τένεδον δ' ἐλθόντες, ἐρέξαμεν ἱερὰ θεοῖσιν,
Οἴκαδε ἱέμενοι· Ζεὺς δ' ὄπωπ μήδετο νόσον,
Σχέτλιος, ὅς ῥ' ἔσσυτ' ὦρσε κακὴν ἐπὶ δεύτερον αὖτις.
Οἱ μὲν ἀποφθίμενοι ἔβαν νέας ἀμφιελίσσας,
Ἀμφ' Ὀδυσῆα ἄνακτα δαίφρονα ποικιλομήτην,
Αὖτις ἐπ' Ἀτρείδῃ Ἀγαμέμνονι ἦρα φέροντες.
Αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλέσιν, αἵ μοι ἕποντο,
Φεῦγον, ἐπεὶ γίνωσκον, ὃ δὴ κακὰ μήδετο δαίμων.
Φεῦγε δὲ Τυδέος υἱὸς ἀρήϊος, ὦρσε δ' ἑταίρους·
Ὀψὲ δὲ δὴ μετὰ νῶϊ κιὲ ξανθὸς Μενέλαος,
Ἐν Λέσβῳ δ' ἔκιχεν δολιχὸν πλόον ὁρμαίνοντας,
Ἦ καθύπερθε Χίοιο νεώμεθα παιπαλόεσσης,
Νήσου ἔπι Ψυρίης, αὐτοῦ ἐπ' ἀριστερὰ ἔχοντες,
Ἦ ὑπένερθε Χίοιο, παρ' ἠνεμόεντα Μίμαντα.
Ἠιτέομέν δὲ θεὸν φῆναι τέρας· αὐτὰρ ὅγ' ἡμῖν
Δεῖξε, καὶ ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν
Τέμνειν, ὄφρα τάχιστα ὑπεκ κακότητα φύγοιμεν.
Ὦρτο δ' ἐπὶ λιγὺς ἔργ ἀήμεναι· αἱ δὲ μάλ' ὦκα
Ἰχθυόεντα κέλευθα διέδραμον· ἐς δὲ Γερηστὸν

" In Tenedum autem quum advenimus, fecimus sacra diis,
" Domum *pervenire* cupientes: Jupiter autem nondum curabat reditum,
" Infestus: qui contentionem concitavit malam secundò iterum.
" Alii quidem reversuri ascenderunt naves remis utrinque impulsas,
" Qui circa Ulyssem erant regem prudentem varii consilii,
" Rursus Atridæ Agamemnoni gratificantes.
" Sed ego cum navibus congregatis, quæ me sequebantur,
" Fugi; quoniam cognoscebam; quòd jam mala meditabatur deus.
" Fugit & Tydei filius bellicosus, impulitque socios;
" Serò autem ad nos venit flavus Menelaus,
" In Lesbo etenim offendit de longâ navigatione deliberantes,
" An supra Chium iremus asperam,
" Ad Insulam Psyriam, ipsam a sinistris habentes,
" An sub Chio, ad ventosum Mimanta.
" Rogavimus itaque deum ostendere signum: sed hic nobis
" Ostendit & jussit pelagus medium in Euboeam
" Sulcare; ut quàm celerrimè infortunium fugeremus.
" Cœpit autem stridulus ventus spirare; hæ verò valdè velocitèr
" Piscosas vias percurrerunt; & ad Gerastum

ΣΧΟΛΙΑ.

159. Ἐρίξαμεν.] Ἐπραξάμεν, ἐθύσαμεν.

164. Ἦρα.] Ἐπήρατο.

168. Μετὰ νῶϊ.] Ὡς ἐμοὶ ἡμᾶς, μετ' ἡμᾶς.

169. Λέσβῳ.] Λέσβου, νῆσον Τροίας, ἔχουσα πόλεις, Πύρραν, Ἔρεσσον, Μιτυλήνην, Μήθυμναν, Ἄντισσαν. Ἔκιχεν.] Κατέλαβεν. Δολιχὸν πλόον ὁρμαίνοντας.] Διανοούμενος ἐπὶ μακρὸν πλοῦν.

170. Καθύπερθεν.] Ὑπερέκεινθεν. Νεώμεθα.] Περάσομεν, ἀντὶ τοῦ πλέομεν. Παιπαλόεσσης.] Τραχείας.

171. Νήσου ἔπι Ψυρίης.] Νησίδιόν ἐστι λυπρὸν ἀπέχον σταδίους π', τῆ Χίῳ· ὃ καὶ αἰγιαλὸν ἴσχει. οὗ φησὶ λιμοῦ σπανίζοντος διὰ τὸ Αἰγαίῳ πελάγει παρασομβάσας τὰς ναῦς· μείνωσι Δημοσθένης· κεῖται ἡ νῆσος Χίου μέση τῆ Ψυρῶν καὶ τῆ Μιμαντῳ. Αὐτοῦ ἐπ' ἀριστέρ' ἔχοντες.] Τῷ Χίον λέγει.

172. Παρ' ἠνεμόεντα Μίμαντα.] Ὁ Μίμας, ὄρος τῆς Μιμαντίδος, ἐνὸς τῶν μεγίστων, ὀνομαζόμεν. Ἠνεμόεντα.] Ἀνέμοις καθαπτόμενον, κατάνεμον, ὑψηλόν. Ὑπένερθεν.] Ὑποκάτωθεν. Ἐρυθρῶν Ἰωνίας, ἄντικρυς Χίου, τῆ νήσῳ.

173. Ἠιτέομεν.] Ἠιτοῦμεν, παρεκαλοῦμεν. Φῆναι.] Δεῖξαι.

174. Ἠνώγει.] Ἐκέλευεν. Πέλαγος μέσον.] Τῷ τέτων μέσῳ ὁδόν. Εὔβοιαν.] Νῆσον, ἐγγὺς Ἀθηνῶν.

175. Τέμνειν.] Διαπερᾶν. Κακότητα.] Τὸν κίνδυνον, τῷ κακίαν.

176. Οὖρος.] Πόμπιμος ἄνεμος. Ἀήμεναι.] Πνεῖν, φυσᾶν.

177. Ἰχθυόεντα κέλευθα.] Τῷ ἁλμυρὰν λέγει. Γερηστόν.] Γεραιστὸν, λιμοῦ Εὐβοίας.

NOTÆ IN SCHOLIA.

169. Ἔρεσσον) *Aloysii* MS. & *Stephanus* ἐπὶ πόλεων, Ἔρεσον legunt, undè *Theophrastus* Ἐρίσιος. *Strabo* tamen Ἐρεσσὸς legit, cum Duplici σ'. & *Accento* in ultimâ.

172. Παρ' ἠνεμόεντα Μίμαντα) Ὁ Μίμας, ὄρος Ἐρυθρῶν &c. Ita corrigo, Auctoritate MSti *Aloysiani*, quod legit imprimis, Μίμας δ' ὄρος ἐρυθρᾶς Ἰωνίας, ἄντικρυς Χίου τῆ νήσῳ. Ἐρυθρᾶς corrigo, in Ἐρυθρῶν, & καὶ rejicio, à *Strabone* doctus; qui Montem hunc ad *Erythras* ponit, quam & ille *Jovis* Civitatem docet, fol. 645. & *Stephanus* ἐπὶ πόλεων, v. Ἐρυθραί. Quod olim in fine hujus *Scholii* sequebatur, Μίμαντα) Ὁ Μίμας, ὄρος ἐρυθρᾶς, ἀντικρὺ Χίου, nunc deleo, cùm omnem ejusdem vim in principio extractam habeas. De Gigante *Mimante*, vid. *Horat.* l. 3. Od. iv. Sed quid *Typhœus*, aut validus *Mimas* &c.

Ἐγγύ-

Ἐννύχιαι καταγρῖλο· Ποσειδάωνι δὲ ταύρων
Πόλλ' ἐπὶ μήρ' ἔθεμεν, πέλαγος μέγα μετρήσαντες.
Τέσσαρες ἦμαρ ἔλων, ὅτ' ἐν Ἀργεῖ νῆας ἐίσας
Τυδείδεω ἕταροι Διομήδεϊ ἱπποδάμοιο
Ἕσσαν· αὐτὰρ ἔγωγε Πύλονδ' ἔχον· οὐδέ ποτ' ἔσβη
Οὖρος, ἐπειδὴ πρῶτα θεὸς ὤρεγεν ἀῆναι.
Ὣς ἦλθον, φίλε τέκνον, ἀπθυθής· οὐδέ π οἶδα
Κείνων, οἵ τ' ἐσάωθεν Ἀχαιῶν, οἵ τ' ὄλοντο.
Ὅσσα δ' ἐνὶ μεγάροισι καθήμενος ἠμετέροισι
Πεύσεαι, ἦ θέμις ἐστί, δαήσεαι, οὐδέ σε κεύσω.
Εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν ἐγχεσιμώρους,
Οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου Φαίδιμος υἱός·
Εὖ δὲ Φιλοκτήταο, Ποιάντιον ἀγλαὸν υἱόν·
Πάντας δ' Ἰδομενῆς Κρήτην εἰσήγαγ' ἑταίρους,
Οἵ φύγον ἐκ πολέμου, πόντος δέ οἱ ὕπνον ἀπούρα.
Ἀτρεΐδην δ' αὐτοὶ ἀκούετε, νόσφιν ἐόντες,
Ὡς τ' ἦλθ', ὡς τ' Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
Ἀλλ' ἦτοι κεῖνος μὲν ὑπέμυγερῶς ἀπέτισεν·

" Nocturnæ deductæ sunt: Neptuno autem taurorum
" Multas coxas imposuimus, pelagus magnum emensi.
" Quartus dies erat quando in Argis naves æquales
" Tydidæ socii Diomedis bellicosi
" Constituêre: Sed ego Pylum versus cursum tenui; nec unquam defit
" Ventus, postquam primùm deus præmisit flare.
" Sic veni, dilecte fili, inscius; nec scio quicquam
" De illis, qui servati sint Achivorum, quique perierint.
" Quæcunque autem in domibus sedens nostris
" Audivi, quatenus fas est, doceberis, neque te celabo.
" Bene quidem Myrmidonas dicunt rediisse hastâ exercitatos,
" Quos duxit Achillis magnanimi præclarus filius.
" Bene autem Philoctetem, Pœantis illustrem filium:
" Omnes autem Idomeneus in Cretam duxit socios,
" Qui fugerunt ex bello: pontus etenim ipsi nullum abstulit.
" Atridem verò & ipsi auditis, quanquam procul istis,
" Et quomodò venit, & quomodò Ægisthus molitus est tristè mortem:
" Sed ille quidem etiam miserabilitèr persolvit:

ΣΧΟΛΙΑ.

178. Ἐννύχιαι.] Ἐωθιναὶ, κατὰ νύκτα.

179. Μετρήσαντες.] Διελθόντες, ἀφικόμενοι, ἐλαυνομένοις.

182. Ἔσθη.] Ἐσθίῃ, ἐπαύσαθ.

183. Ἄῆναι.] Πνεῦσαι.

184. Φίλε τέκνον.] Ἤτοι ἀντὶ τοῦ Σημαινόμενον ἀπήντησε φίλως τὸ χαῖρε τέκνον ἠδύπνοον· ἢ ἀντὶ τοῦ συνάνυμον, τὸ παῖς. Ἀπόθης.] Μάλιν πυνθανόμενος, ἢ ἀκούσας.

185. Ἐσάωθεν.] Ἐσώθησαν.

187. Πεύσεαι.] Πυνθάνομαι, ἀκούω. Ἦ θέμις.] Ὡς δίκαιον, ὡς ὁ νόμος. Δαήσεαι.] Μαθήσῃ. Κεύσω.] Κρύψω.

188. Εὖ μὲ Μυρμιδόνας.] Οἱ ναύπορι τὴν Νεοπτόλεμον εἰς τὴν Ἤπειρον ἐλθεῖν λέγουσι.

192. Πόντος δέ οἱ ὕπνον ἀπούρα.] Οὐκ ἀπήλασεν ὁ πόντος πρὸς, ὥς π ἐκαπόνησεν πρό.

194. Ἐμήσατο.] Διεπράξατο, εἰργάσατο.

195. Ἐπισμυγερῶς.] Ἐπιπόνως, τὸ μίσους μετειλημμένον. Αἰολικῶς ἢ ἐστὶν, ἐπιπόνως.

NOTÆ.

179. Πόλλ' ἐπὶ μήρ' ἔθεμεν) Ita *Eustath.* & *H. Steph. Florentina* verò *μηρέ' ἔθημεν*, quam *Lectionem* sunt qui defendunt, per *συνεκφώνησιν* contrahentes Duas breves in unam longam. Verùm non modò *μηρία Homero*, sed & *μηρὰ*, ut *Odyss. ν'.* v. 27. Μηρὰ ϑ κείαντες δαΐνυϑ' ἑτοιμυδὶς δαῖτα, ut ibi *Florentina* etiam. Vid. *Christophori Wasii* Senarium, c. 14. p. 205.

Ἴξον) Vid. ad γ'. v. 5. & quæ Nos ad *Iliad.* β'. v. 773. *Ib.* Κοίλην) Vid. ad *Il* β'. v. 581. *Ib.* Κητώεσσαν) Ælian. Animal. l. 17. c. 6. Κήτη δὲ φασὶ Λάκωνες θάλατταν ἀκύμονα γίνεσθαι μεγίστη μίσγεσθαι. καί τινές φασι τὴν Κελτικὴν τὴν Ὁμήρου εὐπυθῆ εἶναι· Λακεδαίμονα κητώεσσαν. Strabo, l. 8. fol. 564. Γραφόντων δὲ τὰ μέν, Λακεδαίμονα κητώεσσαν. τὰ δὲ, καιεδώεσσαν, ζητεῖται, τὴν κητώεσσαν πῶς δεκτέον χρή, εἴτε ὑπὸ τὰ κοῖλα· ὅσῳ δοκεῖ πιθανώτερον εἶναι· τὴν τε καιετώεσσαν, οἱ μὲν, Καλαμοειδῆ δέχεσθαι· οἱ δὲ, ὅτι οἱ λάοι τὰ σεισμῶν ῥωχμοὶ, καιετοὶ λέγονται, καὶ καιάδας τὸ διεσμωτήριον εὐτυχῶν, τὸ παρὰ Λακεδαιμονίοις αὐλακιόν τι ἔνιοι δὲ κάτω μᾶλλον τὸ τοιοῦτο κοιλώματα λέγεσθαι φασὶν, ἀφ' οὗ καὶ τὸ, Φησὶν ὀρεσκῴοισιν. Εὔσεστος δὲ ἡ Λακωνικὴ καὶ δὴ καὶ Ταϋγέτου κορυφὴν τινα ἀπορραγῆναί τινες μυθολογοῦσιν. Vid. *Bochart.* Ἱεροζωικὸν, 1 Vol. fol. 851. lin. 17. *Athenæum*, hujus libri initium contrahentem merito exagitat *Casaubon.* l. IV. c. 28. fol. 325.

VARIÆ LECTIONES.

V. 1. Κητώεσσαν) γρ. καιετώεσσαν, *Zenodot.* apud *Eustath.* fol. 1478. lin. 35. *Strabo* &c. Vid. Not. in *Textum.*

Ἐν

Ἐν Τροίῃ γὰρ πρῶτον ὑπέσχετο καὶ κατένευσεν
Δωσέμεναι· τοῖσιν δὲ θεοὶ γάμον ἐξετέλειον.
Τὴν ἄρ' ὅγ' ἔνθ' ἵπποισι καὶ ἅρμασι πέμπε νέεσθαι,
Μυρμιδόνων πρὸς ἄστυ περικλυτόν, οἷσιν ἄνασσεν·
Υἱεῖ δὲ Σπάρτηθεν Ἀλέκτορος ἧγετο κούρην,
Ὃς οἱ τηλύγετος γένετο κρατερὸς Μεγαπένθης
Ἐκ δούλης· Ἑλένῃ γὰρ θεοὶ γόνον οὐκ ἔτ' ἔφαινον,
Ἐπειδὴ τοπρῶτον ἐγείνατο παῖδ' ἐρατεινὴν
Ἑρμιόνην, ἣ εἶδος ἔχε χρυσέης Ἀφροδίτης.
Ὣς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα
Γείτονες, ἠδὲ ἕταροι Μενελάου κυδαλίμοιο,
Τερπόμενοι· μέσῳ δὲ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς,
Φορμίζων· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσον.

Ji. Troja enim primùm fœdere pepigerat, atque annuerat
Dare: illis verò dii nuptias perficiebant.
Eam certè ipse illuc equis & curribus mittebat ire,
Myrmidonum ad urbem inclytam, quibus imperabat.
Filio autem ex Sparta Alectoris fuscepit filiam,
Qui ei in senectute natus erat fortis Megapenthes
E servâ: Helenæ autem dii prolem non amplius dabant,
Ex quo semel genuerat filiam amabilem
Hermionem, quæ speciem habebat aureæ Veneris.
Sic hi quidem epulabantur per sublimem magnam domum
Vicini, & subditi Menelai glorioſi,
Oblectati: inter eos verò cantabat divinus cantor,
Citharam pulsans: duóque saltatores inter eos
Cantum auspicantes saltabant in medium.

ΣΧΟΛΙΑ.

7. Δωσέμμεναι.] Δῶναι, παρασχεῖν.

9. Μυρμιδόνων πρὸς ἄστυ.] Ἦν Ὅμηρος μὲν Φθίαν λέγει, οἱ δὲ νεώτεροι Φαρσαλίαν.

10. Σπάρτηθεν.] Ἐκ τῆς Σπάρτης. Ἀλέκτορος κούρην.] Οἱ μὲν Ἰφιάνειραν, οἱ δὲ Ἐχέμηλον λέγουσιν· τὴν δὲ Ἀλέκτορα γλυκαλογοῦσιν Ἀργεῖοι δὲ Πέλοπος. Ἤγετο.] Ἐλάμβανε.

11. Τηλύγετος.] Ἤτοι τηλοῦ τῆς ἡλικίας, τουτέστι σφοδρὸν γηραιοῦσι γονεῦσι γεγονὼς παῖς, μισθὸν ὃν ἐκέτι ἐλπίζουσι τεκνῶσαι, ἢ μονογενὴς· καθάπερ Τηλέμαχος τοῦ Ὀδυσσέως καὶ Ὀρέστης τοῦ Ἀγαμέμνονος. Μεγαπένθης.] Ἐκ δὲ ὀνόματος δηλοῖ, ὅτι μετὰ τὸν ἁρπαγὸν τῶν ἔσχεν.

12. Ἐκ δούλης.] Οἱ μὲν κύριον τὸ δούλης· οἱ δὲ Τηριδάου, τὸ κύριον αὐτῆς ὄνομα. Ἑλένῃ δὲ θεοὶ γόνον οὐκ ἔτ' ἔφαινον.] Πιθανῶς, ἵνα ἐπαπλεῖσαν ἁρμάσῃ· ἢ ἵνα ἐξ Ἀλεξάνδρου παῖδα μὴ σχῇ. οἱ δὲ νεώτεροι Ἑλένης μὲν ἐν Ἀλεξάνδρου Κόρυθον, ἢ Ἕλενον· ἐκ δὲ Μενελάου Νικόστρατον γλυκαλογοῦσι.

16. Γείτονες ἠδ' ἕταροι.] Γείτονες μὲν τῶν οἰκογενεῖς· ἕταροι δὲ φιλῶς, ἵν' ᾖ, οἱ πολῖται· ἔτι γὰρ ἦσαν μεγαλοπρεπὴς ὁ γάμος.

17. Ἐμέλπετο.] Ἤδετο.

18. Κυβιστητῆρε.] Κυβισταὶ, ὀρχησταί.

19. Μολπῆς.] Τῆς παιδιᾶς. Ἐδίνευον.] Κυκλόσε ἐστρέφοντο· ἀρχοῦντο.

N. O T Æ.

8. Νίσσε) Ἄπελθε, ἀντὶ τοῦ πορεύσεται. Ità, νόστος, pro ἔλευσις, & νοστέω, pro ἔρχομαι. Vid. quæ Nos ad *Euripid.* Rhes. v. 427. & Helen. v. 481. & 897.

9. Μυρμιδόνων) De *Myrmidonibus*, vid. ad *Iliad.* β'. v. 684.

13. Ἐπειδὴ τοπρῶτον) Hic Versus ἀκέφαλος dicitur, de qua re, ad α'. v. 183. & θ'. v. 452.

17. Δοιὼ δὲ κυβιστητῆρε) Vid. ad *Iliad.* σ'. v. 605. Unde *Aristarchus* sumptisse hæc dicitur, & ad hunc locum non benè posuisse, ab *Athenæo*.

NOTÆ IN SCHOLIA.

10. Ἤγετο) Ἐλάμβανε, MSS. *Gonvillo-Caiense* & *Aloysii Alemanni*.

12. Ἐκ δούλης) Οἱ μὲν κύριον τὸ Δούλης· οἱ δὲ, Τηριδάης· Τηριδάη δὲ, τὸ κύριον &c. Ità MS. utrumque. *Apollodor.* Biblioth. l. 3. c. XI. §. 1. Μενέλαος μὲν οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησε, καὶ παῖδα πάνυ Νικόστρατον· ἐκ δούλης, Πιερίδες, γέγονε Αἰτωλίδης, ἣ καθάπερ Ἀκουσίλαός φησι, Τηριδάης, Μεγαπένθης· ἐκ Κνωσίας δὲ νύμφης, καθά Εὔμηλος, Ξενόδαμος. *Ibid.* Οἱ δὲ νεώτεροι) Mirum, cùm ipse *Hesiodus* sit hujus auctor sententiæ; ità enim *Sophocl.* Schol. ad *Electr.* v. 540. Ὅμως συμφωνεῖ τῷ Ἡσιόδῳ λέγοντι, Ἣ τέκεν Ἑρμιόνην δουρικλειτῷ Μενελάῳ· Ὀνησίπολίν θ' ἵππιον Νικόστρατόν τε, ἐζοχον Ἄρηος. *Pausanias* quidem *Nicostratum* & *Megapenthen*, fratres ex *Menelao*, at non ex *Helenâ*, fol. 60. lin 33. & fol. 102. lin. 24. Vid. *Br. Schol.* ad *Iliad.* γ'. v. 175. & *Eustath.* ad *Iliad.* fol. 303. lin. 27.

19. Ἐδίνευον) Male olim ἐκύκλωσε &c. Emendamus ex utroque MSto.

VARIÆ LECTIONES.

12. Ἐκ δούλης) γρ. Τηριδάης, MS. *Gonvillo-Caiense*. Fortè, per Appositionem.

Τὼ δ' αὖτ' ἐς πρόδομον δόμων αὐτώ τε καὶ ἵππω,
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱός,
Στῆσαν· ὁ δ' ἐν προμολῶν ἴδετο κρείων Ἐτεωνεύς,
Ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο·
Βῆ δ' ἴμεν ἀγγελέων ἀφὰ δώματα ποιμένι λαῶν·
Ἀγχοῦ δ' ἱσταμένω ἔπεα πτερόεντα προσηύδα,
Ξεῖνω δή πινε τώδε, διοτρεφὲς ὦ Μενέλαε,
Ἄνδρε δύω, γενεὴ ἦ Διὸς μεγάλοιο ἔοικεν·
Ἀλλ' εἶπ', εἰ σφῶϊν καταλύσομεν ὠκέας ἵππους,
Ἦ ἄλλον πέμπωμεν ἰκανέμεν, ὅς κε φιλήσῃ.
Τόνδε μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος,
Οὐ μὰ νήπιος ἦθα, Βοηθοίδη Ἐτεωνεῦ,
Τοπρίν, ἀτὰρ μὰ νῦν γε, πάις ὡς, νήπια βάζεις.
Ἦ μὰν δὴ ναῖ ξεινήια πολλὰ φαγόντε
Ἄλλων ἀνθρώπων δεῦρ' ἰκόμεθ', αἴκε ποθὶ Ζεὺς
Ἐξοπίσω τῷ παύσῃ ὀιζύν· ἀλλὰ λύ' ἵππους
Ξείνων, ἐς δ' αὐτοὺς πρότερον ἄγε δοινηθήιεν.
Ὣς φάθ'· ὁ δ' ἐκ μεγάροιο διέσσυτο, κέκλετο δ' ἄλλους
Ὀτρηροὺς θεράποντας ἅμ' ἑσπέσθαι οἱ αὐτῷ.
Οἱ δ' ἵππους μὲν ἔλυσαν ὑπὸ ζυγῶ ἱδρώοντας·
Καὶ τοὺς μὲν κατέδησαν ἐφ' ἵππειοι κάπηοι,
Πὰρ δ' ἔβαλον ζειὰς, ἀνὰ δ' ἦ κεῖ λευκὸν ἔμιξαν·
Ἅρματα δ' ἔκλιναν πρὸς αἰθέρα παμφανόωντα,
Αὐτοὺς δ' εἰσῆγον θεῖον δόμον· οἱ δὲ, ἰδόντες

Portrò in veſtibulo ædium ipſique & equi,
Et Telemachus heros, & Neſtoris inclytus filius,
Steterunt: ipſe verò procurrens vidit præſtans Eteoneus,
Sedulus famulus Menelai gloriofi:
Ivitque celeriter annuncians per domos paſtori populorum:
Propè autem ſtans verba alata dixit,
" Hoſpites jam quidem hi, ô à-Jove nutritæ Menelaë,
" Viri duo, proſapiæ verò Jovis magni ſimiles ſunt.
" Sed dic, ſi ipſis ſolvere debeamus veloces equos,
" Aut ad alium mittamus ire, qui eos amet.
Hunc graviter ingemiſcens alloquutus eſt flavus Menelaus,
" Non quidem ſtultus eras, Boëtheda Eteoneu,
" Antea, cæterum nunc quidem puer veluti puerilia loqueris.
' Profectò jam nos, *tu & ego*, hoſpitalia multa ubi edimus
" Aliorum virorum huc venimus; ſi alicubi Jupiter
" In poſtremum ſaltem liberârit ab ærumnâ: ſed ſolve equos
" Hoſpitum, ipſos verò deinde introduc ad epulandum.
Sic ait: ille verò ex ædibus proruit, vocabat etiam alios
Fidos famulos unà ſequi ſeipſum.
Hi verò equos quidem ſolverunt ſub jugo ſudantes:
Et hos quidem alligârunt ad equinos præſepia,
Apponebant autem avenas & hordeum album commiſcuerunt:
Currus verò poſuerunt ad parietes pellucidos;
Ipſos autem duxerunt in magnificam domum: hi utique videntes

ΣΧΟΛΙΑ.

22. Προμολῶν.] Προκλιτῶν. Ἴδετο.] Ἐθεάσατο. Κρείων.] Ἐξέχων καὶ ἀφάκελος.
23. Ὀτρηρός.] Σπουδαῖος, δεξιὸς. Θεράπων.] Ὑπηρέτης φίλος, ὁ περὶ τὴν θεραπείαν ὑπάρχων.
24. Ἀγελείων.] Ὀφείλων ἀπαγγεῖλαι.
26. Ξείνω δή πινε.] Εἰσαγγέλλει μόνῳ τῷ ξένῳ Μενελάῳ ἀφὶ τὸ προβεβουλεῦσθαι ὑπὸ ξένου.
27. Γενεὴ.] Γεννήσει, γένει. Ἔοικεν.] Ἔοικασιν.
28. Σφῶϊν.] Αὐτοῖς.
29. Ἄλλον.] Πρὸς ἄλλον. Ἱκοίμεν.] Παραγένοιντο. Φιλήσῃ.] Φιλικῶς ὑποδέξηται.
35. Ἐξοπίσω.] Ἐς ὕστερον, εἰς τὸ μὴ πεῖσαι.
36. Θοινηθῆναι.] Εὐωχηθῆναι.
40. Κάπηοι.] Φάτναις· ἤλως ἢ ἀντὶ τοῦ ἀπηλαὶ, κιγκρισμοῖς.
41. Ζειὰς.] Ὀλύρας.

NOTÆ IN SCHOLIA.

26. Προβεβουλεῦσθαι) Ità lego, pro ἐπιβεβουλεῦσθαι, ex *Aloyſii* MSto, cùm & MS. GC. προβεβουλεύσασθαι, ſerat.
27. Γενεὴ) MSS. legunt, Γενέσει, ἢ Γένοσιν) γένει.
28. Σφῶϊν) Αὐτοῖς. MSS. αὐτῶν.
35. Ἐς ὕστερον, MSS. εἰς ὀψέ.

VARIÆ LECTIONES.

26. Τώδε) γρ. τῷδε. *H. Steph.*
27. Γενεὴ) γρ. γένει. MSS. *Aloyſii* & GC. Vid. Not. in *Schol.*
28. Εἴκοσιν) γρ. εἴκοσι, *H. Steph.*
38. Ἅμ' ἑπόμενοι) γρ. ἅμα πάντες, *H. Steph.* Vid. Not. ad χ'. v. 323.

Θαύ-

Θαύμαζον κατὰ δῶμα διοτρεφέος βασιλῆος.
Ὥστε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης,
Δῶμα κατ' ὑψορόφοις Μενελάου κυδαλίμοιο.
Αὐτὰρ ἐπεὶ τάρπησαν ὀρώμενοι ὀφθαλμοῖσιν,
Ἐς ῥ' ἀσαμίνθους βάντες ἐϋξέστας λόεσθον.
Τὼ δ' ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δ' ἄρα χλαίνας ἕλκας βάλον ἠδὲ χιτῶνας,
Ἐς ῥα θρόνους ἕζοντο παρ' Ἀτρεΐδην Μενέλαον.
Χέρνιβα δ' ἀμφίπολος καλῇ καταχεύατο φαίδιμος
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πολλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
Δαιτὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
Παντοίων· παρὰ δὲ σφι τίθει χρύσεια κύπελλα.
Τὼ δ' ἀγανύμονι θυμῷ προσέφη ξανθὸς Μενέλαος,
Σίτου θ' ἅπτεσθον, καὶ χαίρετον· αὐτὰρ ἔπειτα
Δείπνου παναμύμου, εἰρησόμεθ', οἵ τινες ἐσθέ!
Ἀνδρῶν· οὐ γὰρ σφωΐν γε γένος ἀπόλωλε τοκήων,
Ἀλλ' ἀνδρῶν γένος ἐστὲ διοτρεφέων βασιλήων,
Σκηπτούχων· ἐπεὶ οὔ κε κακοὶ τοιοῦσδε τέκοιεν.
Ὡς φάτο· καὶ σφιν νῶτα βοὸς παρὰ πίονα θῆκεν
Ὀπτ' ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ·
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Δὴ τότε Τηλέμαχος προσέφης Νέστορος υἱὸν,
Ἆσσον ἀκὼν κεφαλὴν, ἵνα μὴ πολυποιπνὰ ἕκαστοι,
Φράζεο, Νεστορίδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ,

Admirabantur per domum à-Jove-nutriti regis:
Instar enim solis splendor erat atque lunæ,
Domum per excelsam Menelai gloriosi.
Cæterùm postquam saturati sunt videndo oculis,
Ad labra descendentes perpolita lavabant.
Hos postquam igitur ancillæ lavârunt & unxerunt oleo,
Circúmque chlænas villosas posuerant atque tunicas,
In thronos collocârunt juxtà Atridem Menelaum.
Aquam autem ancilla in gutturnio tudite ferens,
Pulchro, aureo, super argenteo lebete,
Ad lavandum: juxtáque politam extendit mensam.
Cibum verò veneranda promiconda apposuit ferens,
Fercula multa imponens, de *rebus* præsentibus largiens:
Coquus autem carnium lances proposuit sublatas
Diversarum: ipsíque apposuit aureos pocula.
Hos etiam datâ dextrâ alloquutus est flavus Menelaus,
" Cibúmque gustate, & gaudete: cæterùm deinde
" Cibo saturati, interrogabimus, quinam sitis
" Virorum: non enim vestrorum utique genus evanuit parentum,
" Sed virorum genus estis à-Jove-nutritorum regum,
" Sceptriferorum: quoniam neutiquam ignavi hujusmodi parere possunt.
Sic ait, & ipsis terga bovis pinguia apposuit
Assata in manibus capiens, quæ sibi dona apposuerant ipsi.
Hi verò ad cibos paratos appositos manus extendebant.
Cæterùm postquam potûs & cibi desiderium ademerunt,
Jam tum Telemachus alloquutus est Nestoris filium,
Propè admovens caput; nè audirent alii,
" Considera, Nestoride, meo gratissime animo,

ΣΧΟΛΙΑ.

59. Δικτύμῳ.] Διξτάμῳ. 61. Εἰρησόμεθα.] Ἐρωτήσομεν. 62. Οὐ γὰρ σφῶϊ γε γένος.] Σὺν τῷ ι γραπτέον, ὦ ὑπ, σφῶϊν, δυϊκῶς· ἐπεὶ γὰρ ἀφανῶν ἐστὶ γονέων. 64. Κακοί.] Δειλοὶ, ἀσθενεῖς. Τέκοιεν.] Γεννήσειεν. 66. Τά ῥά οἱ.] Ἅπερ δὴ αὐτῷ. Γέρα.] Καλῶς παλιδ. Πάρθεσαν.] Παρέθηκαν. 71. Φράζεο.] Νῦν ἀντὶ Ε, ὄφρα.

NOTÆ.

71. Τῷ ἐμῷ κεχαρισμένε θυμῷ) *Virgil.* Æn. l. XII. v. 142. Animo gratissime nostro.

NOTÆ IN SCHOLIA.

64. Γεννήσειεν) Ità, pro *γένοιεν*, duo MSS.

VARIÆ LECTIONES.

60. Σίτου θ' ἅπτεσθον) κ. σίτου ἅμ' ἅπτεσθον, *H. Steph.* 61. Παναμύμου — οἵ τινες) κ. πανυσταμύμου — ὦ τινες, *H. Steph.* 62. Γένος) κ. γόνος, *H. Steph.*

Χαλκῷ τε στεροπὴν καδδώματα ἠχήεντα,
Χρυσῷ τ', ἠλέκτρῳ τε, καὶ ἀργύρῳ, ἠδ' ἐλέφαντι·
Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή.
Ὅσσα τάδ' ἄσπετα πολλὰ σίβας μ' ἔχει εἰσορόωντα.
Τῷ δ' ἀγορεύοντι ξύνετο ξανθὸς Μενέλαος,
Καί σφεας Φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Τέκνα φίλ', ἦτοι Ζηνὶ βροτῶν οὐκ ἄν τις ἐρίζοι·
Ἀθάνατοι γὰρ τῷγε δόμοι καὶ κτήματ' ἔασιν.
Ἀνδρῶν δ' ἤκεν τίς μοι ἐρίσσει, ἠὲ καὶ ἀκί,
Κτήμασιν· ἢ γὰρ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς

" Ærisque splendorem, per domum sonantem,
" Aurique, electrique, & argenti, atque eboris:
" Jovis nimirum talis est Olympii intùs aula.
" Quanta hæc pretiosa quam multa! Admiratio me capit intuentem.
Hunc ita alloquentem intellexit flavus Menelaus,
Et ipsos compellans, verba alata dixit,
" Filii chari, haud sanè cum Jove mortalium ullus contenderit:
" Immortalia enim hujus habitacula & res sunt.
" Hominum vero sive aliquis mihi contendere possit, sive minus,
" Opibus: certe plurima passus & multùm errans

ΣΧΟΛΙΑ.

72. Σπεροπήν.] Ἔκλαμψιν. Ἠχήεντα.] Μεγάλα.

76. Ξύνετο.] Συνῆκεν, ἤκουσεν.

80. Ἐρίσσειεν.] Φιλονεικήσῃ.

81. Ἐπαληθεὶς.] Πλανηθεὶς· οἱ δὲ ἐπὶ τὰς ἀληθεῖς Αἰγυπτίους, ὅπου μαντικὴ ἔμπειροι.

NOTÆ.

72. Καδδώματα) Ità pro ἐ δώματα lego. Quicunque enim satis attentè perpenderit, τὸ στεροπὴν referri, ad χαλκῷ, χρυσῷ, ἠλέκτρῳ, ἐλεφάντ., mirabitur, quid καὶ δώματα, quæ prior erat *Lectio* significet, & mecum fortè agnoscet, καδδώματα potiùs legendum, ut suprà, ad v. 45. & 46. Ὥστε δὲ ἠελίῳ &c. Δῶμα κατ' ὑψηρεφές. Certe mos erat, ante *Typographicam* inventam, Unum aliquem Doctum hominem multis Scribis eodem tempore prælegere; undè plurimæ Voces, ex Vocalium & Literarum consimilis soni malè acceptâ & conceptâ notione, in Exemplaribus temerè mutatæ. At in hujusmodi Erroribus Antiquitas plurimum Veritati obstat; nec enim Omnes vident, & Pauci contra flumen audent navigare. Huc refer *Plinii*, l. 33. c. 4. Et *Electro* auctoritas, *Homero* teste, qui *Menelai* Regiam Auro, Electro, Argento, Ebore, fulgere tradit. *Sam. Bochart.* Ἱερόζ. 2 Vol. l. 6. c. 16. fol. 872. De *Electro*, ubi ex *Aristophanis* Scholiast. pro ὕαλον, poni ab *Homero*.

74. Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλὴ) Hanc Lectionē defendit *Aristarchus* contra *Seleucum*; ut *Athena.* l. 5. fol. 189. & ex eo *Eustath.* fol. 1483. lin. 39. qui negabat, ullibi apud *Homerum* vocem Αὐλὴ significare *Palatium Regium*, at potiùs, τόπον τινὰ ἐν πεδίῳ ὄντα, ὅ ἐστιν ὕπαιθρον, ὡς τὰ μεγάλων οἴκων. Ὅμηρος δέ, φησι, τὴν Αὐλὴν αἰεὶ πάτιξε ἐπὶ τῶν ὑπαίθρων τόπων, ἵνα ἦν ὅ Ἑρκεῖος Ζηνὸς βωμός· ὁ μὲν γε Πηλεὺς καταλαμβάνεται, Αὐλὰς εἰς χόρτον ἔχων ὃν χρύσειον ἄλεισον, Σπένδων αἴθοπα οἶνον ἐπ' αἰγιαλοῖο ἱεροῖσιν. Ὁ δὲ Πελάμων, Αὐλὰς εἰς Χόρτοισι κυλισδόμενος κατὰ κόπρον· καὶ ὁ Ὀδυσεὺς ὡσαύτῳ τοῖς ὡς τὸ Φήμιον, Ἀλλ' ἐξελθόντες μεγάρων εὐ ναιετάοντων, Ἐκ φόνου εἰς αὐλήν. Et verè quidem in his locis, ut *Seleucus* ait, *Homerus* apertum locum, per αὐλὴν significat; nec minùs tamen manifestè, quod *Aristarchus* ait, in aliis locis idem per Αὐλὴν, *Palatium* notat, ut in hoc ipso, Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή. Quem locum *Seleucus* longè aliàs profert, nè hanc Αὐλὰς significationem cogatur admittere, *viz.* Ζηνός που τοιοῦτα δόμοις ἐν κτήματα κεῖται, quâ *Lectione*, in hoc loco nihil absurdius; licet bene infrà, v. 127. Αἰγυπτίης, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται. Alius etiam locus hanc nostram assertionem confirmat, *viz.* α'. v. 425. ὅθι οἱ θάλαμος ἐυκαμίνου αὐλῆς Ὑψηλὸς δεδμητός. In quem locum *Eustath.* Αὐλὴ μὲν κυρίως πᾶν ἐπ' ἀνεπιμείκτου, ὅ ἐστι, ὑπαίθρου, ὡς τὰ μεγάλων οἴκων· ἐν Αὐλαῖ, τὰ βασίλεια, ἀφ' τὸ μεγάλως ἔχειν ὡς τὰ οἴκων ὑπαίθρες τόπες· Σωικδοχικῶς δὲ, ἡ ὅλη οἰκία, ἐν τῷ, Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν Αὐλή. Vid. *Isaac. Casaubon.* in locum *Athenæi*, fol. 335. *Gerard. Croisius*, Ὁμήρῳ Ἑβραΐσ, p 423. Poeta alludit ad interius Atrium, sive *Sanctuarium*, Tabernaculi, quod erat in *Israele*, in quo Deus dicebatur versari, quod quidem splendidissimum fuit.

NOTÆ IN SCHOLIA.

75. Ἄσπετα) Πολλά. Hoc *Pseudo Scholion* deleo; quòd utræque voces sint in *Textu*.

VARIÆ LECTIONES.

72. Καδδώματα) χρ. καὶ δώματα, vid. Not. in *Textum*.

74. Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλὴ) χρ. Ζηνός που τοιοῦτα δόμοις ἐν κτήματα κεῖται, *Seleucus*, vid. Not. ad *Textum*.

76. Ξύνετο) χρ. ξυνῆκε, malè ut *Eustath.*

78. Τέκνα φίλ', ἦτοι Ζηνὶ βροτῶν) χρ. τέκνα φίλα, Ζηνὶ μὲ βροτῶν, *H. Steph.* incogitantèr ductâ *Interpretatione*, pro *Variâ Lectione*. *Ibid.* Βροτῶν) χρ. βροτῷ, *Gerard. Croes.* p. 423.

Ἠγα-

Ἠγαγόμην ὀγδοάτῳ ἔτεϊ ἦλθον·
Κύπρον, Φοινίκην τε, καὶ Αἰγυπτίους ἐπαλήθεις,
Αἰθιοπάς θ' ἱκόμην, καὶ Σιδονίους, καὶ Ἐρεμβούς,
Καὶ Λιβύην, ἵνα τ' ἄρνες ἄφαρ κεροὶ τελέθουσι.
Τρὶς γὰρ πίπτει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν·
Ἔνθα μὴ οὔτε ἄναξ ἐπιδευὴς, οὔτε τι ποιμὴν,
Τυρῷ καὶ κρειῶν, οὐδὲ γλυκεροῖο γάλακτος·
Ἀλλ' αἰεὶ παρέχουσιν ἐπιτροχόωντα γάλα θηλυς.
Ἕως ἐγὼ δεῦρ' εἶνα πολὺν βίοτον συναγείρων
Ἠλώμην, τείως μοι ἀδελφεὸν ἄλλος ἔπεφνε,
Λάθρη, ἀνωϊστὶ, δόλῳ ὀλομένης ἀλόχοιο·
Ὡς οὔτοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω.
Καὶ πατέρων τάδε μέλλετ' ἀκουέμεν, οἵ τινες ὔμμιν
Εἰσὶν· ἐπεὶ μάλα πολλ' ἔπαθον, καὶ ἀπώλεσα οἶκον,
Εὖ μάλα ναιετάοντα, κεχανδότα πολλὰ καὶ ἐσθλά.
Ὧν ὄφελον τριτάτῳ περ ἔχων ἐν δώμασι μοῖραν

" Vectus in navibus, & octavo demum anno veni domum:
" Cyprum, Phœnicémque, & Ægyptios oberrans,
" Æthiopasque adii, & Sidonios, & Erembos,
" Et Libyam, ubi agni protinùs cornuti sunt.
" Ter enim pariunt oves per annum integrum:
" Ibi quidem neque herus indigens est, neque pastor
" Casei & carnium, neque dulcis lactis:
" Sed semper præbent per totum annum lac mulgendum.
" Dum ego in his partibus multas facultates colligens
" Errabam, interea mihi fratrem alius interfecit,
" Clàm, insperatò, dolo pernicioſæ uxoris.
" Adeò neutiquam gaudens istis facultatibus impero.
" Et ex patribus ista debebatis audiviſſe, quicunque vobis
" Sunt: quando quidem valdè multa passus sum, & perdidi domum,
" Perquàm benè habitatam, continentem multa & pretiosa.
" Quorum utinam debuissem vel tertiam habens in domo partem

ΣΧΟΛΙΑ.

83. Αἰγυπτίους.] Ἐπὶ τὰς Αἰγυπτίους.

84. Ἰκόμην. Παρεξδρόμην. Σιδονίους.] Τὰς παρὰ τῇ Ἐρυθρᾷ θαλάσσῃ λέγει· ὅθεν μετῴκησαν οἱ Φοίνικες. Ἐρεμβούς.] Τὰς Τρωγλοδύτας, παρὰ τὸ εἰς τὴν ἔρημον δύνειν· οἱ δὲ τοὺς Ἰνδοὺς, παρὰ τὸ Ἐρεβος· μέλανες γάρ. ὅθεν καὶ Κράτης ἐρεμνοὺς γεγράφει. οἱ δὲ ἴδιον ἔθνος. ἔνιοι δὲ τοὺς Ἄραβας, καὶ μεταχαράττουσιν ὕστερον Αἰθίοπας θ' ἱκόμην δὲ Σιδονίους, Ἄραβάς τε.

85. Ἄφαρ κεροί.] Ταχέως φέρουσι διὰ τὴν εὐδίαν. οἱ δὲ ἐπίτηδες τὰ ἀρτίως τὸ κεροί. Τινὲς δὲ τὸ ἄφαρ, ὅτε ταχέως καὶ ἀσθένειαν γίνονται.

86. Τρὶς γὰρ πίπτει μῆλα.] Ἄλλοτε ἄλλα, ἢ δι' ὅλου τοιαῦτα εἰσὶν αἱ γραφαὶ, οὐχ ὥσπερ ἡμῖν μόνον τῇ ἥρᾳ.

87. Ἐπιδευής.] Ἐνδεής.

89. Ἐπιστάμενον.] Ἐπιστολὴν, ἄφθονον. Θηλάσσ.] Κοινῶς μὲν τὸ θηλάσσειν· νῦν δὲ τὸ ἀμέλγειν εἶπεν, παρὰ τὴν θηλήν.

91. Ἠλώμην.] Ἐπλανώμην. Τείως.] Τηνικαῦτα.

92. Ἀνωϊστί.] Ἀνεπιγνώστως, ὥστε μηδὲ φθονῆσαί τινα.

95. Καὶ ἀπώλεσα οἶκον.] Ἀμφίβολον, πότερον τὸν ἑαυτοῦ, ἢ τὸν Μενελάου.

96. Κεχανδότα.] Χωρητικά.

NOTÆ.

84. Σιδονίους) Vid. ad *Iliad.* ζ'. v. 290. Ἐρεμβοὺς) Ab ἔρεβος, fit τὸ ἔρεμβος, *Sophocl.* Aj. v. 395. undè ἐρεμνὸς, tenebrosus, & Gentile, Ἐρεμβός. De quâ voce, præter *Br. Schol.* vid. *Eustath.* in locum, item in *Dionys.* Perieg. v. 180. & v. 963. & quæ Nos ad prædict. locum *Sophoclis. Zeno,* Ἀραβάς τε legit, ut *Strabo* l. 1. fol. 70. & l. 7. fol. 458. & l. 16. fol. 1131.

85. Καὶ Λιβύην) *Steph.* περὶ πόλεων, v. Ἀσία.

86. Τοιαῦτα εἰσὶν) MS. *Aloysii* τοιοῦτα, pro αὐτὰ &c.

89. Θηλάσσω) Ità pro corrupto θηλάσσω, ex MSS.

95. Πότερον) MS. *Aloysii* ità, pro ποτέρου, *Sensu* maximè flagitante.

VARIÆ LECTIONES.

84. Καὶ Ἐρεμβοὺς) γρ. Ἀραβάς τε. *Zeno. Crates,* & *Posidonius,* καὶ ἐρεμνούς. Vide Not. in *Textum,* & *Brevia Scholia.*

90. Ἕως ἐγὼ) γρ. εἶος ἐγὼ, *Hervag.* Edit. 1551.

94. Ὑμῖν) γρ. ὑμῶν, *H. Steph.*

95. Πολλὰ ἔπαθον) γρ. πολλὰ πάθον, *H. Steph.*

Ναίεσκε,

Ναίειν, οἱ δ' ἄνδρες σόοι ἔμμεναι, οἳ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ, ἑκὰς Ἄργεος ἱπποβότοιο.
Ἀλλ' ἔμπης πάντας μὲν ὀδυρόμενον καὶ ἀχεύων,
Πολλάκις ἐν μεγάροισι καθήμενον ἡμετέροισιν,
Ἄλλοτε μὲν τε γόῳ φρένα τέρπομαι, ἄλλοτε δ' αὖτε
Παύομαι· αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
Τῶν πάντων δ' τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὡς ἑνός, ὅστε μοὶ ὕπνον ἀπεχθαίρῃ καὶ ἐδωδὴν
Μνωομένῳ· ἐπεὶ οὔτις Ἀχαιῶν τόσσ' ἐμόγησεν,
Ὅσσ' Ὀδυσεὺς ἐμόγησε καὶ ἤρατο· τῷ δ' ἄρ' ἔμελλεν
Αὐτῷ κήδε' ἔσεσθαι, ἐμοὶ δ' ἄχε' αἰὲν ἄλαστα
Κείνου, ὅπως δὴ δηρὸν ἀποίχεται. ἤδέ τι ἴδμεν,
Ζώει ὅγ', ἦ τέθνηκεν. Ὀδύρεται νύ που αὐτὸν
Λαέρτης θ' ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια,
Τηλέμαχός θ', ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ.
Ὣς φάτο· τῷ δ' ἄρα παῖδος ὑφ' ἵμερον ὦρσε γόοιο.
Δάκρυ δ' ἀπὸ βλεφάρων χαμάδις βάλε, παῖδος ἀκούσας,
Χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖϊν ἀνασχών
Ἀμφοτέρῃσιν χερσί· νόησε δέ μιν Μενέλαος·
Μερμήριξε δ' ἔπειτα κατ' φρένα καὶ κατ' θυμόν,
Ἠέ μιν αὐτὸν πατρὸς ἑοῦσιν μνηθῆναι,
Ἦ πρῶτ' ἐξερέοιτο, ἕκαστά τε μυθήσαιτο.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατ' φρένα καὶ κατ' θυμόν,
Ἐκ δ' Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο
Ἦλυθεν, Ἀρτέμιδι χρυσηλακάτῳ εἰκυῖα·

" Habitare, & viri ſalvi eſſent; qui tum perierent
" Trojâ in latâ, longè ab Argis pulchros equos-paſcente.
" Sed tamen omnes quidem lugens & deflens,
" Crebrò domi *deſidens noſtræ*,
" Interdum quidem luctu mentem oblector, interdum rurſus
" Quieſco: brevis verò ſatietas moleſti luctûs.
" Horum omnium cauſâ non tantùm lugeo, tametſi triſtis,
" Ut unius gratiâ, quique mihi ſomnum invifum facit & cibum
" Recordanti; quoniam nullus Græcorum tantum laboravit,
" Quantum Ulyſſes laboravit & pertulit: huic utique in-fatis-erat
" Ipſi, dolores ut eſſent, mihi verò *mœror ſemper graviſſimus*
" Illius *cauſâ*, quoniam diù longè abeſt, neque ſcimus,
" An vivat ille, an mortuus ſit. Deflent utique illum
" Laërtéſque ſenex, & prudens Penelope,
" Telemachúſque, quem reliquit recèns-natum in domo.
Sic ait; huic certè ob patrem deſiderium excitavit luctûs.
Lacrymas verò à palpebris humi fudit, de patre audiens,
Chlænam purpuream oculis obtendens
Utráque manu: obſervavit autem Menelaus ipſum:
Cogitavit verò deinde in mente & in animo,
An ipſum cum patris fineret memoriam inducere,
An prior interrogaret fingulâque diceret.
Interim dum ille iſta deliberabat in mente & in animo,
Helena ex thalamo odorifero excelſo
Egreſſa eſt, Dianæ aureum-arcum habenti ſimilis:

Σ Χ Ο Λ Ι Α.

102. Γόῳ φρένα τέρπομαι.] Πληροῦμαι.
103. Αἰψηρὸς ὁ κόρος.] Ὁ ὑπὲρ τὰ ἄλλων μοι δηλῶν ταχέως θραύεται.
104. Ὀδύρομαι.] Ἀποκλαίομαι.
105. Ἀπεχθαίρῃ.] Εἰς μῖσος ἄγῃ.
106. Μνωομένῳ.] Μνησικοῦντι. Ἐμόγησεν.] Ἐκοπίασεν.
107. Ἠρᾶτο.] Ὑπέμεινεν.
109. Ἀποίχεται.] Ἄπεισιν, ἀποδημεῖ.
119. Ἐξερέοιτο.] Ἐξεταζήσειεν, ἀνακαλοῖτο. Μυθήσαιτο.] Εἴποι.
121. Θυώδεος.] Εὐώδους.

Ν Ο Τ Æ.

102. Ἄλλοτε μὲν τε γόῳ φρένα τέρπομαι) *Ariſtot.* l. 1. περὶ Πολιτ. fol. 176. Probat, Voluptatem quandam in Luctibus &c.
120. Ἕως ὁ ταῦθ' ὥρμαινε) *Amphibrachys.* *Dactylo ἰσόχρονον*, ut ſuprà, v. 90.

ΝΟΤΑΕ ΙΝ SCHOLIA.

123. Ἀνάκλιντεον) Ità pro corrupto ἀνάκλιτον, ex *Euſtathio.*

Variæ Lectiones.

118. Ἑάσεις) γρ. ἐάσεις, Prior. Codd.
119. Μυθήσαιτο) γρ. πυθήσαιτο, *H. Steph.*

Τῆ

Τῇδ' ἄρ' ἄμ' Ἀδρήστη κλισίῃ ἐΰτυκτον ἔθηκεν·
Ἀλκίππη δ' ὑπέπτα φέρεν μαλακῆ ἐρίοιο·
Φυλὼ δ' ἀργύρεον τάλαρον φέρε, τόν οἱ ἔδωκε
Ἀλκάνδρη, Πολύβοιο δάμαρ, ὃς ἔναι' ἐνὶ Θήβῃς
Αἰγυπτίης, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται·
Ὅς Μενελάῳ δῶκε δύ' ἀργυρέας ἀσαμίνθους,
Δοιοὺς δὲ τρίποδας, δέκα δὲ χρυσοῦ τάλαντα·
Χωρὶς δ' αὖθ' Ἑλένη ἄλοχος πόρε κάλλιμα δῶρα,
Χρυσείῳ τ' ἠλακάτην, τάλαρόν θ' ὑπόκυκλον ὄπασεν,
Ἀργύρεον, χρυσῷ δ' ἐπὶ χείλεα κεχρύσωτο.
Τὸν ῥά οἱ ἀμφίπολος Φυλὼ παρέθηκε φέρουσα,
Νήματος ἀσκητοῖο βεβυσμένον· αὐτὰρ ἐπ' αὐτῷ
Ἠλακάτη τέτατο, ἰοδνεφὲς εἶρος ἔχουσα.
Ἕζετο δ' ἐν κλισμῷ, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
Αὐτίκα δ' ἣγ' ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαστα,

"Ιδμεν δὴ, Μενέλαε διοτρεφὲς, οἵ τινες οἵδε
Ἀνδρῶν εὐχετόωνται ἱκανέμεν ἡμέτερον δῶ;
Ψεύσομαι, ἢ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.
Οὐ γάρ πω πινά φημι ἐοικότα ὧδε ἰδέσθαι
Οὔτ' ἄνδρ', οὔτε γυναῖκα, σέβας μ' ἔχει εἰσορόωσαν,

Huic ſtatim Adraſta ſellam benè-factam appoſuit:
Alcippe verò tapeta ferebat mollis lanæ:
Phylo autem argenteum quaſillum ferebat, quem illi dedit
Alcandra, Polybi uxor, qui habitabat in Thebis
Ægyptiacis, ubi plurima in ædibus bona jacent;
Qui Menelao dedit duo argentea labra,
Geminoſque tripodas, decemque auri talenta:
Seorſim verò rurſus Helenæ uxor dederat pulchra dona,
Auream que colum, quaſillúmque rotundum præbuit
Argenteum, auro verò labia perfecta erant:
Hunc ſanè ei ancillæ Phylo appoſuit ferens,
Filo elaborato repletum: cæterùm ſuper eum
Colus extenſa erat, violaceam lanam habens.
Sedit verò in ſellâ, & ſcabellum ſub pedibus erat:
Continuò autem illa verbis maritum interrogaba: ſingula,
" Scimúſne, Menelaë rex, quinam hi
" Virorum gloriantur, veniſſe noſtram domum?
" Mentiar, an verum dicam? Jubet me animus.
" Nullum enim unquam puto ſimilem adeò vidiſſe
" Neque virum neque mulierem: admiratio me tenet aſpicientem,

ΣΧΟΛΙΑ.

123. Κλισίῃ.] Διάφορ. ἀνάκλιντρον ἔχουσα.
125. Τάλαρον.] Κάλαθον.
126. Θήβῃς.] Θῆβαι, πόλις Αἰγύπτου, ἡ νῦν καλουμένη Διὸς πόλις.
130. Κάλλιμα.] Ἅγνα καλά.
131. Τάλαρον ὑπόκυκλον.] Κύκλον ἔχοντα, ἢ ὑπόστρογγον.
132. Κεχρύσωτο.] Ἐτετελείωτο.
134. Νήματος ἀσκητοῖο.] Εἰς νῆσιν ἐπιτηδειότερον. καλῶς γεγόνοτο. Βεβυσμένον.] Πεπληρωμένον.
135. Ἠλακάτη.] Ἐλαφρικὴ, ἰρκαλεῖον. Τετάτο.] Ἐπέκειτο. Ἰοδνεφὲς.] Μέλαν, ἢ πορφυροῦν. Εἶρος.] Ἔριον.
139. Εὐχετόωνται.] Ἔνιοι, Εὐχετάονται. Ἐκαυχῶνται.
141. Ἐοικότα.] Ὅμοιον ὄντα.

NOTÆ.

126. Ἀλκάνδρη Πολύβοιο δάμαρ) Θέσεις βασιλέως Αἰγύπτου, ὁ παρ' Ὁμήρῳ καλούμενος Πόλυβος, Ἀλκάνδρας ἀνὴρ, ἐν Ὀδυσσείᾳ φερόμενος παρ' ᾧ, φησὶ, Μενέλαον εὖν τῇ Ἑλένῃ, μῦ τὸν ἄλλοσιν Τροίας κατῆχθαι πλανώμενον. *Euſebii* Chronic. Canon. fol. 115. & *Joſeph. Scaligeri* Animadverſ. fol. 50. *Thonis, Rex Ægypti* ab *Homero Polybus vocatur, maritus Alcandræ.* Θήβῃς Αἰγυπτίης) De *Thebarum Ægyptiarum* Opulentiâ, *Euſtath.* ad *Iliad.* ι'. v. 381. & in hunc locum, fol. 1488. lin. 47. In fine vocis Αἰγυπτίης, Συνίζησις; ut v. 229.

NOTÆ IN SCHOLIA.

131. Ἔχουσα) Pro ἔχει, lego.
134. Νήματος ἀσκητοῖο) Nihil hìc addo, nihil demo, nihil muto; excepto verborum ordine, qui rectè ſe non habebat, & caſu F ἐπιτηδειότερος, qui malè &c.

VARIÆ LECTIONES.

126. Ὅς ἔναι' ἐνὶ Θήβῃς) γρ. ὃς ἄνασσ' ἐνὶ Θήβῃς, Vid. in *Textum.*
127. Ἐν κτήματα) γρ. ἐνὶ κτήματα. Vid. ad v. 74. Not. in *Texs.* & *Iliad.* ι'. v. 381.
131. Χρυσείῃ) γρ. χρυσῇ, at Incontracta *Homero* uſitatiora.
139. Εὐχετόωνται) γρ. εὐχετάονται, *Br. Schol.* & MSS. *Aloyſii* & *GC.*

Ὡς

Ὡς ὅδ' Ὀδυσῆος μεγαλήτορος υἷϊ ἔοικε
Τηλεμάχῳ, τὸν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ
Κεῖνος ἀνήρ, ὅτ' ἐμεῖο χυνώπιδος εἵνεκ' Ἀχαιοὶ
Ἦλθεθ' ὑπὸ Τροίῃ, πόλεμον θρασὺν ὀρμαίνοντες.
Τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Οὕτω νῦν κ' ἐγὼ νοέω, γύναι, ὡς σὺ εἰσκεις.
Κείνῳ γὰρ τοιοίδε πόδες, τοιαίδε τε χεῖρες,
Ὀφθαλμοί τε βολαί, κεφαλή τ', ἐφύπερθέ τε χαίτη.
Καὶ νῦν ἤτοι ἐγὼ μεμνημένῳ ἀμφ' Ὀδυσῆι,
Μυθεόμενον, ὅσα κεῖνος ὀϊζύσας ἐμόγησεν
Ἀμφ' ἐμοί· αὐτὰρ ὁ πικρὸν ὑπ' ὀφρύσι δάκρυον εἶβε,
Χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖιν ἀναχώσας.
Τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα,
Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
Κεῖνος μὲν τοῦτόν γε ἐτήτυμον, ὡς ἀγορεύεις·
Ἀλλὰ σαόφρων ἐστὶ, νεμεσσᾶται δ' ἐνὶ θυμῷ,
Ὧδ' ἐλθὼν τοπρῶτον, ἐπεσβολίας ἀναφαίνειν
Ἄντα σέθεν, σὸ νῶϊ, θεῷ ὡς, τερπόμεθ' αὐδῇ.
Αὐτάρ ἐμὲ προέηκε Γερήνιος ἱππότα Νέστωρ,
Τῷ ἅμα πομπὸν ἕπεσθαι· ἐέλδετο γάρ σε ἰδέσθαι,
Ὄφρα οἱ ἢ τι ἔπος ὑποθήσεαι, ἠέ τι ἔργον.
Πολλὰ μὲν ἄλγε' ἔχει πατρὸς πάϊς οἰχομένοιο,
Ἐν μεγάροις, ᾧ μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν·

" Ut iſte Ulyſſis magnanimi filio ſimilis
" Telemacho, quem reliquit recens natum domi ſuæ
" Ille vir, quando mei inverecundæ gratiâ Græci
" Veniſſis ad Trojam, bellum ferox excitantes.
Hanc viciſſim reſpondens alloquutus eſt flavus Menelaus,
" Sic nunc ego reputo, uxor, ut tu putas.
" Illius enim ejuſmodi pedes, ejuſmodique manus,
" Oculorumque jactus, caputque & ſuperne comæ.
" Et nunc ſanè ego recordatus de Ulyſſe,
" Loquebar, quantas ille ærumnas patiens toleravit
" Pro me: cæterùm hic amaras à palpebris lacrymas ſtillabat,
" Chlænam purpuream oculis obtendens.
Hunc rurſus Neſtorides Piſiſtratus contrà alloquutus eſt,
" Atride Menelaë, a-Jove-nutrite, dux populorum,
" Illius quidem hic filius eſt certo certiùs, quemadmodum dicis,
" Sed modeſtus eſt, indignaturque in animo,
" Huc veniens primùm, jactationes verborum oſtentare
" Coram te, cujus nos, dei tanquam, delectamur voce.
" Cæterùm me præmiſit Gerenius eques Neſtor,
" Hunc ſimul comes ut ſequerer; cupiebat enim te videre;
" Ut ei aut verbis conſulas, ſive reipſâ.
" Plurimos enim dolores patitur ob patrem filius abſentem,
" Domi ſuæ, cui non alii auxiliatores ſunt;

Σ Χ Ο Λ Ι Α.

148. Εἴσκεις.] Ἀπεικάζεις.
149. Τοῖαι.] Τοιαῦται.
150. Βολαί.] Τὰ βλέμματα. Ἐφύπερθεν.] Ἐπάνωθεν.
152. Μυθεόμενον.] Ἔλεγον, διηγέμην. Ὀϊζύσας.] Ταλαιπωρήσας.
158. Σαόφρων.] Σώφρων. Νεμεσσᾶται.] Ἐντέτιμται, αἰδεῖται.
159. Ἐπισβολίας ἀναφαίνειν.] Τὰς ῥιψορρημοσύνας εἰς αὐτὸν φλυαρίας, ἢ πὰς περὶ τὸ οἶκον αὐτοῦ φλυαρίας, καὶ λοιδορίας, διεξιέναι. ἢ ὑπὸ σωφροσύνης ἢ βάλλῃ περικαθάρσεως λόγων. Ἐπισβολίας δὲ νῦν πὰς τῶν ἵππων εἰσβολὰς καὶ ὁρμάς. Ἀναφαίνειν.] Φαίνειν, διεξιέναι.
162. Ἐέλδετο.] Ἐπεθύμησε.
163. Ὑποθήσεαι.] Ὑποβάλῃς.
165. Ἀοσσητῆρες.] Βοηθοί.

N O T Æ.

149. Κείνῳ γὰρ τοιοίδε πόδες) *Virgil.* Æn. l. 3. v. 490. *Sic oculos, ſic ille manus, ſic ora ferebat.*

165. Ἐν μεγάροις· ᾧ μὴ ἄλλοι ἀοσσητῆρες ἔασιν) Olim in plurimis Editt. πολλοί, quod Senſus reſpuit; non enim neceſſe eſt, ut Orphanus *multos* habeat Patronos, ut ſaltem ut *alios*, præter ſe habeat; nè dicam *Verſum* cum voce πολλοί, laborare. Rectè itaque *Euſtathius* in Commentariis legit, ἄλλοι, ut ſit συνιζησις, ſive συνεκφώνησις, quaſi ſcriberetur, ᾧ μὴ 'λλοι. Quem *Latinorum* morem nec *Græcis* planè incognitum probo, ad *Eurip.* Oreſt. v. 596. Ità *Theogn.* v. 927. Φειδεσθ' ᾧ ἄμεινον· ἐπὶ δὲ θανόντ' ἀπόκλαιε. Vid. *Iliad.* π'. v. 31. *H. Stephan.* ἄλλοι etiam inter *Var. Lect.* habuit ut *Romana* Editio, in *Textu.*

Variæ Lectiones.

165. 'Αλλοι) ζ. πολλοί, vid. Not. ad *Textum.*

Ὡς

Ὣς νῦν Τηλεμάχῳ· ὁ μὲν οἴχεται, οὐδέ οἱ ἄλλοι
Εἴσ', οἵ κεν χεῖ' ἦμον ἀλάλκοιεν κακότητα.
Τόνδ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Ὦ πόποι, ἦ μάλα δὴ φίλῳ ἀνέρι υἱὸν ἐμὸν δῶ
Ἰκεθ', ὃς εἵνεκ' ἐμεῖο πολεῖς ἐμόγησεν ἀέθλους·
Καί μιν ἔφην ἐλθόντα φιλησέμεν ἔξοχον ἄλλων
Ἀργείων, εἰ νῶϊν ὑπείρ ἅλα νόστον ἔδωκε
Νηυσὶ θοῇσι γενέσθαι Ὀλύμπιος εὐρύοπα Ζεύς·
Καί κέν οἱ Ἀργεῖ ναέτας πόλιν, ᾗ δώματ' ἔτευξα,
Ἐξ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι καὶ πεκεῖ ᾧ,
Καὶ πᾶσιν λαοῖσι, μίαν πόλιν ἐξαλαπάξας,
Αἳ περιναιετάουσιν, ἀνάσσοντ' δ' ἐμοὶ αὐτῷ.
Καί κε θάμ' ὧδ' ἐόντες ἐμισγόμεθ'· οὐδέ κεν ἡμέας
Ἄλλο διέκρινεν Φιλέοντέ τε τερπομένω τε,
Πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν.
Ἀλλὰ τὰ μέν πως μέλλεν ἀγασσάσθαι θεὸς αὐτός,
Ὅς κεῖνον δύστηνον ἀνόστιμον οἶον ἔθηκεν.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
Κλαῖε μὲν Ἀργείη Ἑλένη Διὸς ἐκγεγαυῖα,
Κλαῖε δὲ Τηλέμαχός τε καὶ Ἀτρεΐδης Μενέλαος·
Οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτῳ ἔχεν ὄσσε·
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Ἀντιλόχοιο,
Τόν ῥ' Ἠὼς ἔκτεινε φαεινὴς ἀγλαὸς υἱός·
Τῷ ὅγ' ὀπιμνησθεὶς ἔπεα πτερόεντ' ἀγόρευεν,
Ἀτρεΐδη, πέρι μὲν σε βροτῶν πεπνυμένον εἶναι
Νέστωρ φάσκ' ὁ γέρων, ὅτ' ἐπιμνησαίμεθα σεῖο
Οἷσιν ἐνὶ μεγάροισι, καὶ ἀλλήλους ἐρέοιμεν.
Καὶ νῦν, εἴπερ πώς τοι, πίθοιό μοι· οὐ γὰρ ἔγωγε

" Sic nunc Telemacho cessit: hic quidem abest, neque eidem alii
" Sunt, qui per populum avertere possent calamitatem.
Hunc vicissim respondens alloquutus est flavus Menelaus,
" Dii Boni! Certe perquam amici viri filius meam domum
" Pervenit, qui mei gratiâ plurima subiit certamina:
" Atque ipsum statuebã aliquandò reducem amplexurũ me præter cæteros
" Græcos, si nobis super mare reditum dedisset
" Navibus velocibus fieri Olympius late-tonans Jupiter:
" Et sanè ei in Argo erexissem urbem, & ædes ædificassem,
" Ex Ithacâ reducens cum facultatibus & filio suo,
" Et omni populo, unâ urbe evacuatâ earum,
" Quæ circum-habitabantur, imperantur autem à me ipso:
" Et sanè crebrò hic unà fuissemus versati: neque nos
" Aliud diremisset amantesque obtectantéque,
" Antequam mortis nigra nebula obruisset.
" Sed hæc quidem forte erat, ut invideret deus ipse,
" Qui illum infelicem absque reditu solum reddidit.
Sic ait: his verò omnibus desidérium excitavit luctûs.
Flebat quidem Argiva Helena ex Jove nata,
Flebat etiam Telemachúsque & Atrides Menelaus:
Neque sanè Nestoris filius absque lacrymis habebat oculos;
Recordabatur enim in animo inculpati Antilochi;
Quem sanè Auroræ interfecit splendidæ inclytus filius:
Hujus ille recordatus verba volatilia dixit,
" Atride, supra alios immortales te prudentem esse
" Nestor dicebat ille senex; quando recordaremur tui
" Suis in domibus, & nos mutuò alloqueremur.
" Quare nunc, si forte licet, pareas mihi; non enim ego

ΣΧΟΛΙΑ.

167. Ἀλάλκοιεν.] Κωλύσωσι, βοηθήσωσιν.
171. Ἔφην.] Ἔλεγον. Φιλησέμεν.] Φιλοφρονήσασθαι.
174. Νάσσα.] Κατοίκησα. Ἔτευξα.] Κατασκεύασα.
175. Τίκεῖ.] Τίκτω.
176. Ἐξαλαπάξας.] Μεταστήσας τοὺς οἰκοῦντας εἰς ἄπρον τόπον.
179. Διέκρινεν.] Διεχώρισεν.
180. Ἀμφεκάλυψε.] Περιεκάλυψεν.
181. Ἀλλὰ τὰ μέν πως μέλλεν.] Ἀλλὰ τότε μὲ ἐφάνη. Ἀγασσάσθαι.] Φθονήσειν.
182. Ἀνόστιμον.] Ἐπιπόδυ μὴ τυχόντα.
188. Ἠὼς υἱός.] Ὁ Μέμνων. Τιθωνῷ γὰρ καὶ τῇ Ἡμέρᾳ υἱός.
192. Ἐρέοιμεν.] Ἐρωτήσαιμεν.
193. Εἰπὲ πώ ἐστιν.] Εἰ ἐφίλει.

NOTÆ IN SCHOLIA.

179. Διέκρινεν) Διεχώρισεν. Addo, ex MS. Διοσῦ.

Τέρπομ' ὀδυρόμενος· μεταδόρπιος· ἀλλὰ καὶ Ἠὼς
Ἐσαῦ) νεμεσσᾶμαί γε μὴν ὐδὲν
Κλαίειν, ὅς κε θάνῃσι βροτῶν καὶ πότμον ἐπίσπῃ.
Τοῦτό νυ καὶ γέρας οἷον ὀϊζυροῖσι βροτοῖσι,
Κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυα παρειῶν.
Καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεός, ὅττι κάκιστος
Ἀργείων· μέλλεις δὲ σὺ ἴδμεναι· οὐ γὰρ ἔγωγε
Ἤντησα, οὐδὲ ἶδον· πέρι δ' ἄλλων φασὶ γενέσθαι
Ἀντίλοχον, θοὸν μὲν θείειν ταχὺν, ἠδὲ μαχητήν.
Τόνδ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Ὦ φίλ', ἐπεὶ τόσα εἶπες, ὅσ' ἂν πεπνυμένος ἀνὴρ
Εἴποι καὶ ῥέξειε, καὶ ὃς προγενέστερος εἴη·
Τοίη γὰρ καὶ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις.
Ῥεῖα δ' ἀείγνωτος γόνος ἀνέρος, ᾧ τε Κρονίων
Ὄλβον ἐπικλώσῃ γαμέοντί τε γεινομένῳ τε.
Ὡς νῦν Νέστορι δῶκε Διὶ μητιόεντα πάντα,
Αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν,
Υἱέας αὖ πεπνυμένους τε καὶ ἔγχεσιν εἶναι ἀρίστους.
Ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν, ὃς πρὶν ἐτύχθη·
Δόρπου δ' ἐξαῦτις μνησώμεθα, χερσὶ δ' ἐφ' ὕδωρ
Χεύάντων· μῦθοι δὲ καὶ ἠῶθεν περ ἔσονται
Τηλεμάχῳ καὶ ἐμοὶ, διεπέμεν ἀλλήλοισιν.

" Delector flens inter cænandum: Sed & mox Aurora
" Aderit mihi ge ita; molestè quidem neutiquam fero
" Deplorare; quicunq; mortuus fuerit mortali.ũ, & fatũ consequutus fuerit.
" Illud certe munus solum est miserorum mortalium,
" Tonderéque comas, profunderéque lachrymas à genis.
" Etenim meus mortuus est frater, neutiquam pessimus
" Græcorum: scies autem tu, non enim ego
" Obviam fui, neque vidi: supra autem alios ferunt fuisse
" Antilochum, supra quidem currendo velocem, atque bellatorem.
Hunc mutuis verbis excipiens alloquutus est flavus Menelaus,
" Amice, quandoquidem talia dixisti, quæcunque prudens vir
" Diceret & faceret, etiam qui major natu esset:
" Tali enim natus es Patre; quare etiam prudenter loqueris.
" Facile conspicuus est Filius Viri; cui Saturnius
" Faustitatem destinavit Nuptiis paritèr & Natalitiis;
" Sicut nunc Nestori dedit assidue diebus omnibus,
" Ipsum quidem molliter senescere domi suæ,
" Filios rursus prudentes, & hastâ esse optimos.
" Nos tamen fletum relinquamus, qui prius incidit;
" Cœnæ verò rursus memores simus, manibusque aquam
" Profundant: sermones autem etiam manè erunt
" Telemacho & mihi, ad colloquendum invicem.

Σ Χ Ο Λ Ι Α.

194. Μεταδόρπιος.] Μετὰ τὸ δεῖπνον· ἢ ὅτας, οὐκ ἀρίστῳ μὲν θρηνεῖν μετὰ δεῖπνον. *Ἄλλως, Μεταδόρπιος] Δείπνου ὥρα, ἤγουν ὁ τοῦ δείπνου· καὶ μεταδήμιος, ἔνδημος, ὁ ἐν δήμῳ ὤν.

195. Νεμεσσῶμαι.] Νεμεσίζομαι, μέμφομαι.

199. Κάκιστος.] Ἀνολός.

200. Ἴδμεναι.] Εἰδέναι.

205. Ῥέξειε.] Πράξοι.

206. Ὅ.] Διὸ.

207. Ἀείγνωτος.] Εὔγνωστος.

208. Ἐπικλώσῃ.] Εἱμαρμένον ποιήσῃ. Γεινομένῳ.] Τεκνοποιεῖσθαι, γίνεσθαι.

210. Λιπαρῶς.] Εὐδαιμόνως, μεγαλως.

211. Πεπνυμένους.] Σώφρονας, σπουδαίους.

213. Μνησώμεθα.] Ἐπιμελήθωμεν.

214. Χεύάντων.] Ἐπιχείτωσαν, Ἀπίτωσαν.

215. Διεπέμεν.] Διαλεχθῆναι.

NOTÆ IN SCHOLIA.

195. Νεμεσσῶμαι) Νεμεσίζομαι, μέμφομαι. Pro corrupto νεμεσσῶμαι, lego νεμεσίζομαι· quæ tamen unica vox deest MSS. illa enim νεμεσσῶμαι, μέμφομαι, tantum legunt.

208. Ἐπικλώσῃ) Εἱμαρμένον ποιήσῃ. Ità MSS. quæ cùm *Variæ Lectionis* vestigia præferant, licet ἐπικλώσῃ sit in *Textu*, minimè mutanda censeo. *Schrevel.* Edit. ἐπικλώσῃ) ποιήσῃ &c.

VARIÆ LECTIONES.

197. Οἷον) χρ. οἶον, θαυμαστικῶς, inquit *Eustathius*. Vid. *Duport.* Gnomolog. in locum.

207. Ἀείγνωτος γόνος) χρ. ἀείγνωτον γένος, *H. Steph.*

208. Ἐπικλώσῃ) χρ. ἐπικλώσῃ, MSS. *GC.* & *Aloysii.*

212. Ἡμεῖς δ') χρ. ἡμεῖς δὴ, *Eustath.*

Ὡς

Ὣς ἔφαθ'· Ἀσφαλίων δ' ἄρ' ὕδωρ ἐπὶ χεῖρας ἔχυθεν,
Ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα παρκείμενα χεῖρας ἴαλλον.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε Διὸς κυγερὴ θυγάτηρ·
Αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον,
Νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων·
Ὃς τὸ καταβρόξειεν, ἐπὶ κρητῆρι μιγείη,
Οὐκ ἂν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειάων,
Οὐδ' εἰ οἱ κατατεθναίη μήτηρ τε πατήρ τε,
Οὐδ' εἰ οἱ προπάροιθεν ἀδελφεὸν, ἢ φίλον υἱὸν,
Χαλκῷ δηϊόῳεν, ὁ δ' ὀφθαλμοῖσιν ὁρῷτο.
Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
Ἐσθλὰ, τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις,
Αἰγυπτίη· τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δ' ὀλοά·
Ἰητρὸς δ' ἕκαστος ἐπιστάμενος τετὶ πάντων
Ἀνθρώπων· ἦ γὰρ Παιήονός εἰσι γενέθλης.

Sic ait: Asphalion verò aquam manibus intudit,
Sedulus famulus Menelai glorioſi.
Hi vero ad cibos paratos appoſitos manus mittebant,
Ibi tum alia excogitavit Helena è Jove nata:
Protenus ſanè in vinum miſit pharmacum, unde bibebant,
Abſque dolore & irâ, malorum oblivionem inducens omnium:
Qui illud deglutierit, poſtquam crateri mixtum erit,
Non utique totâ die profundere poterit lachrymas à palpebris,
Neque, ſi ei mortui fuerint matérque patérque,
Neque ſi ei coràm fratrem, aut chrum filium
Ferro trucidarent, ipſe vero oculis videret.
Talia Jovis filia habebat pharmaca utilia,
Bona, quæ illi Polydamna præbuit Thonis uxor,
Ægyptia; ubi plurima producit alma terra
Pharmaca, multa quidem ſalubria mixta, multa quoque lethalia;
Medicus verò unuſquiſque peritus ſuprà omnes
Homines: ſanè enim Pæonis ſunt ex proſapiâ.

ΣΧΟΛΙΑ.

216. Ἀσφαλίων.] Πεποίηκε τὸ ὄνομα παρὰ τὴν ἀσφάλειαν.

221. Νηπενθές.] Ἀπενθῆ. Ἄχολον.] Τὸ τὴν χολὴν παῦον. Ἐπίληθον.] Προπαροξυτόνως, ἵν' ᾖ ἐπιληπτικόν. οἱ δὲ προπερισπασμένως, ἵν' ᾖ ἐπιλανθανόμενον ποιῶν.

222. Καταβρόξειεν.] Καταπίοι.

223. Ἐφημέριος.] Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐφ' ᾗ ἔπιεν.

226. Δηϊόῳεν.] Ἀναιροῦεν. Φονεύοιεν.

227. Μητιόεντα.] Περιέχοντα, ἢ ὑπὸ σωτήριος ἠνεμμένα.

228. Πολύδαμνα.] Ἀμφίβολα, πότερον τὰ φαρμακίδες ἐστὶ τὸ ὄνομα· ἢ τὰ φάρμακα τὰ πολλὰς δαμάζοντα νόσους, χρόνῳ, χρονικῶν, pro quo νόμῳ legit *Fabricius*.

232. Παιήονος.) In hoc *Scholio*, κεχωρισμένως ex MSS. lego, pro κεχωρισμένως, & ex iisdem, atque *Euſtathio*, Verſus *Heſiodi* emendo; excepto, quòd Παίων, pro Παιήων, Metri gr. legam.

231. Ἰητρὸς δ' ἕκαστος.] Ἕκαστος τῶν ἐπιτηδείων ἰατρῶν ὑπὲρ τοὺς ἄλλους ἐστὶν· ἐπεὶ Παιήονος διδάσκαλοί εἰσι. γράφεται καὶ περὶ πάντων φαρμακούντων· ὁ γὰρ πάντας πάντα ἴσασιν. Περὶ πάντων.] Ὑπὲρ πάντας.

232. Παιήονος.] Παιήων ἰατρὸς θεῶν, ὡς ὁ αὐτὸς τοῦ Ἀπόλλωνος· ἀλλὰ κεχωρισμένως. παρὰ μέντοι τοῖς νεωτέροις ὁ αὐτὸς νομίζεται εἶναι. καὶ Ἡσίοδος δὲ μάρτυς ἐστί, διάφορον εἶναι τὸν Παιήονα τοῦ Ἀπόλλωνος, λέγων·

Εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπ' ὀϊζυροῖσι βροτοῖσιν,
Ἢ αὐτὸς Παίων, ὃς πάντων φάρμακα οἶδεν.

NOTÆ.

221. Νηπενθὲς) De *Nepenthe*, *Plutarchus*, *Plinius*, *Macrobius*, & alii apud *Duport.* Gnomolog. in locum; quibus add. *Martinii* Lexicon *Philolog.* v. *Nepenthes*, *P. Petiti* l. cui Nomen, *Homeri Nepenthes*, ſive de *Helena* Medicamento, *Trajecti.* 1689. *Joh. Bodin.* Theatr. Nat. l. 3. p. 282. *Meibomium* etiam in Jusjurand. *Hippocratis*, p. 156. n. 16. *Ælian.* denique, Animal. l. 4. c. 41. in fine; & Nos ad *Anacreon.* v. 775.

229. Αἰγυπτίη) Vid. ad v. 126.

NOTÆ IN SCHOLIA.

221. Προπαροξυτόνως) Ità duo MSS. pro corrupto, παροξυτόνως.

227. Συνίστασις ἠνεμμένα) Ultimam vocem, utpote neceſſariam, ex MSS. addo.

228. Θῶνος, ut proprium Nomen ſcribo, & pro

VARIÆ LECTIONES.

221. Ἐπίληθον) κ. ἐπιλήθου, *Br. Schol.* ἐπιληθὲς, *Plutarch.* Vit. *Homeri.*

229. Αἰγυπτίη, τῇ) κγ. Αἰγυπτίῃ, τῷ, *Theophraſt.* τῷ φυτῶν, l. 9. c. 15. fol. 96. *Ibid.* Φέρει) κ. φύει, *Id.* ibid

230. Μεμιγμένα) κ. πεπυγμένα, *Theophraſt.* ibid.

Αὐταὰρ ἐπεί ῥ' ἐπέηκε, κέλθυσέ τε οἰνοχοῆσαι,
Ἐξαῦτις μύθοισιν ἀμειβομένη προσέειπεν,
Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ἦδέ κ' οἴδε
Ἀνδρῶν ἐσθλῶν παῖδες, ἀταρ θεὸς ἄλλο τ' ἐπ' ἄλλῳ
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα.
Ἦ τοι νῦν δαίνυσθε, καθήμενοι ἐν μεγάροισι,
Καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω.
Πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
Ὅσσοι Ὀδυσσῆος ταλασίφρονος εἰσὶν ἄεθλοι·
Ἀλλ' οἷον τόδ' ἔρεξε κὴ ἔτλη καρτερὸς ἀνὴρ
Δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πῆμαΐ' Ἀχαιοί.
Αὐτὸν μὲν πληγῇσιν ἀεικελίῃσι δαμάσας,
Σπεῖρα κακὰ ἀμφ' ὤμοισι βαλὼν, οἰκῆϊ ἐοικὼς,
Ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν.
Ἄλλῳ δ' αὐτὸν φωτὶ καταπρύψας ἤϊσκε
Δέκτῃ, ὃς ἤδὲν τοῖος ἔλιω ἐπὶ νηυσὶν Ἀχαιῶν·
Τῷ ἴκελος κατέδυ Τρώων πόλιν· οἱ δ' ἀβάκησαν
Πάντες· ἐγὼ δέ μιν οἴη ἀνέγνων τοῖον ἐόντα,
Καί μιν ἀνηρώτων· ὁ δ' ἐρεθσύνῃ ἀλέεινεν.
Ἀλλ' ὅτε δή μιν ἐγὼν ἐλόβην κὴ λῖσσον ἐλαίῳ,

Cæterum posquam immisit, jussitque vinum infundere,
Denuò verbis excipiens alloquuta est,
" Atride Menelaë, a Jove nutrite, atque etiam hi
" Virorum fortium filii, porrò Deus aliud in alium
" Jupiter bonumque malúmque confert; potest enim omnia.
" Sanè nunc convivamini, sedentes in domibus,
" Et sermonibus delectamini: decentia enim ordine dicam.
" Omnia quidem non ego enarrare queam, neque nominare,
" Quot Ulyssis patientis sunt certamina:
" Sed qualiter istud fecit, & sustinuit fortis vir
" Populo in Trojanorum, ubi passi estis ærumnas Græci:
" Seipsum plagis indecentibus domando,
" Vilibus pannis circumjectis ad humeros, servo similis,
" Virorum hostium ingressus est urbem latam:
" Alii verò seipsum viro dissimulans assimilavit
" Mendico, qui neutiquam talis erat apud naves Græcorum:
" Huic similis ingressus est Trojanorum urbem, illi vero ignorabant
" Omnes: ego verò ipsum sola agnovi talem existentem,
" Et ipsum interrogabam; ille vero præ astutiâ tergiversabatur.
" Sed quando certò ipsum lavi & unxi oleo,

Σ Χ Ο Λ Ι Α.

233. Οἰνοχοῆσαι.] Κεράσαι.

238. Ἦτοι νῦν δαίνυσθε.] Τὸ ἐξῆς, Ἀτρεΐδη καὶ παῖδες, ἦτοι νῦν δαίνυσθε· Ζεὺς γὰρ ἄλλοτε ἄλλα παρέπεμψεν. νῦν μέντοι ὑμῖν τὰ εὐωχεῖσθαι.

239. Καταλέξω.] Ἐρῶ τε εἶπω.

241. Ἄεθλοι.] Ἆθλοι, ἀγῶνες.

244. Αὐτὸν μιν.] Δύο ἰσοδυναμοῦσαι ἀντωνυμίαι ἀντὶ μιᾶς παραλαμβάνονται. Ἀεικελίῃσι.] Δαμασπαλοῖς, δεινοῖς, χαλεπαῖς.

245. Σπεῖρα κακὰ.] Ἱμάτια, περισίδηκε δὲ κακὰ, ἵνα δηλώσῃ ῥάκη. Οἰκῆϊ.] Οἰκέτῃ, δήλου.

246. Ἀνδρῶν δυσμενέων.] Οἱ μέν, ἵνα μετρήσῃ τὸ πεῖχος, οἱ δὲ, ἵνα πείσῃ τὸν Ἑλένην συνεργῆσαι τῇ Ἕλλησι. Κατέδυ.] Εἰσῆλθεν.

247. Ἤϊσκεν.] Ἀπεικάζει, ὁμοιοῦτο.

248. Δόκτῃ.] Ἐπαίτῃ, λύτῃ ἢ δίκελῳ. Ὃς ἤδὲν τοῖος ἦεν.] Τὸ δὲν παρέλκει.

249. Ἀβάκησαν.] Ἠγνόησαν· παρὰ τὸ βάζω ἐχνεμαθήσαν· ἡ ὃ λέξις, ἢ ἄπαξ εἰρημένων ἐστὶν.

250. Ἀνέγνων.] Ἐπέγνων.

251. Ἀνηρώτων.] Ἠρώτων. Κερδοσύνῃ.] Δόλῳ, πανουργίᾳ. Ἀλέεινεν.] Ἐφυλάττετο.

252. Ἐλόβην.] Ἔλουον· ἵνα ἀκριβέστερον τὸ κατ' ἰαυτὸν μάθῃ, αὐτὴ ἔλεγεν αὐτόν.

N O T Æ.

244. Αὐτὸν μιν) Ità Codd. omnes; verùm puto, αὐτόν μιν, scribi debere. Nam ut ἑαυτὸν dicimus, sic ἐ αὐτὸν agnoscimus, non ἐ αὐτόν. Judicent Docti. Vid. ad *Iliad.* α'. v. 271.

249. Ἀβάκησαν) *Brevibus Scholiis* adde *Eustath.* fol. 1494. Ἀβακὴς *Sappho*, ἀβακίζομαι habet *Anacreon*, v. 1202.

NOTÆ IN SCHOLIA.

244. Δαμασπαλοῖς) Ità pro δυσήνοις, MSS. auctoritate lego; est etiam δύσηνος, ἀ κὴ ἠ.

249. Ἀβάκησαν) Lego, ἡ ὃ λέξις &c. ex MSS. Vid. ad *Anacreon.* v. 1202.

Variæ Lectiones.

236. Ἄλλο τὶ) χρ. ἄλλοτι, *Br. Schol.* 244. Αὐτόν μιν) χρ. αὐτόν μιν, vid. Not. in *Textum.*

Ἀμφὶ

Ἀμφὶ δ' εἵματα ἕσσα, ὑπὸ δ' ὤμοσα καρτερὸν ὅρκον,
Μὴ μὰν πεὶν Ὀδυσῆα μετὰ Τρώεσσ' ἀναφῆναι,
Πείν γε τὴν ἐς νῆάς τε θοὰς κλισίας τ' ἀφικέσθαι.
Καὶ τότε δή μοι πάντα νόον κατέλεξεν Ἀχαιῶν.
Πολλοὺς δὴ Τρώων κτείνας ταναήκεϊ χαλκῷ,
Ἦλθε μετ' Ἀργείους· χαῖρε δὲ Φρύνιν ἦγαγε πολλήν.
Ἔνθ' ἄλλαι Τρωαὶ λίγ' ἐκώκυον· αὐτὰρ ἐμὸν κῆρ
Χαῖρε, ἐπεὶ ἤδη μοι κραδίη τέτραπτο νέεσθαι
Αὖ οἰκόνδ'· ἄτην δὲ μετέτρεπον, ἣν Ἀφροδίτη
Δῶκ', ὅτε μ' ἦγαγε κεῖσε φίλης ἀπὸ παλείδος αἴης,
Παῖδά τ' ἐμὴν νοσφισαμένην, θάλαμόν τε, πόσιν τε,
Οὔ τευ δευόμενον, οὔτ' ἂρ φρένας, οὔτε τι εἶδος.
Τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Ναὶ δὴ ταῦτά γε πάντα, γύναι, κατὰ μοῖραν ἔειπες.
Ἤδη μὰν πολέων ἐδάην βουλήν τε νόον τὲ
Ἀνδρῶν ἠρώων, πολλὴν δ' ἐπελήλυθα γαῖαν·
Ἀλλ' οὔπω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν,
Οἷον Ὀδυσσῆος ταλασίφρονος ἔσκε φίλον κῆρ,
Οἷον καὶ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνήρ,
Ἵππῳ ἔνι ξεστῷ, ἵν' ἐσήμεθα πάντες ἄριστοι
Ἀργείων, Τρώεσσι φόνον καὶ κῆρα φέροντες.
Ἦλθες ἔπειτα σὺ κεῖσε· κελεύσεμεν δέ σ' ἔμελλε
Δαίμων, ὃς Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι,

"Vestibus autem indui & juravi firmum juramentum,
"Non ante Ulyssem Trojanis me proditurum,
"Quàm ipse ad naves celeres tentoriáque perveniſſet:
"Et tunc tandem mihi omnem mentem aperuit Græcorum.
"Plurimos autem Trojanorum cùm interfeciſſet longo ferro,
"Venit ad Græcos; aſtutiam verò induxit multam.
"Ibi aliæ Trojanæ ſtridulè ejulabant: ſed meum pectus
"Gaudebat: nam jam mihi cor verſum erat redire
"Rurſus domum; damnum verò deflebam, quod Venus
"Dederat, quando me duxit illuc charâ à patriâ terrâ,
"Filiámque meam ſeparans, thalamumque, maritumque,
"Nullius rei indigentem, neque mentis, neque formæ.
Hanc dictis excipiens alloquutus eſt flavus Menelaus,
"Certò hæc omnia, uxor, ut decet, dixiſti:
"Jam quidem multorum cognovi conſiliumque mentemque
"Virorum heroum, multamque peragravi terram:
"Sed nondum talem ego vidi oculis,
"Quale Ulyſſis patientis erat gratum pectus,
"Quale etiam illud fecit, & ſuſtinuit fortis vir,
"Equo in polito, ubi inſidebamus omnes optimates
"Græcorum, Trojanis cædem & fatum inferentes.
"Veniſti deinde illuc; juſſiſſe autem te videbatur
"Deus, qui Trojanis voluit gloriam præbuiſſe,

ΣΧΟΛΙΑ.

253. Ἕσσα.] Ἐνέδυσα.
254. Ἀναφῆναι.] Μηνύσαι, δεῖξαι.
257. Ταναήκεϊ.] Τεθαμμένῃ ἔχοντι τὴν ἀκμήν.
258. Καὶ ὃ φρένας ἦγαγε πολλάς.] Καὶ ἀφρόνησεν αὐτῶν ἤγαγε· τοιοῦτον, ἢ αὐτὸς κατεφρόνησε τότε αὐτῶν, ἢ τὰς Ἕλληνας ἐποίησεν αὐτῶν καταφρονῆσαι, ἀλλ' ἵνα ἔπεισε τὴν Ἑλένην· ἢ φρενήσας ἀπείρως ἑαυτῷ πεπιθὼς τὸ ὄνομα ταῦτα ποιήσας· οἱ δὲ νεώτεροι, φρένας τὴν λείαν ἀπεδέξαντο.
259. Λίζα.] Ὀξέως. Ἐκάκυον.] Ἐθρήνουν.
260. Νέεσθαι.] Περιοῦσαι.
261. Μετέτρεπον.] Μετεμελόμην.
263. Νοσφισαμένην.] Χωρίσασα, καταλιποῦσα. Πόσιν.] Ἄνδρα.
264. Τεῦ.] Τινός. Δευόμενον.] Ἐνδεῆ ὄντα, εὐδόμενον.
267. Ἐδάην.] Ἔμαθον.
268. Ἐπελήλυθα.] Ἐπῆλθον.
272. Ἵππῳ ἔνι ξεστῷ.] Τῷ δουρείῳ ἵππῳ, καλῶς ἐξεσμένῳ. Ἐσήμεθα.] Ἐμβεβλημένοι ἤμεν.
274. Κελεύσεμεν.] Προτρέψαι.

NOTÆ.

272. Ἵππῳ ἔνι ξεστῷ) Hiſtoriam Equi *Trojani* tangit iterum, θ'. v. 492. Vid. ad *Euripid.* Troad. v. 10.

NOTÆ IN SCHOLIA.

264. Ἐνδεόμενον) Ità MSS. non εὐδόμενον, quod *Poeticum* eſſet.

VARIÆ LECTIONES.

270. Ἔσκε) γε. ἴσχε, *H. Steph.*

Καὶ

Καί τοι Δηΐφοβος θεοείκελ' ἕσπετ' ἰδυίη.
Τρὶς δὲ περίστειξας κοίλον λόχον ἀμφαφόωσα,
Ἐκ δ' ὀνομακλήδην Δαναῶν ὀνόμαζες ἀείρας,
Πάντων Ἀργείων φωνὴν ἴσκων' ἀλόχοισιν.
Αὐτὰρ ἐγὼ, ἠ Τυδείδης, ἠ δῖος Ὀδυσσεὺς
Ἥμεθα σὺ μέσοισιν, ἀκούσαμεν, ὡς ἐβόησας.
Νῶϊ μὲν ἀμφοτέρω μενεήναμεν ὀρμηθέντε,
Ἢ ἐξελθέμεναι, ἢ ἔνδοθεν αἶψ' ὑπακοῦσαι·
Ἀλλ' Ὀδυσεὺς κατέρυκε, καὶ ἔσχεθεν ἱεμένω περ.
Ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν ἡῶες Ἀχαιῶν·
Ἀνίκλος δέ σε γ' οἷος ἀμείψασθαι ἐπέεσσιν
Ἤθελεν· ἀλλ' Ὀδυσεὺς ἐπὶ μάσσατο χερσὶ πίεζε
Νωλεμέως κρατερῇσι, σάωσε δὲ πάντας Ἀχαιούς·
Τόφρα δ' ἔχ', ἔφρασε νόσφιν ἀπήγαγε Παλλὰς Ἀθήνη.
Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἀτρεΐδη Μενέλαε διοτρεφὲς, ἄρχε λαῶν,
Ἄλγιον· ἢ γάρ οἵ π τάγ' ἤρκεσε λυγρὸν ὄλεθρον,
Οὐδ' εἴ οἱ κραδίη γε σιδηρέη ἔνδοθεν ἦεν.
Ἀλλ' ἄγεθ', εἰς εὐνὴν πρέπετ' ἡμέας, ὄφρα κὲν ἤδη
Ὕπνῳ ὕπο γλυκερῷ τερπώμεθα κοιμηθέντες.
Ὣς ἔφαθ'· Ἀργείη δ' Ἑλένη δμωῇσι κέλευσε

" Et te Deiphobus deo-similis sequebatur protectam.
" Ter autem circumlustrâsti cavas insidias attrectans,
" Nominatim verò Græcorum nominabas optimates,
" Omnium Græcorum voce assimulatâ uxoribus.
" Cæterùm ego & Diomedes & divus Ulysses
" Sedentes inter medios, audivimus, ut vocabas.
" Nos quidem ambo prompti eramus facto impetu
" Vel exire, vel intus statim obtemperare & respondere;
" Verùm Ulysses prohibuit & continuit quantumvis cupidos.
" Ibi alii quidem omnes tacebant filii Græcorum;
" Anticlus verò te solus convenire verbis
" Voluit; sed Ulysses os manibus compressit
" Indefinenter fortibus, servavitque omnes Græcos;
" Tam diù detinuit, donec te seorsim adduxit Pallas Minerva.
Hunc rursus Telemachus prudens contrà alloquutus est,
" Atride Menelaë, à-Jove-nutrite, dux populorum,
" Durius est: non enim ei ista depulerunt tristem mortem,
" Neque si ei cor ferreum intus esset.
" Sed agite ad cubile mittite nos, ut jam
" Somno à dulci delectemur dormientes.
Sic ait: Argiva autem Helena ancillis præcepit

ΣΧΟΛΙΑ.

276. Καὶ τοι Δηΐφοβος.] Ἐπὶ τελευτήσαντος. Ἢ Ἀλεξάνδου ὑπὸ Φιλοκτήτου, Δηϊφόβου ἡγαμηκότος τὴν Ἑλένην. Θεοείκελος.] Θεοῖς ὁμοίος. Ἰσχυ.] Πορευομένην. Τοί] Σοί.

277. Περίστειξας.] Περιῆλθες· ἀπὸ τοῦ στείχειν, τὸ ἴσον πορεύεσθαι. Κοῖλον λόχον.] Τὸν δόρειον ἵππον. Ἀμφαφόωσα.] Ψηλαφῶσα.

278. Ἐκ δ' ὀνομακλήδην.] Ἐξ ὀνόματος.

279. Ἴσκων.] Ἀπεικάζουσα.

282. Νῶϊ.] Ἡμεῖς. Μενεήναμεν.] Προθυμούμεθα.

283. Ἔνδοθεν.] Ἔσωθεν.

284. Κατέρυκε.] Κατέσχεν, ἐκώλυεν. Ἔσχεθεν.] Ἐπέσχεν. Ἱεμένω περ.] Καὶ εὐθυμουμένου.

285. Ἀκὴν.] Ἡσυχοι.

286. Ἀμείψασθαι.] Ἀποκρίνασθαι.

287. Μάσσατο.] Τὸ στόμα. Πίεζε.] Ἔσφιγγεν.

288. Νωλεμέως.] Ἀδιαλείπτως. Σάωσε.] Ἔσωσεν.

289. Τόφρα.] Ἕως.

292. Ἄλγιον.] Λυπηρόν. Ἤρκεσεν.] Ἐβοήθησεν.

295. Γλυκερῷ.] Ἡδεῖ. Τερπώμεθα.] Τερφθῶμεν.

NOTÆ.

279. Πάντων Ἀργείων φωνὴν ἴσκων' ἀλόχοισιν) *Ptolemæus Hephæstion*, l. 4. Φασὶν, Ἡχὼ δὲ τὴν Ἑλένην τὸ κύριον καλεῖσθαι, ἀφ' ὃ τὸ φωνήμενον αὐτῷ γενέσθαι.

NOTÆ IN SCHOLIA.

284. Ἔκιθεν) Ἔκιχεν, ex MSS.

285. Ἀποκρινασ) Ita MS. *GC.* ἀποκρίνασ, MS. *Aloysii*; Neutrum ἀποκρίνηται, quod olim.

287. Πίεζε) Ἔσφιγγεν. Ita pro ἔσφιγγεν, nec sine MSS.

VARIÆ LECTIONES.

279. Ἴσκων') γρ. ἴσκων', *Florentin.* & *Recsii Lovaniana.*

294. Τρίπιθ') γρ. τρόπιθ', *Eustath.* *Ibid.* Ὄφρα κεν) γρ. ὄφρα νῦν, *H. Steph.*

295. Τερπώμεθα) γρ. περπώμεθα, MS. *GC.* & *Aloysii*, & *Seberi* Index; *H. Steph.* περπώμεθα, in *Textu*, & πρπώμεθα, in Margine.

Δέμνι'

Δέμνι' ὑτ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
Χλαίνας τ' ἐν θέμεναι ἕλας καθύπερθεν ἔσασθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δαΐς μὲν χερσὶν ἔχουσαι.
Δέμνια δὲ στόρεσαν· ἐκ δὲ ξείνους ἄγε κήρυξ.
Οἱ μὲν ἄρ' ἐν προθόμῳ δόμου αὐτόθι κοιμήσαντο
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱός·
Ἀτρεΐδης δὲ καθεῦδε μυχῷ δόμου ὑψηλοῖο,
Παρ δ' Ἑλένη ταναύπεπλος ἐλέξατο δῖα γυναικῶν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Ὦρτο δ' ἄρ' ἐξ εὐνῆφι βοὴν ἀγαθὸς Μενέλαος
Εἵματα ἑσσάμενος· περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ,
Ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα·
Βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ εἰναλίγκιος ἄντην,
Τηλεμάχῳ δὲ παρίζε, ἔπος τ' ἔφατ', ἐκ τ' ὀνόμαζε,
Τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε, Τηλεμάχ' ἥρως,
Ἐς Λακεδαίμονα δῖαν, ἐπ' εὐρέα νῶτα θαλάσσης;
Δήμιον, ἢ ἴδιον; τόδε μοι κεχρημένε εἰπέ.
Τόν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἀτρεΐδη Μενέλαε, διοτρεφές, ὄρχαμε λαῶν,
Ἦλυθον, εἴπνά μοι κληηδόνα πατρὸς ἐίσπῃς·
Ἐδνί τά μοι οἶκος, ὄλωλε δὲ πίονα ἔργα.
Δυσμενέων δ' ἀνδρῶν πλεῖος δόμος, οἵ τε μοὶ αἰεὶ

Cubilia ſub portica ponere, & ſtrągula pulchra
Purpurea injicere, ſterneréque ſuperne tapetas,
Chlænáſque imponere villoſas ad ſupra cooperiendum.
Iliæ ibant ex ædibus facem in manibus geſtantes:
Cubilia vero ſtraverunt, hoſpites autem eduxit præco.
Hi quidem in veſtibulo domûs illic dormiebant
Telemac uſque heros, & Neſtoris inclytus filius:
Atrides verò dormivit in receſſu domûs exce ſæ,
Juxtáque Helena lato peplo cubabat præſtans mulierum:
Quando verò manè-genita apparuit roſeis-digitis aurora,
Surrexit ex lectulo bello præſtans Menelaus
Veſtes indutus, acutum vero gladium circumpoſuit humero,
Pedibus verò mollibus ſubligavit pulchros calceos;
Feſtinabatque ire ex thalamo deo ſimilis coram;
Telemachoque aſſidebat, ſermonemque habuit, & ſic fatus eſt,
" Ecqua rete neceſſitas huc egit, Telemache heros,
" Ad Lacedæmona divinam, per latadorſa maris?
" Ad publicum *quid*, an privatum? hoc mihi verè dic.
Hunc rurſus Telemachus prudens contrà alioquutus eſt:
" Atride Menelaë, à Jove nutrite, rex populorum,
" Veni, ſiquam mihi famam de patre diceres.
" Diſſipantur mihi facultates, pereunt verò pinguia opera:
" Hoſtium virorum plena eſt domus, qui mihi perpetuò

Σ Χ Ο Λ Ι Α.

297. Δίμνια.] Στρώματα.
298. Ἐφύπερθε.] Ὑπεράνωθεν.
300. Δαΐς.] Φῶς, λαμπὰς.
301. Στόρεσαν.] Ἔστρωσαν.
302. Προσόμῳ.] Τῷ πρὸ θαλάμου.
304. Μυχῷ.] Τῷ ἐσωτάτῳ.
305. Ταναύπεπλος.] Τετρημένον πέπλον ἔχουσα. Ἐλέξατο.] Ἐκοιμήθη.
306. Ἦμος.] Ἡνίκα, ὅτε.
310. Ἴμεν.] Πορεύεσθαι.
312. Δεῦρο.] Ἐνταῦθα.
313. Νῶτα θαλάσσης.] Μεταφορικῶς τὸ πλάτος τῆς θαλάσσης εἶπεν.
314. Δήμιον.] Δημόσιον. Νημερτές.] Ἀληθές.
317. Κληηδόνα.] Κληδόνα, φήμην. Εἴπῃς.] Εἴπῃς.
319. Πλεῖος.] Πλήρης.

N O T Æ.

312. Τίπτε δέ σε χρειὼ, — δήμιον, ἢ ἴδιον) Subaudi, στεῦγος &c. ut ad α'. v. 225.

NOTÆ IN SCHOLIA.

297. Στρώσασθαι) Quæ hactenus ſequebantur, deleo; viz. ἐν αἰθούσῃ) ἠγλαΐῃ, quòd τὸ ἠγλαΐῃ ſit διαλελυκὸν ἐκ ἰσογλώσσου, quæ vox non huius eſt loci; quare in alium removi, ad γ'. v. 399. Vid. ad η'. v. 345.

305. Ταναύπεπλος) Τετρημένον. Ità pro corrupto πεπερασμένον, ex *Aloyſii* MS.

317. Κληηδόνα) Κλῃδόνα, φήμην. Media Vox ex duobus MSS.

VARIÆ LECTIONES.

304. Καθεῦδε) γρ. καθεύδει, vid. ad α'. v. 611. *Br. Schol.*

Μὴλ' ἀδινὰ σφάζῃσι, καὶ εἰλίποδας ἕλικας βοῦς,
Μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες.
Τὼνεκα νῦν τὰ σὰ γούνατ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα
Κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴπερ ὄπωπας
Ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἄκουσας
Πλαζομένῳ· πέρι γάρ μιν ὀϊζυρὸν τέκε μήτηρ.
Μηδέ τί μ' αἰδόμενος μειλίσσεο, μηδ' ἐλεαίρων,
Ἀλλ' εὖ μοι καθάλεξον, ὅπως ἤντησας ὀπωπῆς.
Λίσσομαι, εἴ ποτέ τοί τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσεὺς
Ἢ ἔπει ἠέ τι ἔργον ὑπόσχας ἐξετέλεσσε
Δήμῳ ἐνὶ Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί,
Τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπες.
Τόνδε μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος,
Ὦ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
Ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες.
Ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
Νεβροὺς κοιμήσασα νεογενέας γαλαθηνούς,
Κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
Βοσκομένη, ὁ δ' ἔπειτα εἰλὼ εἰσήλυθεν οὐδεΐ,
Ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν·
Ὡς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
Αἴ γάρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Τοῖος ἐὼν, οἷός ποθ', ἐϋκτιμένῃ ἐνὶ Λέσβῳ,
Ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλασσεν ἀναστὰς,

" Oves teneras mactant, & flexipedes sinuosos boves,
" Matris meæ proci, mirâ insolentiâ prædicti.
" Propterea nunc ad tua genua venio, siquidem velis
" Illius sævam mortem dicere, sicubi vidisti
" Oculis tuis, aut alterius sermonibus audivisti
" Errantis: supra modum enim ipsum ærumnosum peperit mater.
" Neque quicquam me veritus blandiaris, neque misertus,
" Sed planè mihi enarra, quomodo tibi contigit videre.
" Precor, si unquam tibi aliquod pater meus bonus Ulysses
" Aut dictum, aut etiam factum, sustinens effecit
" Populo in Trojanorum, ubi passi estis ærumnas Græci,
" Horum nunc mihi memor sis, & mihi verum enarres.
Hunc multùm suspirans alloquutus est flavus Menelaus,
" Dii Boni! Certè utique perquam fortis viri in cubili
" Voluerunt cubare, imbecilles ipsi cùm sint.
" Quemadmodum siquando in lustro cerva fortis leonis
" Hinnulos collocans nuper-genitos lactantes,
" Juga investigat, & valles herbosas
" Pascens, hic deinde suum ingressus cubile,
" Et utrisque illis indecentem mortem immittit:
" Ita Ulysses illis turpe fatum immittet.
" Utinam, Jupiterque pater, & Minerva, & Apollo,
" Talis sit, qualis olim, benè conditâ in Lesbo,
" Contentione cum Philomelide luctatus est insurgens:

Σ Χ Ο Λ Ι Α.

321. Ὑπέρβιον.] Μεγάλην.
322. Ἱκάνομαι.] Ἱκετεύω.
323. Ὄπωπας.] Ἑώρακας.
325. Ὀϊζυρόν.] Ταλαίπωρον.
326. Μειλίσσεο.] Προσηνῶς λάλει μοι.
329. Ὑποσχὰς.] Ὑποδεξάμενος.
331. Ἔνισπες.] Εἰπέ.
334. Ἀνάλκιδες.] Ἀσθενεῖς.
335. Ξυλόχῳ.] Σκιώδει τόπῳ, καθ' ὃν θῆρες.
336. Νεβροὺς.] Τὰ ἔτι ἁπαλὰ καὶ νεηλυσίας.] Νεογενεῖς γαλαθηνοὺς, ἁπαλοὺς, νεοσσούς.
337. Κνημοὺς.] Τὰς ὑποβάσεις τῶν ὀρέων. Ἐρέῃσι.] Ἐξερευνᾷ. Ἄγκεα.] Τὰς κοίλας πόας τῶν ὀρέων. Ποιήεντα.] Βοτανώδη.
338. Ἑὴν.] Τὴν ἑαυτῆς. Εἰσήλυθεν.] Εἰσῆλθε.
340. Ἐφήσει.] Ἐπιβαλεῖ.
343. Φιλομηλείδῃ.] Τῷ Πανδίονος. Φιλομήλας γὰρ ἦν υἱός.

N O T Æ.

336. Νεβροὺς — νεηλυσίας, γαλαθηνοὺς) *Anacreon.* v. 1129. Νεοθηλέα γαλαθηνὸν νεβρόν.

NOTÆ IN SCHOLIA.

343. Ἐξ ἔριδος Φιλομηλείδῃ) Hoc *Scholion* examinatur ad γ'. v. 134. Not. in *Schol.* Vid. quæ Nos ad *Iliad.* α'. v. 307.

VARIÆ LECTIONES.

329. Ἠέ π) γρ. ἢ ἔπι, *H. Steph.*
336. Γαλαθηνοὺς) γρ. γαλαθηνὸς, *Hesych.* γαλαπίνας, *Cal. Rhodig.* fol. 150. Error in utroque.

Κὰδ'

Κὰδ' δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί.
Τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεὺς,
Πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
Ταῦτα δ', ἃ μ' εἰρωτᾷς τε λίστεαι, οὐκ ἂν ἔγωγε
Ἄλλα παρεξ εἴποιμι τωδ' ἀκλιδὸν, ὐδ' ἀπατήσω·
Ἀλλὰ τὰ μὲν μοι ἔειπε γέρων ἁλιος νημερτὴς,
Τῶν ὑδέν τοι ἐγὼ κρύψω ἔπος, ὐδ' ἀποκεύσω.
Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
Ἔσχον, ἐπεὶ ἕ σφιν ἔρεξα τελήεσσας ἑκατόμβας·
Οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων·
Νῆσος ἔπειτά τις ἐστὶ πολυκλύστῳ ἐνὶ πόντῳ,
Αἰγύπτιοι τοπάροιθε, Φάρον δέ ἑ κικλήσκουσι,
Τόσσον ἄ θυ', ὅσσον τε παννυχίη γλαφυρὴ νηῦς
Ἤυσεν, ἢ λιγὺς οὖρος ὀπιπνείησιν ὄπισθεν.
Ἐν δ' λιμένι εὐόρμῳ, ὅθεν τ' ἀπὸ νῆας ἔἰσας
Ἐς πόντον βάλλουσιν, ἀφυσάμενοι μέλαν ὕδωρ.
Ἔνθα μ' ἐείκοσιν ἤματ' ἔσχον θεοὶ, ὐδέ πω οὖροι
Πνείοντες φαίνονθ' ἁλιαέες, οἵ ῥά τε νηῶν
Πομπῆες γίνονται ἐπ' εὐρέα νῶτα θαλάσσης.
Καί νύ κεν ἤια πάντα κατέφθιτο, καὶ μόρε' ἀνδρῶν,
Εἰ μή τίς με θεῶν ὀλοφύσατο, καί μ' ἐσάωσε,

" Proſtravit verò fortiter, gavisi ſunt autem omnes Græci:
" Talis exiſtens cum procis verſaretur Ulyſſes,
" Omnes ſanè brevis-vitæ fierent amarique-matrimonii.
" Iſta verò, quæ me interrogas & precaris, non utique ego
" Alia præter *verum* dixero declinando, neque decipiam:
" Sed ea quidem, quæ mihi dixit ſenex marinus verus,
" Ex his neutiquam tibi ego celabo dictum, neque occultabo.
" In Ægypto me adhuc dii cupidum redire
" Detinuerunt, quoniam non ipſis exhibueram legitimas Hecatombas:
" Dii enim ſemper volunt nos memores eſſe præceptorum.
" Inſula deinde quædam eſt valdè undoſo in ponto,
" Ægyptum ante, Pharum verò ipſam vocant,
" Tantùm ſemota, quantùm toto die cava navis
" Contecerit, cui ſtridulus ventus aſpiret à puppi:
" In eâ autem portus portuoſus, unde naves æquales
" In pontum deducunt, poſtquam hauſerunt nigram aquam:
" Illic me viginti diebus detinuerunt dii, neque unquam venti-ſecundi
" Spirantes apparuerunt marini, qui ſanè navium
" Ductores ſunt ſupra lata dorſa maris.
" Et fortaſſis viatica omnia conſumpta eſſent, & animi virorum,
" Niſi me aliquis dearum reſpexiſſet, & me ſervâſſet,

ΣΧΟΛΙΑ.

344. Κὰδ' δ' ἔβαλε.] Κατέβαλε ἡ, ἐφῆκεν, ἔπεμψεν. Κεχάροντο.] Ἐχάρησαν.

345. Ὁμιλήσειεν.] Συμβάλοι, μαχέσαιτο.

347. Λίστεαι.] Ἱκετεύει, παρακαλέσεις.

348. Παρεξ.] Ἔξω παρὰ τοῦτο. Παρακλιδὸν.] Παρακλιθείσης, παρεξελαθείσης τ' λέξεως.

349. Γέρων ἅλιος.] Θαλάσσιος γέρων, ὁ Πρωτεύς. Νημερτὴς.] Ἀληθὴς, ἀψώδης.

355. Φάρον.] Νῆσον Αἰγύπτου, τὴν νῦν Ἀλεξάνδρειαν.

356. Τόσσον ἄνυθεν.] Εἰκὸς, τοσοῦτον εἶναι καθ' ὑπερβολήν.

357. Ἤυσεν.] Διεπέρασεν. Ἐπιπνείσιν.] Ἐπιπνεύσῃ.

358. Εὐόρμῳ.] Εὐκαθόρμιστος.

359. Ἀφυσάμενοι.] Ἀντλήσαντες.

361. Ἁλιαέες.] Οἱ ἐν τῇ θαλάσσῃ πνέοντες.

363. Ἤια.] Ἐφοδία. Κατέφθιτο.] Κατηνάλωτο, ἀπέλιπεν.

364. Ὀλοφύσατο.] Ὠκλήρησεν.

NOTÆ.

348. Φιλομηλείδῃ) Quòd *Patronymica* formentur etiam ex Matribus, oſtendo, in Notis ad *Schol.* ε'. v. 134.

352. Ἔχον, ἐπεὶ ἕ σφιν) Hic *Ultima*, Ἕ ἐπὶ, unà cum σφ ὐ, coaleſcit, ut ad v. 165. & infrà, ad v. 682. notamus. Vid. ad *Iliad.* γ'. v. 777.

355. Αἰγύπτιος) Vid. infrà, ad v. 477.

NOTÆ IN SCHOLIA.

348. Παρακλιδὸν) In fine, addo τ' λέξεως, ad Senſum dilucidandum.

356. Τόσσον ἄνυθεν) Pro εἰκὸς, lego εἰκὼς, pro κὰθ' ὑπερβολήν, junctim lego, καθυπερβολήν, & ἰδίως pro ἰδίλιν, *Aloyſii* MS. præeunte, Senſu ipſo confirmante.

VARIÆ LECTIONES.

353. Βούλοντο) γρ. βάλοντο. *H. Steph.*

364. Ἐσάωσε) γρ. ἐλίπεν, *H. Steph.*

Bayerische Staatsbibliothek München

Πρωτέος ἰφθίμη θυγάτηρ, ἁλίοιο γέροντος,
Εἰδοθέη· τῇ γάρ ῥα μάλιστά γε θυμὸν ὄρινα,
Ἥ μ' οἰῷ ἐρέοντι συνίστατο, νόσφιν ἑταίρων.
Αἰεὶ γὰρ τοὶ νῆσον ἀλώμενοι ἰχθυάασκον
Γναμπτοῖς ἀγκίστροισιν· ἔτειρε δὲ γαστέρα λιμός.
Ἦλθε δ' ἐμοὶ ἄγχι στᾶσα· ἔπος δ' ἐπὶ τοῖσδε προσηύδα·
Νήπιος εἶς, ὦ ξεῖνε, λίην τόσον, ἠὲ χαλίφρων,
Ἠὲ ἑκὼν μεθίης, καὶ τέρπεαι ἄλγεα πάσχων,
Ὡς δὴ δηθὰ σοὶ νῆσο ἐρύκεα, οὐδέ τι τέκμωρ
Εὑρέμεναι δύνασαι, μινύθῃ δέ τοι ἦτορ ἑταίρων.
Ὣς ἔφαθ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον,
Ἔκ μοί τοι ἐρέω, ἥτις σύ γε δῖα θεάων,
Ὡς ἐγὼ οὔτι ἑκὼν κατερύκομαι, ἀλλά νυ μέλλω
Ἀθανάτους ἀλιτέσθαι, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν·
Ἀλλὰ σύ περ μοι εἰπέ, θεοὶ δέ τε πάντα ἴσασιν,
Ὅστις μ' ἀθανάτων πεδάα καὶ ἔδησε κελεύθου,
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείλιχον δία θεάων,
Τοιγάρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως καταλέξω,
Πωλεῖται πις δεῦρο γέρων ἁλιοτρεφὴς ἀμέρτης,
Ἀθάνατος Πρωτεὺς Αἰγύπτιος, ὅστε θαλάσσης

" Protei glorioſi filia, marini ſenis,
" Idothea: huic ſanè potiſſimùm animum commovi,
" Quæ mihi ſoli deſperabundo obvia fuit, ſeorſum à ſociis.
" Semper enim circa inſulam errantes piſcabantur
" Curvis hamis: domabat etenim ventrem fames.
" Hæc me propè aſſans, verbum dixit, & proloquuta eſt,
" Stultus es, ô hoſpes, maximoperè, aut remiſſo animo,
" Aut ſponte ceſſas, & delectaris dolores ferens,
" Adeò utique diù in inſulâ detineris, ne pue ullum finem
" Invenire poteris; minuitur autem tibi cor ſoc orum.
" Sic ait: cæterum ego ipſam mutuis excipiens alloquutus ſum,
" Sanè tibi dicam, quæcunque tandem ſis dearum,
" Quòd ego neutiquam voluntarius detineor ſed videor
" Immortales offendiſſe, qui cœlum latum habitant:
" Sed tu mihi dic, dii enim omnia ſcunt,
" Quiſnam me immortalium impedit & moratur iter,
" Redituinque, ut in pontum deven am piſcoſum.
" Sic dicebam: illa verò ſtatim reſpondebat diva dearum,
" Enimverò ego tibi, ô hoſpes, valdè vera enarrabo;
" Verſatur quiſpiam hic ſenex marinus veridicus,
" Immortalis Proteus Ægyptius, quique maris

Σ Χ Ο Λ Ι Α.

365. Πρωτέως θυγάτηρ.] Εἰδοθέα.
366. Ὄρινα.] Ἐπέπληξα.
367. Ἐρέοντι.] Μετὰ λύπης περιόντι καὶ φθειρομένῳ.
368. Ἀλώμενοι.] Πλανώμενοι. Ἰχθυάασκον] Ἰχθῦς ἔθρεπτον.
369. Γναμπτοῖς.] Ἐπικαμπέσιν. Ἔτειρε.] Κατεπίνε.
371. Χαλίφρων.] Κεχαλασμένας ἔχων τὰς φρένας, ἢ ἠλίθιε.
372. Μεθίης.] Ἀμελεῖς.
373. Ἐρύκεαι] Κατέχῃ, κωλύῃ.
374. Μινύθῃ] Ἐλαττοῦται, μειοῦται.
377. Κατερύκομαι.] Κατέχομαι. Μέλλω.] Ἔχω.
378. Ἀλιτέσθαι.] Ἁμαρτῆσαι.
380. Πεδάα] Ἐμποδίζει, κατέχει.
384. Πωλεῖται.] Ἀναστρέφεται, περιέρχεται.

N O T Æ.

365. Πρωτέος—θυγάτηρ—Εἰδοθέη) Εἰδοθέα, ἀφ' ἑνὸς θεῶν εἴδησιν· *Euripides*, Θεονόην vocat, nomine ejuſdem ſignificationis, ut *Simmias Rhodius* Μαχεσπόλεμον dixit, pro Τηλέμαχον, & eidem *Penelope* dicitur, Οὐδυσῆος εὐκάτειρα, quòd *Ulyſſes* ejus Maritus ἐὺς, ſe vocatum voluit, in *Cyclopis* antro. Hanc etiam Εὐρυνόμην vocat *Zenodotus*, apud *Euſtath.* fol. 1500. lin. 40. *Conon* hanc narrat, Amore captam *Canobi*, *Menelai* nauclerî, *Narrat.* 8.

379. Θεοὶ δέ τε πάντα ἴσασιν) Prior ſ. ἴσασιν *Communis*; hîc *Brevis*, & *Iliad.* ζ' v. 151. at producitur, *Iliad.* ι'. v. 36.

380. Ἀλλὰ σύ περ μοι εἰπὲ) Τὸ ἑξῆς, Εἰπέ μοι, ὅστις θεῶν με πεδᾷ, & ἔδησέ με κελεύθου, & νόστον αἰπύ. Ità mox, v. 423. Εἰρέσθαι, ὅστις σὲ θεῶν χαλέπτει, & νόστον, εἴρεσθαι δηλονότι.

Variæ Lectiones.

366. Εἰδοθέη) γρ. Εὐρυνόμη, *Zenodot.* vid. Not. in *Textum*, ad v. 365.

369. Ἔτειρε) γρ. ἔθειρε, *H. Steph.* errore prelis quem tamen ſecuti, *Caſtellio*, *Spondan.* *Schrevel.* in *Textu* & *Scholiis*, &c.

Πάσης

Πάσης βένθεα οἶδε, Ποσειδάωνος ὑποδμώς·
Τόνδε τ' ἐμόν φασιν πατέρ' ἔμμεναι, ἠδὲ τεκέσθαι.
Τόνγ' εἴπως σὺ δύναιο λοχησάμενος λελαβέσθαι,
Ὅς κέν τοι εἴπῃσιν ὁδὸν ἠμὲν ἰέμεναι
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα·
Καὶ δέ κέ τοι εἴπῃσι, διοτρεφές, αἴκ' ἐθέλῃσιν,
Ὅ, τι τοι ὀ μεγάροισι κακὸν τ' ἀγαθόν τε τέτυκται,
Οἰχομένοιο σέθεν δολιχὴν ὁδὸν ἀργαλέην τε.
Ὣς ἔφαθ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον,
Αὐτὴ νῦν φράζευ σὺ λόχον θείοιο γέροντος,
Μήπως μὲ προϊδών, ἠὲ προφανείς, ἀλέηται·
Ἀργαλέος γάρ τ' ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι.
Ὣς ἐφάμην, ἠδ' αὐτίκ' ἀμείβετο δῖα θεάων,
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως καταλέξω·
Ἡμόσσ' ἠελίου μέσον ὄχεον ἀμφιβεβήκῃ,
Τῆμος ἄρ' ἐξ ἁλὸς εἶσι γέρων ἅλιος νημερτής,
Πνοιῇ ὕπο Ζεφύροιο, μελαίνῃ φρικὶ καλυφθείς,
Ἐκ δ' ἐλθὼν κοιμᾶται ὑπὸ σπέσσι γλαφυροῖσιν.
Ἀμφὶ δέ μιν φῶκαι, νέποδες καλῆς Ἁλοσύδνης,
Ἀθρόαι εὕδουσιν, πολιῆς ἁλὸς ἐξαναδύσαι,

" Totius profunditates novit, Neptuni minister;
" Hunc meum inquiunt patrem esse, atque genuisse:
" Quem si quo pacto tu poteris ex insidiis prendere,
" Ille tibi dicat viam & mensuras iteneris,
" Reditumque, ut per mare proficiscaris piscosum:
" Atque præterea tibi dixerit, ô nobilis, si modo velit,
" Quodcunque tibi in domibus malúmque bonúmque acciderit,
" Absente te per longam viam difficilemque.
" Sic ait: cæterùm ego ipsam vicissim alloquutus sum,
" Ipsa nunc explica insidias divini senis,
" Nè quo pacto me prævidens, aut præsciens, effugiat;
" Difficilis enim est deus mortali homini domari.
" Sic dicebam, ipsa continuò respondit diva dearum,
" Enimvero ego tibi, hospes, valdè verè dicam:
" Quando sol medium cœlum ascenderit,
" Tum certè è mari emergit senex marinus veridicus,
" Flatu sub Zephyri, nigrâ procellâ obtectus,
" Egressus verò dormit sub specubus cavis.
" Circa ipsum vero Phocæ, progenies pulchræ Halosydnæ,
" Frequentes dormiunt, è cano mari egressæ.

ΣΧΟΛΙΑ.

386. Ὑποδμώς.] Θεράπων, ὑπηρέτης.
388. Δύναιο.] Δυναθείης. Λοχησάμενος.] Ἐνεδρεύσας. Λελαβέσθαι.] Ἐπιλαβέσθαι, κρατῆσαι.
393. Δολιχὴν.] Μακράν.
395. Φράζευ.] Διανοῦ, βουλεύου.
396. Προϊδών.] Προγνούς. Ἀλέηται.] Ἐκκλίνῃ, φυλάξηται.
397. Δαμῆναι.] Δαμασθῆναι.
400. Ἀμφιβεβήκῃ.] Περιχθ.
401. Ἐξ ἁλός.] Ἤτοι ἔξω τῆς θαλάσσης.
402. Φρικὶ.] Τῇ ὑπηχουμένῃ μελανίᾳ τοῦ τοῦ ὑπερκειμένου κινήσεως τῶν ὑδάτων.
404. Ἀμφὶ δέ μιν φῶκαι.] Περὶ αὐτὸν ἡ φώκαι συνδιαπαῖται ὁ Πρωτεύς· ἐπιτηδειότατον γὰρ τὸ εὐαλίων ζώων τῶν εἰς κῆτος. Νέποδες.] Αἱ ἀπὸ τῆς νήχεσθαι τοῦ πορείαν ποιήσεως, ἢ ἄπεδες. Ἁλοσύδνης.] Τῆς θαλάσσης. παρὰ τὸ σὺν ἁλὶ σεύεσθαι.
405. Ἀθρόαι.] Ὁμοῦ πᾶσαι.

NOTÆ.

404. Ἀμφὶ δέ μιν φῶκαι, νέποδες καλῆς Ἁλοσύδνης) Νέποδες, τέκνα, ἀπίγονοι. Hinc *Callimach.* de *Simonide, Hyrrhici* filio. Οὐ γὰρ ἐρχαίῳ πεφυὼς τῷ μοῦσαν, ὡς ὁ Κεῖος Ὑρρίχιος νέπως. *Philoxenus* ἰχθύας καλεῖ τέκνα θαλάσσης, ut *Athenæ.* l. 1. fol. 5. *Theocrit.* Idyll. 17. v. 25. Ἀλλ' ἀπάνευθε ἢ καλεῦσ', ἠοὶ νέποδες γενάοντες. Vid. *Isaac. Casaubon.* Lect. *Theocrit.* c. XVIII. & *Meric. Casaubon.* De nuperâ *Homeri* Editione, Dissert. 1. p. 33. Quin *Eustath.* fol. 1502. lin. 36. Νέποδες ἢ θαλάσσης, αἱ φῶκαι, ὅ ἐστι τέκνα. Νέπως γὰρ, καθά τινα γλῶσσαν, ὁ ἀπίγονος. *Apollon.* l. 4. v. 1755. Τοῖς νεπόδεσσιν ἑτοίμη. Vid. *Martinii* Lexicon Philolog. v. *Nepos.*

405. Ἀθρόαι εὕδουσιν) *Martial.* Dormitis nimium, Glires, Vitulique marini. *Plin.* l. 9. c. 13. Nullum animal graviore somno premitur. Vid. *Ælian.* Animal. l. IX. c. L. & *Pierii* Hieroglyph.

VARIÆ LECTIONES.

389. Ὅς κεν) γρ. ὥς κεν, αὐτὶ δ', ἄχελ, *Hesych.* Vid. ad *Iliad.* β'. v. 325. Not. in *Textum.*
391. Ἐθέλῃσιν) γρ. ἐθέλησθα, vid. *Eustath.*
399. Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως καταλέξω) γρ. Τοιγὰρ ἀγὼ ἐρέω· σὺ δ' αὖ φρεσὶ βάλλεο σῇσιν, *H. Steph.* ex Romanâ *Eustathii* Editione. Nostrum tamen, præter Vulgares, & ipsum *Steph.* defendit Lectionem, præfertque *Florentina*, & *Lovaniana.*

Πικρὸν ἀποπνείουσαν ἁλὸς πολυβενθέος ὀδμήν.
Ἔνθα σ' ἐγὼν ἀγαγοῦσα, ἅμ' ἠῖ φαινομένῃφιν,
Εὐνάσω ἐξείης· σὺ δ' εὖ κείνασθαι ἑταίρους
Τρεῖς, οἵ τοι νηυσὶν ἐυσταλμισιν ἄριστοι·
Πάντα δέ τοι ἐρέω ὀλοφώϊα τοῖν γέροντος.
Φώκας μὲν τοι πρῶτον ἀριθμήσῃ, καὶ ἔπεισιν·
Αὐτὰρ ἐπὴν πάσας πεμπάσσῃ, καὶ ἴδῃσι,
Λέξεται ἐν μέσσῃσι, νομεὺς ὡς πώεσι μήλων·
Τὸν μὲν ἐπὴν δὴ πρῶτα καλευνηθέντα ἴδησθε,
Καὶ τότ' ἔπειτ' ὔμμιν μελέτω χάρτος τε βίη τε,
Αὖθι δ' ἔχειν μεμαῶτα καὶ ἐστύμενόν περ ἀλύξαι.
Πάντα δὴ γενόμενον πειρήσει, ὅσσ' ἐπὶ γαῖαν
Ἕρπετα γίνονται, καὶ ὕδωρ, καὶ θεσπιδαὲς πῦρ·
Ὑμεῖς δ' ἀτρεμέως ἐχέμεν, μᾶλλόν τε πιέζειν.
Ἀλλ' ὅτε κεν δή σ' αὐτὸς ἀνείρηται ἐπέεσσιν,
Τοῖος ἐὼν, οἷόν κε καλευνηθέντα ἴδησθε,
Καὶ τότε δὴ σχέσθαι τε βίης, λῦσαί τε γέροντα,
Ἥρως· εἴρεσθαι δ', θεῶν ὅτις σε χαλέπτει,
Νόστον δ'· ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.
Ὡς εἰπῦσ', ὑπὸ πόντον ἐδύσαλο κυμαίνοντα·
Αὐτὰρ ἐγὼν ἐπὶ νῆας, ὅθ' ἕρσαν ὀφ φαμάθοισιν,
Ἴμεν· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.

" Acerbum ſpirantes maris profundi odorem.
" Illuc te ego ducens, ſimul aurorâ illucescente,
" Collocabo ex ordine: tu verò probè elige ſocios
" Tres, qui tibi apud naves tranſtratas optimi ſunt:
" Omnes autem tibi enarrabo aſtutias ipſius ſenis.
" Phocas quidem primùm numerabit, & inſpiciet;
" Cæterùm poſtquam omnes per quinterniones numerârit atq; inſpexerit,
" Cubabit in medio, paſtor veluti in grege ovium:
" Atqui ubi primùm ſopitum videritis,
" Tum deinde vobis curæ ſit robúrque viſque,
" Illic utique tenere cupientem & geſtientem licet elabi.
" Omnia verò factus molietur, quæcunque in terrâ
" Anima ineſſunt, & aqua, & divinitùs ardens gnis:
" Vos tamen firmiter tenete, magiſque premite.
" Sed quando utique te ipſe interrogaverit verbis,
" Talis apparens, qualem conſopitum videritis,
" Et tum certè deſiſte à vi, ſolvéque ſenem,
" Heros: interroga verò deorum quiſnam te affligat,
" Reditumque; ut per pontum proficiſcaris piſcoſum.
" Sic loquutus, in pontum ſubiit fluctiſonum:
" Cæterùm ego ad naves, ubi ſtabant in arenâ,
" Ibam multùm verò mihi cor cogitabat euntí.

Σ Χ Ο Λ Ι Α.

406. Ἀποπνείουσαν.] Ὀζουσαν. Πολυβενθέος.] Πολὺ βάθος ἰχούσης.

408. Εὐνάσω.] Καθηκλινῶ, κοιμίσω. Κεῖνασθαι.] Ἐπιλέξασθαι.

410. Ὀλοφώϊα.] Ὀλίθεια, ἢ λάκκρυφα, ἢ δέλια.

411. Ἔπεισιν.] Ἐπιλύσει.

412. Πεμπάσσῃ.] Κατὰ πέντε ἀριθμήσῃ.

413. Λέξεται.] Καθηκλιθήσεται. Νομεὺς ὡς.] Ὡς ποιμὴν. Πώεσι.] Ποιμνίοις.

414. Καταδυνηθέντα.] Κοιμηθέντα.

416. Ἀλύξαι.] Ἐκφυγεῖν.

417. Πειρήσει.] Πειραθείη.

418. Ἕρπετα.] Κυρίως μὲν, οἱ ὄφεις· καθαχρηστικῶς δὲ πᾶν, πάντα τὰ ζῳα.

419. Ἀσπαμφίνας.] Ἀσφαλῶς, βεβαίως, ἀμεταπτώτους. Μᾶλλον πιέζειν.] Βιαιότερον χρατεῖν.

420. Ἀνείρηται.] Ἔρωτήσῃ.

422. Σχέσθαι.] Παῦσαι.

423. Εἴρεσθαι.] Ἔρωτᾶν. Χαλέπτει.] Βλάπτει.

424. Ἐλεύσεαι.] Ἔλθῃς, πορεύσεις.

425. Ἐδύσαλο.] Κατέδυσε.

427. Ἴμεν.] Ἐπορευόμην, ἢ ἐπορεύομαι.

427. Πόρφυρε.] Ἐν βάθει τὰ λογισμοὺς διενοεῖτο καὶ ἐπινοεῖτο, καὶ ἐπορέγετο· ὥστε συμβαίνει ἐπὶ τῶν ἀδυνάτων· ὁ δὲ τοῖσιν ἐν οἰκοδόμοις πρέπει.

Ν Ο Τ Æ.

408. Ἐὺ κρίναι) Cùm *olim* εὖ malè adeſſet, ſcribendum vidi, ἐὺ, cum notâ Ἁλαλύσεως, *Verſus* cauſâ; nam σὺ, *brevis* Natura. Sic *Iliad.* γ'. v. 235. Ὅυς κεν ἐὺ γνοίω. Ità *Odyſſ.* η'. Argument. Ἥτε δ' ἐὺ φρονέουσι. Sic *Heſiod.* Theogon. v. 885. Ἀλκαιμέ-

Vᴀʀɪæ Lᴇᴄᴛɪᴏɴᴇs.

408. Ἐὺ) γρ. εὖ, vid. Not. in *Textum.*

414. Ἴδησθε) χρ. ἴδηθε, *H. Steph.* & illius ſequaces, haud bene.

421. Ἴδησθε) γρ. ἴδηθε, vid. ad v. 414.

Αὐτὰρ

Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Δόρπον θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νὺξ,
Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Καὶ τότε δὴ ῥ' ἴμεν θῖνα θαλάσσης εὐρυπόροιο
Ἴμεν, πολλὰ θεοὺς γουνούμενος· αὐτὰρ ἑταίρους
Τρεῖς ἄγον, οἷσι μάλιστα πεποίθεα πᾶσαν ἐπ' ἰθύν.
Τόφρα δ' ἄρ' ἦγ' ὑποδῦσα θαλάσσης εὐρέα κόλπον,
Τέσσαρα φωκάων ἐκ πόντου δέρματ' ἔνεικε·
Πάντα δ' ἔσαν νεόδαρτα· δόλον δ' ἐπεμήδετο πατρί·
Εὐνὰς δ' ἐν ψαμάθοισι διαγλάψασ' ἁλίησιν,
Ἧστο μένουσ', ἡμῖν δὲ μάλα σχεδὸν ἦλθομεν αὐτῆς·
Ἐξείης δ' εὖννυσε, βάλεν δ' ἐπὶ δέρμα ἑκάστῳ.
Κεῖθι δὴ αἰνοτάτῳ λόχος ἔπλετο· τῖσε γὰρ αἰνῶς
Φωκάων ἁλιοτρεφέων ὀλοώτατον ὀδμή·
Τίς γὰρ ἂν εἰναλίῳ θῶκ' κήτεϊ κοιμηθείη;
Ἀλλ' αὐτὴ ἐσάωσε, καὶ ἐφράσατο μέγ' ὄνειαρ·
Ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστῳ θῆκε φέρουσα,
Ἡδὺ μάλα πνείουσαν· ὄλεσσε δὲ κήτεος ὀδμήν.
Πᾶσαν δ' ἠείλιον μένομεν τετληότι θυμῷ.
Φῶκαι δ' ἐξ ἁλὸς ἦλθον ἀολλέες· αἱ μὲν ἔπειτα

"Cæterùm poſtquam ad navem veni atque mare,
"Cœnam apparavimus, deinde acceſſit divina nox,
"Tum obdormivimus in littore maris.
"Quando vero mane genita apparuit roſeis digitis aurora,
"Tunc ad littus maris lata-vada-habentis
"Ibam, plurimùm diis ſupplicans: porrò ſocios
"Tres ducebam, quibus potiſſimum confidebam ad omne mol meri.
"Interea verò hæc ingreſſa maris latum ſinum,
"Quatuor Phocarum ex ponto pelles attulit:
"Omnes verò erant recens-excoriatæ: dolum autem ſtruebat patri:
"Cubilibus enim in arenâ exſculptis marinâ,
"Sedebat expectans, noſque valdè prope ven mus eam.
"Ex ordine itaque collocavit, injecitque corium unicuique.
"Illic ſanè moleſtiſſimæ inſidiæ erant: affligebat enim graviter
"Phocarum in mari-nutritarum peſſimus odor:
"Quis etenim marinum propè cetum poſſet cubare?
"Sed pſa ſervavit & excogitavit magnum remedium:
"Ambroſiam ad nares unicuique poſuit afferens,
"Dulce admodùm ſpirantem: repreſſitque ceti odorem.
"Totum matutinum tempus expectavimus patienti animo.
"Phocæ autem è mari venerunt frequentes: illæ quidem deinde

ΣΧΟΛΙΑ.

των, τὸ δὲ βάθος κινήματα μελαίνεσθαι. Κιόντι.] Ἀπιόντι.

429. Ὁπλισάμεσθα.] Παρεσκευάσαμεν. Ἀμβροσίη.] Ἀφθαρτος, θεία.

434. Πεποίθεα.] Ἐπεποίθειν, ἐθαῤῥουν. Πᾶσαν ἐπ' ἰθύν.] Ἐπὶ πᾶσαν ὁρμὴν ἐπιχείρησιν.

435. Ὑποδῦσα.] Καταδῦσα. Εὐρέα.] Πλατὺν, ἢ μέγαν.

437. Νεόδαρτα.] Νεωστὶ ἀποδαρθέντα.

438. Διαγλάψασα.] Διασκιάλεσασα.

440. Εὔννυσεν.] Κατέκλινεν, ἐκοίμησεν.

441. Αἰνοτάτῳ.] Δεινοτάτιος, χαλεπωτάτος. Τῖσε.] Κατεπόνει.

442. Ἁλιοτρεφέων.] Τῶν ἐν τῇ θαλάσσῃ τρεφομένων. Ὀλοώτατον.] Ὀλεθριώτατον.

443. Εἰναλίῳ.] Θαλασσίῳ.

444. Ὄνειαρ.] Ὠφέλημα.

445. Ἀμβροσίην.] Νῦν τὸ θεῖον καὶ ἀνώδυνος ἔλαιον.

446. Ἡδὺ.] Ἡδέως.

447. Ἠείλιον.] Τὸν ἀπὸ ἑῳθινῆς ὥρας ἕως ὥρας ἕκτης καιρόν. Τετληότι.] Καρτερικῷ, ὑπομονητικῷ.

NOTÆ.

435. Εὐρέα κόλπον) Notandum, quod Vulgari Grammatica deeſt, Nomina Adjectiva in ὺς, duplicem habere *Accuſativum*, in *Maſculo*, ut εὐρέα pro εὐρὺν, ut hìc, ἡδέα pro ἡδὺν, &c.

NOTÆ IN SCHOLIA.

435. Εὐρέα) Πλατὺν, ἢ μέγαν. Ità pro πλατεῖαν, ἢ μεγάλην, ut concordet cum τὸν κόλπον, in *Textu*.

VARIÆ LECTIONES.

438. Διαγλάψασ') χ. Διαγνάψασ', *H. Steph.*

441. Κεῖθι δὲ αἰνοτάτῳ) χ. ἔνθα νὺν αἰνοτάτῳ, *H. Steph.*

443. Τίς γὰρ ἂν εἰναλίῳ) γρ. τίς γάρ κ' εἰναλίῳ, *H. Steph.*

Ἐξῆς

Ἐξῆς ἠιάζοντο παρὰ ῥηγμῖνι θαλάσσης.
Ἔνθιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλός, εὗρε δ' ἔπειτα Φώκας
Ζατρεφέας· πάσας δ' ἄρ' ἐπώχετο, λέκτο δ' ἀριθμόν.
Ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν, οὐδέ τι θυμῷ
Ὠίετ' ἦ δόλον εἶναι· ἔπειτα δὲ λέκτο καὶ αὐτός.
Ἡμεῖς δ' αἶψ' ἰάχοντες ἐπεσσύμεθ'· ἀμφὶ δὲ χεῖρας
Βάλλομεν· οὐδ' ὁ γέρων δολίης ἐπελήθετο τέχνης,
Ἀλλ' ἤτοι πρώτιστα λέων γένετ' ἠϋγένειος,
Αὐτὰρ ἔπειτα δράκων, καὶ πάρδαλις, ἠδὲ μέγας σῦς·
Γίνετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδρεον ὑψιπέτηλον.
Ἡμεῖς δ' ἀτρεμέως ἔχομεν τετληότι θυμῷ·
Ἀλλ' ὅτε δὴ ῥ' ἀνίαζ' ὁ γέρων, ὀλοφώϊα εἰδώς,
Καὶ τότε δή μ' ἐπέεσσιν ἀνειρόμενος προσέειπεν,
Τίς νύ τοι, Ἀτρέος υἱὲ, θεῶν συμφράσσατο βουλὰς,
Ὄφρα μ' ἕλοις ἀέκοντα λοχησάμενος; τέο σὲ χρή;
Ὣς ἔφαθ'· αὐτὰρ ἐγὼ μιν ἀμειβόμενος προσέειπον,
Οἶσθα, γέρον· τί με ταῦτα παρὲξ ὀπίσω ἐρεείνεις;
Ὡς δὴ δηθὰ σὺν νήσῳ ἐρύκομαι, οὐδέ τι τέχνῃ
Εὑρέσθαι δύναμαι, μινύθει δέ μοι ἔνδοθεν ἦτορ.
Ἀλλὰ σύ πέρ μοι εἰπὲ, θεοὶ δέ τε πάντα ἴσασιν.
Ὅστις μ' ἀθανάτων πεδάα καὶ ἔδησε κελεύθου,
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.

" Ordine sopiebantur juxta littus maris.
" Meridianus autem senex venit è mari, inventque Phocas
" Obesas: omnes verò adibat, recensuitque numerum.
" Nos autem primos recensuit inter cetos, nec omninò in animo
" Suspicabatur dolum esse, deinde cubavit & ipse.
" Nos vero protinùs vociferantes irruimus: circumque manus
" Jecimus, neque ipse senex dolosæ oblivisceba tur artis,
" Sed certè primum leo factus est magnis-jubis,
" Porrò deinde draco, & panthera, atque ingens sus:
" Factus est etiam liquida aqua, & arbor altis-foliis:
" Nos vero firmiter tenebamus forti animo.
" Sed cùm iam angustabatur senex, versutias doctus,
" Tunc certè me verbis interrogans alloquutus est,
" Quisnam tibi, Atrei fili, deorum contulit consilia,
" Ut me cæteres invitum insidiatus? cujus rei opus habes?
" Sic ait; cæterum ego ipsum excipiens alloquutus sum,
" Scis, senex; quid me ista decipiens interrogas?
" Quòd iam diu in insulâ detineor, neque ullo pacto finem
" Invenire queo, minuitur autem mihi intùs cor.
" Sed tu utique mihi dic, dii etenim omnia sciunt.
" Quinam me immortalium impedit (& vertit à viâ)
" Redditum meum, ut per pontum vadam piscosum.

Σ Χ Ο Λ Ι Α.

449. Ἐξῆς.] Ἐφεξῆς, κατὰ τάξιν. Ἠιάζοντο.] Ἐχειμῶντο.

450. Ἔνδιος.] Μεσημβρινὸς· τότε γὰρ ἀρχὴ λαμπρὰν εὐδίαν ἡ ἅλη, ὅ ἐστι, ἡ ἀκτὶς ἁλίζει.

451. Ζατρεφέας.] Εὐτραφεῖς. Λέκτο.] Ἠριθμήσατο.

452. Λέγε.] Κατηρίθμει.

453. Ὠίετο.] Ὑπενόησεν. Λέκτο.] Νῦν ὑπανεθύδησεν.

454. Ἰάχοντες.] Βοῶντες. Ἐπεσσύμεθα.] Μετὰ ὁρμῆς ἐπήλθομεν.

456. Ἀλλ' ἤτοι πρώτιστα.] Οὐχ ὅλως μετέβαλεν, ἀλλὰ φαντασίαν ἐποίῃ τέχνῃ μαγικῇ· ἐλήφθη γὰρ οὐ λέων ἢ σωματούμενος, οὐδὲ σοφιζόμενος ἐπὶ τοῖς μηδὲν μαντείας. Ἠϋγένειος.] Καλὸν ἔχων γένειον.

459. Ἔχομεν.] Κατείχομεν.

460. Ἀνίαζεν.] Ἐστέναζεν.

461. Ἀνειρόμενος.] Ἐρωτῶν.

463. Τέο σὲ χρή;] Τίνος σοι χρεία ἐστίν;

465. Παρὲξ ὀπίσω.] Παυσιλογίζομενος.

466. Ἐρύκομαι.] Κατέχομαι.

469. Πεδάα.] Ἐμποδίζει, κατέχει.

470. Ἐλεύσομαι.] Ἔλθω, ἀφικέσθαι.

N O T Æ.

454. Ἡμεῖς δ' αὖ ἰάχοντες) Ità *Virgil.* Georg. l. 4. v. 439. Cum clamore ruit magno &c. totum denique hunc locum, à v. 411. ad v. 465. imitatur ibid. à v. 429. ad v. 447. &c.

470. Νόστον θ') De *Syntaxi*, vid. ad v. 380.

NOTÆ IN SCHOLIA.

456. Οὐχ ὅλως) Ità lego pro ὐ καλῶς, *Sensu* omninò postulante; quanquam in hâc parte nihil favent MSS. Alterutrum tamen eorum, MS. *GC.* σοφθακὼς, pro σοφισηκὼς, &c.

VARIÆ LECTIONES.

465. Ἐρεείνεις) γρ. ἀγορεύεις, *H. Steph.*

Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν,
Ἀλλὰ μάλ' ὤφελες Διί τ' ἄλλοισίν τε θεοῖσιν
Ῥέξας ἱερὰ καλὰ ἀναβαινέμεν, ὄφρα τάχιστα
Σὴν ἐς πατρίδ' ἵκοιο, πλέων ἐπὶ οἴνοπα πόντον.
Οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
Οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν,
Πρίν γ' ὅτ' ἂν Αἰγύπτοιο διιπετέος ποταμοῖο
Αὖτις ὕδωρ ἕλθῃς, ῥέξῃς θ' ἱερὰς ἑκατόμβας
Ἀθανάτοισι θεοῖσι, τοὶ εὐρὺν οὐρανὸν ἔχουσι·
Καὶ τότε τοι δώσουσιν ὁδὸν θεοί, ἣν σὺ μνώεαι.
Ὣς ἔφαθ'· αὐτὰρ ἐμοὶ γε κατεκλάσθη φίλον ἦτορ,
Οὕνεκά μ' αὖτις ἄνωγεν ἐπ' ἠεροειδέα πόντον
Αἰγυπτίην ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
Ἀλλὰ καὶ ὣς μιν ἔπειτα ἀμειβόμενος προσέειπον,
Ταῦτα μὲν δὴ ὕπο τελέω, γέρον, ὡς σὺ κελεύεις.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Εἰ πάντες σὺν νηυσὶν ἀπήμονες ἦλθον Ἀχαιοί,
Οὓς Νέστωρ καὶ ἐγὼ λίπομεν Τροίηθεν ἰόντες,
Ἦέ πῃς ὤλετ' ἀλεξρῳ ἀδμήτι ἧς ἐπὶ νηὸς,
Ἦὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσεν;
Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν,
Ἀτρεΐδη, πῖ με ταῦτα διείρεαι; οὐδὲ τί σε χρὴ
Ἰδμεναι, οὐδὲ δαῆναι ἐμὸν νόον· οὐδέ σε φημὶ

" Sic dicebam; ille verò rursus respondens alloquutus est,
" Atqui omninò debebas Jovi, aliisque diis
" Sacris litatis, conscendere, ut velocissimè
" Tuam in patriam venires, navigans per nigrum pontum.
" Non enim tibi antèa fatum est amicosque videre & venire
" Ad domum benè-constructam, & tuam ad patriam terram,
" Quàm Ægypti à-Jove-fluentis flovit
" Rursus ad aquas redieris, feceriſque sacras Hecatombas
" Immortalibus diis, qui cœlum latum tenent;
" Et tunc tibi dabunt viam dii, quamtu affectas.
" Sic ait; cæterùm mihi infractum est charum cor,
" Eò quod me rursus jubebat per obscurum pontum
" Ægyptum ire, longam viam difficilemque.
" Verùm etiam sic ipsum verbis excipiens alloquutus sum,
" Ista quidem sic perficiam, senex, uti tu præcipis;
" Sed age mihi hoc dic & verè recente;
" Num omnes cum navibus illæsi redierint Graci,
" Quos Nestor & ego reliquimus à Troiâ profecti,
" An quis iam periit morte inopinatâ suâ in nave,
" Aut amicorum in manibus, postquam bellum contexerunt?
" Sic dicebam; ille me rursus excipiens alloquutus est,
" Atride, quid me ista interrogas? neque tuam te convenit
" Scire, neque explora e meum animum; neque te puto

Σ Χ Ο Λ Ι Α.

472. Ὤφελες.] Ὤφελες.
473. Ἀναβαίνειν.] Ἀναβαίνειν, ἀπὸ τῶν πλοίων ἀλλοῦσθαι.
474. Ἵκοιο.] Παραγένοιο, ἔλθοις.
477. Αἰγύπτοιο.] Αἰγυπτίου· ὁ Νεῖλος σεβήρεος ἐκαλεῖτο Διιπετής.] Τῷ ὄντι Διὸς πλημμύρα.
481. Κατεκλάσθη.] Ἐλυπήθη λίαν.
483. Δολιχὴν.] Μακρὰν.
485. Τελέω.] Τελέσω, πλεύσω, πλεύσομαι.
489. Ἀδμήτι.] Ἀπροσδοκήτῳ, ἀκαιρίῳ.
490. Τολύπευσεν.] Ἐπιτελέσαντο, μὴ καταπαθόντες τι δεινὸν. πολυπόνου. ἐπιτέλεσις· πόνων. ἢ ἐργασία· πολυπόνου. ἐργασίαν καὶ πόνον φιλοτιμήσασθαι ἔφασαν.
492. Διείρεαι.] Ἐρωτᾷς.
493. Δαῆναι.] Μαθεῖν.

N O T Æ.

477. Αἰγύπτοιο διιπετέος ποταμοῖο) Ἡ Αἴγυπτος, γῆ· ὁ Αἰγύπτιος, ποταμός· ὃς καὶ ὕστερον Νεῖλος Vid. *Eustath.* & *Br. Schol.* in locum; cui Nomen *Sihor*, & *Plinio*, Siris; item *Melus*, & *Triton*. Vid. *Festum* in *Melo*, & *Scaliger.* in *Festum*; *Diodor. Sicul.* l. 17. *Heliodor. Æthiop.* l. 10. *Servium* in *Virgil. Plin.* l. 5. c. 9. &c.

485. Ταῦτα μὲν δὴ ὕπο τελέω) *Amphimacer* in *Primo loco*, ut σ'. v. 246. Πλεύσεις καὶ μνησῆες ἐὺ ἐμοὶ τάδε πάντα κελεύεις. Ità *Virgil.* Æn. l. 6. v. 791. *Hic Vir, hic est, tibi quem promitti sæpiùs audis.* Vid. ad β'. v. 346.

492. Ἀτρεΐδη, πῖ μοι ταῦτα διείρεαι) Hic damnatur importuna Curiositas de Futuro, vid. *A. Gell.* l. 14. c. 1. & quæ Nos ad *Euripid. Hec.* v. 345.

VARIÆ LECTIONES.

492. Ἀτρεΐδη, πῖ μοι ταῦτα διείρεαι;) κ. Ἀτρεΐδη, μὴ ταῦτα διείρεο. *H. Steph.* licet ille μὴ tantùm proferat; nec consequenter aliam vocem, ut debuit.

Διὰ

Δὶὼ ἄκλαυτον ἕσεσθε, ἐπὶὼ εὖ πάντα πύθηαι·
Πολλοὶ μὲὼ γὰρ τῶνδε δάμεν, πολλοὶ δ᾽ λίποντο.
Ἀρχοὶ δ᾽ αὖ δύο μοῦνοι Ἀχαιῶν χαλκοχιτώνων,
Ἐν νόστῳ ἀπόλοντο· μάχη δέ τ᾽ ἐὼ σὺ πεφῆσθα·
Εἷς δ᾽ ἔτι πὼ ζωὸς κατερύκεται εὐρέϊ πόντῳ
Αἴας μὲὼ μοῦνοι νηυσὶ δάμη δολιχηρέτμοισι·
Γυρῆσιν μὲὼ πρῶτα Ποσειδάων ἐπέλασσε
Πέτρῃσιν μεγάλῃσι, καὶ ἐξέσσωσε θαλάσσης·
Καί νύ κεν ἔκφυγε κῆρα, καὶ ἐχθόμενός περ Ἀθήνῃ,
Εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε, καὶ μέγ᾽ ἀάσθη·
Φῆ ῥ᾽ ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης·
Τῷ δὲ Ποσειδάων μεγάλ᾽ ἔκλυεν αὐδήσαντος·
Αὐτίκ᾽ ἔπειτα τρίαιναν ἐλὼν χερσὶ κιβαιήτην,
Ἤλασε Γυραίῃ πέτρῃ, πὸ δ᾽ ἔχισεν αὐτήν.
Καὶ τὸ μὲὼ αὐτόθι μεῖνε, τὸ δὲ τρύφος ἔμπεσε πόντῳ·
Τῷ ῥ᾽ Αἴας τὸ πρῶτον ἐφεζόμενος μέγ᾽ ἀάσθη,

" Diù absque lacrymis fore, postquam
" bené omnia audieris:
" Multi etenim illorum domiti sunt,
" multique relicti.
" Duces verò duo soli Græcorum lo-
" ricatorum,
" In reditu perièrunt; pugnæ etenim
" & tu interfuisti:
" Et unus adhuc alicubi vivus detine-
" tur lato in ponto.
" Ajax quidem inter naves domitus est
" longos remos habentes:
" Ad Gyras quidem primùm Neptu-
" nus advexit
" Petras ingentes, & servavit è ma-
" ri:
" Et sanè effugisset mortem, quantum-
" vis invisus Palladi,
" Nisi impium dictum protulisset, & &
" graviter offendisset:
" Dixit, invitis dis, se effugiturum
" ingentes fluctus maris.
" Hunc Neptunus magnifica audivit
" jactantem:
" Statim deinde, tridente arrepto, ma-
" nu forti,
" Percussit Gyream petram, abscinditque
" illam:
" Et unam quidem illic mansit, alte-
" rum fruſtum incidit mari:
" Hinc fanè Ajax primùm insidens,
" valdè læsus est,

ΣΧΟΛΙΑ.

496. Ἀρχοὶ δ᾽ αὖ δύο.] Τὸν Αἴαντα τὸν Λοκρὸν λέγει, καὶ τὸν Ἀγαμέμνονα· ἑκάτερος γὰρ αὐτῶν ἐδίπλωσε τὸν αὐτοῦ παρὰ τῶν οἰκείων.

497. Παρῆσθα.] Παρῆς.

499. Δολιχηρέτμοισι.] Μεγάλαις, ἐπιμήκεσι, μακροπτέροις.

500. Γυρῆσι.] Πέτραις πλησίον Μυκόνου τῆς νήσου, ἅτινας καλοῦμέν φασιν, ἐπεὶ εἰσὶ τραχύτεραι. Ἐπέλασσε.] Προσήλασεν.

502. Ἐχθόμενός περ.] Λυπούμενος.

503. Ὑπερφίαλον.] Ὑπερήφανον. Ἀάσθη.] Ἐβλάβη.

504. Αἰχμῇ.] Ἀβουλίᾳ. πικρῷ γνώμῃ. Λαῖτμα.] Βάθη. ἢ ἀλγηρά.

507. Ἔλασσεν.] Ἔπληξεν. Γυραίῃ πέτρῃ.] Τὰς Γυρὰς.

508. Αὐτόθι.] Ἐπὶ χώρας, ἐπὶ τόπου. Τρύφος.] Τὸ ἀπόκλασμα.

509. Ἐφεζόμενος.] Ἐπικαθήμενος.

NOTÆ.

495. Πολλοὶ γὰρ μὲ τῶνδε δάμεν) De Græcorum Reditu infelici, vid. ad α'. v. 327.

499. Αἴας μὲ μοῦνοι νηυσὶ δάμη) *Sil. Italicus*, Quibus Oïliades fulmen jacu ante Minervâ, Surgentes domuit fluctus ardentibus ulnis. *Plinius* notat *Ajacis* Picturam fulmine percussi, *Apollodori* opus *Athenienſis*, à se visam *Pergamo*. Solus ferè *Timæus Siculus*, Hiſtor. l. 2. *Ajacem* Iram *Neptuni* evaſiſſe ſcribit, Μισθὸν τῶν Τροίας ἅλωσιν, πολλοὶ τῶν Λοκρῶν ἐπὶ τὰς Γυρὰς ναυαγησάντων ἀνῃρέθησαν· οἱ δὲ λοιποὶ σὺν Αἴαντι μόλις εἰς Λοκρίδα διεσώθησαν. Φθορᾶς δὲ καὶ λοιμοῦ τῆς χώρας αὐτῶν, μέχρι τὸ τελεῖον ἔτος, ἐχόντων, Δίᾳ τῶν μίξιν αἰτιάσασθαι Αἴαντος τῆς Καασάνδρας, ἔχρησεν ὁ θεὸς, εἰς ἔτη χίλια τῷ Αθηνᾶ τῷ ἐν Ἰλίῳ ἱλάσκεσθαι, πέμποντας δύο παρθένους ἐπὶ κλῆρον. Vid. *Elia schedii*, de Diis *Germanis*, l. 2. c. 33. p. 398. *Ajacis* hujus hiſtoriam vid. in *Brevibus Scholiis*, ad *Iliad. v.* v. 66.

502. Καί νυ κεν ἔκφυγε κῆρα — εἰ μὴ ὑπερφίαλον) Oſtendit Poeta, *Peccatores ultrò ſibi ſuum exitium accelerare, Deo ferè invito; neque per ſuum pati ſcelus Iracunda Jovem ponere fulmina.*

503. Ἔπος ἔκβαλε) Ità Vett. omnes, ſola *Elzeviriana*, ἔβαλε, per errorem.

VARIÆ LECTIONES.

494. Δὶὼ ἄκλαυτον ἔσεσθε, ἐπὶὼ εὖ) γρ. δὶὼ ἄκλαυτοι ἔσεσθαι. ἐπεί κ᾽ εὖ, *H. Steph.*

495. Πολλοὶ μὲ γὰρ τῶνδε δάμεν) γρ. πολλοὶ μὲ γὰρ τῶνγε δάμεν, & πολλοὶ μὲ τάπερ ἔφασαν, *H. Steph.* *Ibid.* Πολλοὶ δ᾽ λίποντο) γρ. πολλοὶ δ᾽ ἐλίποντο.

498. Εὐρεῖ πόντῳ) γρ. εὐρεῖ κόσμῳ, *Tzetzes* Chiliad. VII. §. 110.

503. Ἔκβαλε) γρ. ἔβαλε, vid. Not. in *Textum*; & ἔκφαζε.

Τόνδ᾽

Τόνδ' ἐφόρει κῦμ' πόντον ἀπείρονα κυμαίνοντα.
Ὣς ὁ μὲν ἔνθ' ὄλεσθεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ·
Σὸς δέ πεν ἔκφυγε κῆρας ἀδελφεὸς, ἠδ' ὑπάλυξεν,
Ἐν νηυσὶ γλαφυρῇσι· σάωσε δὲ πότνια Ἥρη.
Ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε Μαλειάων ὄρος αἰπὺ
Ἵξεσθαι, τότε δή μιν ἀναρπάξασα θύελλα
Πόντον ἔπ' ἰχθυόεντα φέρεν, μεγάλα στενάχοντα,
Ἀγρῷ ἐπ' ἐσχατιῇ, ὅθι δώματα ναῖε Θυέστης
Τοπρίν, ἀταρ τότ' ἔναιε Θυεστιάδης Αἴγισθος.
Ἀλλ' ὅτε δὴ κἠκεῖθεν ἐφαίνετο νόστος ἀπήμων,
Ἄψ ἦ θεοὶ ὦρσαν τρέψαν, κὴ οἴκαδ' ἵκοντο,
Ἦ τοι ὁ μὲν χαίρων ἐπεβήσετο πατρίδος αἴης,
Καὶ κύνει ἀσπόμενος ἣν πατρίδα· πολλὰ δ' ἀπ' αὐτῦ
Δάκρυα θερμὰ χέοντ', ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
Τόνδ' ἄρ' ἀπὸ σκοπιῆς εἶδε σκοπὸς, ὅν ῥα καθεῖσεν
Αἴγισθος δολόμητις ἄγων· τῷ δ' ἔχετο μισθὸν,
Χρυσῦ δοιὰ τάλαντα· φύλασσε δ' ὅγ' εἰς ἐνιαυτὸν,
Μή ἑ λάθοι παριὼν, μνήσαιτο δ' ἀθεμβοσύνης.
Βῆ δ' ἴμεν ἀγγελέων τοῖς δώματα ποιμένι λαῶν·
Αὐτίκα δ' Αἴγισθος δολίῃ ἐφεύρατο τέχνῃ·
Κεινάμενος κὴ δῆμον ἐείκοσι φῶτας ἀρίστους
Εἵσε λόχονδ', ἑτέρωθι δ' ἀνώγει δαῖτα πένεσθαι.
Αὐταρ ὁ βῆ καλέων Ἀγαμέμνονα, ποιμένα λαῶν,
Ἵπποισιν κὴ ὄχεσφιν, ἀεικέα μερμηρίζων.
Τόνδ' οὐκ εἰδότ' ὄλεθρον ἀνήγαγε κὴ κατέπεφνε
Δειπνίσας, ὥστις τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
Οὐδέ τις Ἀτρεΐδεω ἑτάρων λίπετ', οἵ οἱ ἕποντο,

" Hunc enim detrusit in mare ingens, undosum.
" Sic ille quidem ibi periit, postquam bibit salsam aquam:
" Tuus verò utcunque effugit mortem frater, atque elapsus est
" In navibus cavis, i. e. *in Classe*: servavit enim veneranda Juno.
" Sed quando nunc statim videbatur Malearum montem arduum
" Pervenire, tum certe ipsum abreptum procella
" Pontum per piscosum tulit valdè ingemiscentem,
" Agri ad extremam oram, ubi ædes habitabat Thyestes
" Prius, cæterùm tunc habitabat Thyestiades Ægisthus.
" Sed cùm jam & illinc apparebat reditus illæsus,
" Retroque dii ventum verterunt; & domum venerunt,
" Certè ille quidem gaudens conscendit in patriam terram,
" Et osculabatur attingens suam patriam: multæque ab ipso
" Lacrymæ uberes effundebantur, quoniam lubenter vidit terram.
" Hunc sanè à speculâ conspexit speculator, quem constituit
" Ægisthus dolosus, ducens: promisit etenim mercedem,
" Auri duo talenta; observabat verò hic toto anno,
" Nè ipsum lateret accedens, memorque foret strenui roboris.
" Festinabat itaque ire annunciaturus ad ædes pastoris populorum:
" Statimque Ægisthus dolosam excogitavit fraudem:
" Delectis ex plebe viginti viris fortissimis,
" Constituit in insidiis, & ab alterâ parte jussit convivium apparari.
" Cæterùm ipse ivit invitans Agamemnonem, pastorem populorum,
" Equis & curribus, indecentia deliberans.
" Hunc imprudentem ad mortem deduxit & trucidavit,
" Convivio excipiens, veluti si quis interfecit bovem ad præsepe:
" Neque quisquam Atridæ sociorum relictus, qui eum sequebantur,

Σ Χ Ο Λ Ι Α.

510. Ἐφόρει.] Ἤνεγκεν. Ἀπείρονα.] Τὸν μέγαν, καὶ πέρας μὴ ἔχοντα.
512. Ὑπάλυξεν.] Ἐξέφυγεν.
514. Μαλειάων.] Ἀκρωτήριον τῆς Λακωνικῆς.
515. Ἵξεσθαι.] Ἀφίξεσθαι, παρακίνησιν. Θύελλα.] Ἄνεμον συροφήν.
517. Ναῖε.] Ὠίκει.
518. Θυεστιάδης.] Θυέστου παῖς, Αἴγισθος.
522. Κύνει.] Προσκυνεῖ.
525. Ὑπὸ δ' ἔχετο.] Ὑπέσχετο δὲ. Τιμῆσις.
527. Μνήσαιτο.] Μνησθείη.
529. Τέχνῃ.] Μηχανῇ.
530. Κεινάμενος.] Ἐπιλεξάμενος.
531. Ἑτέρωθι.] Ἀνωχθὶ Πανδίονος.] Ἐνεργεῖν περάτων.
535. Δειπνίσας.] Εὐωχήσας. Κατέπεφνε.] Ἀνεῖλεν, ἐφόνευσεν.

Ν Ο Τ Æ.

511. Ὣς ὁ μὲν ἔνθ' ὄλεσθεν) Animam putabant Veteres extingui per Aquam suffocatis; quare omnes horrebant id genus Mortis.

520. Ἄψ ἦ θεοὶ) Vocula ἦ exciderat Edit. *Elze-vir.* & v. 563. ἀλλ' σ', pro ἀλλά σ' &c.

531. Λόχονδε) Εἰς λόχον, ut ξ'. v. 217. Ὅσοπ κέλευσε λόχονδε Ἄνδρας ἀρίστους. Olim λόχου, non æquè bonè.

Οὐδέ τις Αἰγίσθῳ· ἀλλ' ἔκταθεν ὃν μεγάροισιν.
Ὣς ἔφαν· αὐτὰρ ἔμοιγε κατεκλάσθη φίλον ἦτορ.
Κλαῖον δ' ὃν ψαμάθοισι καθήμενος· οὐδέ νύ μοι κῆρ
Ἤθελ' ἔτι ζώειν τε ὁρᾶν φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθην,
Δὴ τότε μὲ προσέειπε γέρων ἅλιος νημερτής,
Μηκέτι, Ἀτρέος υἱὲ, πολὺν χρόνον ἀσχαλόων ἔτι
Κλαῖ', ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν· ἀλλὰ τάχιστα
Πείρα, ὅππως κέν δὴ σὸν πατρίδα γαῖαν ἵκηαι.
Ἦ γάρ μιν ζωόν γε κιχήσεαι, ἦ κεν Ὀρέστης
Κτείνεν ὑποφθάμενος· σὺ δέ κεν τάφου ἀνιβολήσαις.
Ὣς ἔφαν· αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς ἀγήνωρ
Αὖτις ὑπὸ στήθεσσι, καὶ ἀχνυμένῳ περ, ἰάνθη·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Τέτυς μὲν δὴ οἶδα· σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε,
Ὅστις ἔτι ζωὸς κατερύκεται εὐρέϊ πόντῳ,
Ἦ θανέων· ἐθέλω δὲ καὶ ἀχνύμενός περ ἀκοῦσαι.
Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν,
Υἱὸς Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκία ναίων·
Τόνδ' ἴδον ὃν νήσῳ θαλερὸν κατὰ δάκρυ χέοντα,
Νύμφης ὃν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
Ἴσχει· ὁ δ' οὐ δύναται ἦν πατρίδα γαῖαν ἱκέσθαι·
Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι,
Οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Σοὶ δ' οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε,

" Neque quiſquam Ægiſthi; ſed con-
" trucidati ſunt in regiâ.
" Sic ait, cæterùm mihi confractus eſt
" charus animus:
" Flebam igitur in arenis deſidens; ne-
" que mihi cor
" Volebat ampliùs vivere, & videre lu-
" men ſolis.
" Poſtò poſtquam flendo *neque ipſum*
" volutando ſaturatus ſum,
" Tum me alloquutus eſt ſenex mari-
" nus veridicus,
" Nè ampliùs, Atrei fili, longo tem-
" pore indefinenter ſic
" Fleas, quoniam non remedium ali-
" quod inveniemus: ſed citiſſimè
" Tenta, quo pacto jam tuam ad pa-
" triam terram pervenias.
" Aut enim ipſum vivum deprehendes,
" aut Oreſtes
" Interfecit prævenies: tu verò cœnæ
" ſepulchrali intereris.
" Sic ait: cæterùm mihi cor & ani-
" mus generoſus
" Rurſus intra pectus etiam quantum-
" vis triſti, gaviſum refloruit:
" Et ipſum alloquutus verba alata di-
" xi,
" Iſtos quidem novi: tu verò tertium
" virum nomina,
" Qui adhuc vivus detinetur in lato
" mari,
" Aut mortuus: volo autem quantum-
" vis mœſtus audire.
" Sic dicebam: ille me rurſus excipi-
" ens alloquutus eſt,
" Filius Laërtæ, in Ithacâ domos ha-
" bitans, *eſt Tertius*:
" Hunc vidi in inſula lacrymas uberes
" fundentem,
" Nymphæ in ædibus Calypſûs, quæ
" ipſum neceſſitate quâdam
" Detinet; nec ille poteſt ſuam patri-
" am terram adire:
" Non enim ei adſunt naves remigio
" inſtructæ, & ſocii,
" Qui utique ipſum reducere poſſent
" per lata dorſa maris.
" Tibi autem non à fato decretum eſt,
nobilis ô Menelaë,

ΣΧΟΛΙΑ.

540. Ζώειν.] Ζῆν.
541. Κυλινδόμενός θ'.] Κυλιόμενός θ'.
543. Ἀσκελές.] Ἀδιαλείπτως.
544. Ἄνυσιν.] Πρᾶξιν. Δήομεν.] Εὑρήσομεν.
545. Πείρα.] Πειρῶ, πειράζει.
546. Κιχήσεαι.] Καταλήψεσθαι.
547. Κτείνει.] Ἔκτεινεν, ἀνεῖλεν. Ὑποφθάμενος θ'.] Προλαβών. Τάφου.] Τῆς ἀφειδήτου. Ἀνιβολήσαις.] Μεθέξοις.
549. Ἰάνθη.] Διεχύθη, ἥδη.
558. Ἴσχει.] Κατέχει, κωλύει.
559. Ἐπήρετμοι.] Ἐπίκωποι.
560. Πέμποιεν.] Διακομίζοιεν.
561. Θέσφατόν.] Τὸ ὑπὸ θεῶν πεφημισμένον, εἱμαρτόν.

NOTÆ IN SCHOLIA.

547. Μεθέξοις) Ità MS. pro μεθέξῃς.
560. Πέμποιεν) Διακομίζοιεν. Ita ſcribo, *Senſu* poſtulante, licet omnes Impreſſi pariter & MSS. vel δεκιμάζοιεν, vel δεκιμάζοιμεν, habeant. Κομίζειν enim & πέμπειν gemina ſunt, & facilis mutatio &c.
561. Πεφημισμένον) Ex duob. MSS. Πεφατμένον itaque, ut Poëticum, rejicio.

VARIÆ LECTIONES.

552. Εὐρεῖ πόντῳ) κ. εὐρεῖ κόσμῳ, ut ſuprà, v. 498.

Ἄργεϊ δὴ ἱπποβότῳ θανέειν καὶ πότμον ἐπισπεῖν·
Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
Ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς,
Τῇ περ ῥηϊδίη βιοτὴ πέλει ἀνθρώποισιν·
Οὐ νιφετὸς, οὔτ' ἄρ χειμὼν πολὺς, οὔτε ποθ' ὄμβρος,
Ἀλλ' αἰεὶ Ζεφύροιο λιγυπνείοντας ἀήτας
Ὠκεανὸς ἀνίησιν, ἀναψύχειν ἀνθρώπους·
Οὕνεκ' ἔχεις Ἑλένην, καί σφιν γαμβρὸς Διός ἐσσι.
Ὣς εἰπὼν, ὑπὸ πόντον ἐδύσατο κυμαίνοντα.
Αὐτὰρ ἐγὼν ἐπὶ νῆας ἅμ' ἀντιθέοις ἑταίροισιν
Ἴα· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
Δόρπον θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ,
Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἠμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Νῆας μὲν πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
Ἐν δ' ἱστοὺς πιθέμεσθα καὶ ἱστία νηυσὶν εἴσης·
Ἐν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι καθίζον,
Ἑξῆς δ' ἐζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἂψ δ' εἰς Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
Στῆσα νέας, καὶ ἕρεξα τελήεσσας ἑκατόμβας.
Αὐτὰρ ἐπεὶ κατέπαυσα θεῶν χόλον αἰὲν ἐόντων,
Χεῦ' Ἀγαμέμνονι τύμβον, ἵν' ἄσβεστον κλέος εἴη.

" In Argo equos-pascente mortem & fatum oppetere:
" Sed te ad Elysium campum, & fines terræ
" Immortales mittent; ubi flavus Rhadamanthus est,
" Ubi utique facillima-vivendi ratio est hominibus;
" Non nix, neque hyems longa, neque unquam imber,
" Sed semper Zephyri suavitèr-spirantes auras
" Oceanus emittit, ad refrigerandum homines:
" Quòd habes Helenam, & ipsis Jovis gener es.
" Sic loquutus subiit in pontum fluctuosum:
" Cæterùm ego ad naves simul cum divinis sociis
" Ibam; plurima autem mihi cor fluctuabat incedenti.
" Cæterùm postquam ad navem venimus atque mare,
" Cœnamque apparavimus, supervenitque solitaria nox,
" Tum dormivimus in littore maris.
" Quando autem mane-genita apparuit roseis-digitis aurora,
" Naves quidem ante omnia deduximus in mare divinum;
" Malos autem imposuimus & vela navibus æquatis:
" Ipsi etiam ingressi super transtra sederunt;
" Ordine autem considentes spumosum mare verberabant remis.
" Rursusque ad aquas Ægypti, à-Jove cadentis fluminis,
" Constitui naves, & perfeci legitimas Hecatombas.
" Cæterùm postquam sedavi deorum iram immortalium,
" Extruxi Agamemnoni tumulum; ut immensa gloria esset.

ΣΧΟΛΙΑ.

563. Ἠλύσιον πεδίον.] Τὸ τέρμα ἐφάπτηται, κεκλημένον ἀπὸ Ἠλυσίου τοῦ Ἐλευθῆρος, ὑφ' οὗ ἐστάθη ἡγεμὼν· ἢ παρὰ τὸ ἄλυσις οὐ αὐτῇ μέσον τὸ σύμπαν· ὁ δὲ τόπος, ἐν ταῖς ἐκλειμμέναις μακάρων νήσοις.

565. Ῥηΐδιη.] Ἀρετὴ, ἄφθονος. Βιοτή.] Ζωὴ, βίος.

566. Νιφετὸς.] Χιών.

567. Λιγυπνείοντας.] Ἡδέως ἔχοντα πνοήν.

568. Ἀνίησιν.] Ἀναδίδωσι, ἀναπέμπει. Ἀναψύχειν.] Ἀναπνεῖν.

570. Κυμαίνοντα.] Κυματώδεστον.

572. Πόρφυρε.] Διενοεῖτο. Κιόντι.] Ἀπίοντι, πορευομένῳ.

577. Ἐρύσσαμεν.] Ἑλκύσαμεν, καταχέαμεν.

580. Πολιὴν.] Λευκὴν διὰ τὸ ἀφρῶδες.

584. Χεῦα.] Ἔχυσα. Ἄσβεστον.] Ἀκατάπαυστον.

NOTÆ.

563. Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον) Huc refer *Plutarch. Sertorio* & Consolat. ad *Apollon.* ex *Pindaro*, item *Photium*, Biblioth. ex Vitâ *Sertorii*, fol. 1199. *Origen.* contra *Celsum*, l. 7. p. 350. *Servium* in *Virgilii* illud — *amœna Piorum Concilia, Elysiumque colo.* Vid. Not. ad v. 520.

NOTÆ IN SCHOLIA.

563. Ἐλευθῆρος) MSS. Ἐλευθέρου, sed quum *Pausanias* meminerit Ἐλευθῆρος *Apollinis* filii, nihil muto.

VARIÆ LECTIONES.

567. Λιγυπνείοντας) χ. λιγὺ πνείοντας, *Eustath.* fol. 1509. lin. 49.

568. Ἀνίησιν ἀναψύχειν ἀνθρώπους) χ. ἀϋτὴν πνεύσαντα ἀνθρώπῳ, *Pindar.* Schol.

577. Ἐρύσσαμεν) χ. ἐρύσσομεν, vid. Not. *in Text.* ad ι'. v. 73. & λ'. v. 2.

Ταῦτα τελευτήσας νέμειν· ἔσσαν δέ μοι ἔρον
Ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
Ἀλλ' ἄγε νῦν ἐπίμεινον ἐνὶ μεγάροισιν ἐμοῖσιν,
Ὄφρα κεν ἑνδεκάτην τε δυωδεκάτην τε γένηαι·
Καὶ τότε σ' εὖ πέμψω, δόσω δέ τοι ἀγλαὰ δῶρα,
Τρῖς ἵππους καὶ δίφρον ἐύξοον· αὐτὰρ ἔπειτα
Δέπας καλὸν ἄλεισον, ἵνα σπείσῃσθα θεοῖσιν
Ἀθανάτοις, ἐμέθεν μεμνημένος ἤματα πάντα.
Τὸν δ' αὖ Τηλέμαχος περιφραδὲς ἀντίον ηὔδα,
Ἀτρεΐδη, μὴ δή με πολὺν χρόνον ἐνθάδ' ἐρύκει.
Καὶ γάρ κ' εἰς ἐνιαυτὸν ἐγὼ παρὰ σοὶ γ' ἀνεχοίμην
Ἥμενος, οὐδέ κέ μ' οἶκος ἔλοι πόθος, οὐδὲ τοκῆες.
Αἰνῶς γὰρ μύθοισιν ἔπεσσί τε σοῖσιν ἀκούω
Τέρπομαι· ἀλλ' ἤδη μοὶ ἀνιάζουσιν ἑταῖροι
Ἐν Πύλῳ ἠγαθέῃ· σὺ δέ με χρόνον ἐνθάδ' ἐρύκεις.
Δῶρον δ', ὅ, τι κέ μοι δίνῃς, κειμήλιον ἔστω·
Ἵππους δ' εἰς Ἰθάκην οὐκ ἄξομαι, ἀλλά σοι αὐτῷ
Ἐνθάδε λείψω ἄγαλμα· σὺ γὰρ πεδίοιο ἀνάσσεις
Εὐρέος, ᾧ ἔνι μὲν λωτὸς πολύς, ἐν δὲ κύπειρον,
Πυροί τε, ζειαί τε, ἰδ' εὐρυστάχυες κρῖ λευκόν.
Ἐν δ' Ἰθάκῃ οὔτ' ἄρ δρόμοι εὐρέες, οὔτε τι λειμών·
Αἰγίβοτος· τὴ μᾶλλον ἐπήρατος ἱπποβότοιο.
Οὐ γάρ τις νήσων ἱπποήλατος, οὐδ' εὐλείμων,

" Hæc ut perfeci, redii: dederunt etenim mihi ventum secundum
" Dii, qui me celeriter charam ad patriam miserunt.
" Verum age hunc mane in ædibus meis,
" Donec undecimáque duodecimáque oriatur *dies*;
" Et tunc te bene dimittam; daboque tibi splendida dona,
" Tres equos & currum benè politum: cæterum præterea
" Dabo pulchrum poculum, ut libes diis
" Immortalibus, mei memor diebus omnibus.
Hunc rursus Telemachus prudens contra alloquutus est,
" Atride, ne fane me multo tempore hic detine.
" Etenim ad annum ego apud te utique perdurarem
" Sedens, neque me domûs caperet desiderium, neque parentum:
" Veh menter enim verbis sermonibusque tuis audiens
" Oblector: sed jam mihi pertæsi-sunt socii
" In Pylo divinâ: tu autem me *longum* tempus hic detines.
" Donum autem, quodcunque mihi dare cupieres, *tale* sit, ut ferri & recondi possit:
" Equos enim in Ithacam non ducam, sed tibi ipsi
" Hic relinquam in deliciis: nam tu campo imperas
" Lato, in quo quidem lotus frequens, in quo cyperus,
" Triticum, spelæa, atque latè germinans hordeum album.
" In Ithacâ autem neque fanè curricula lata, neque illum pratum:
" Capris-pascendis apta *est* Ithaca; & *mihi* optabilior equorum pascuo.
" Nulla enim insularum spaciosa neque pratis accommodata,

Σ Χ Ο Λ Ι Α.

585. Τελευτήσας.] Τελειώσας, πληρώσας. Νέμειν.] Ἐπερέχειν.
591. Ἔρυκε.] Κατέχει.
595. Ἀνεχοίμην.] Ὑποφέροιμι, ἐγχαίμι.
596. Ἥμενος.] Ἀπρόκλητος καθήζομενος.
598. Ἀνιάζουσι.] Λυπεῖσθαι, ἀνιῶνται.
599. Ἐρύκεις.] Κατέχεις.
602. Λείψω.] Καταλείψω, ἐάσω.
603. Λωτός.] Εἶδος πόας, καὶ δένδρου. Κύπειρον.] Εἶδος πόας, τὸ κύπερον.
604. Ζειαί.] Ὄλυραι. Εὐρυστάχυες.] Τὸ ἐπὶ πλάτος καὶ ἱππολυ φύμενον. Κρῖ.] Κριθή.
606. Αἰγίβοτος.] Τραχεῖα, ὀρεσὶ βόσιν καὶ τροφὴν αἰγῶν ἐπιτηδεία. Καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο.] Ἀπὸ ἄλλης ὀχῆς τοῦτο· ἐν ᾗ, καί τις αἰγίβοτος ἂν, ἢ ἱπποτρόφος ἐμοὶ μᾶλλον ἐπήρατος· ἐπήρατος δέ, ἐπίφορος.
607. Ἱππήλατος.] Εἰς ἔλασιν ἵππων ἐπιτηδεία. Εὐλείμων.] Καλῶς λειμῶνας ἔχουσα.

N O T Æ.

607. Οὐ γάρ τις νήσων ἱππήλατος) Hoc de minoribus Insulis intelligendum, quales Insulæ Maris Ægæi & Jonii; minimè etenim verum de *Siciliâ*, *Cretâ*, *Sardiniâ*, aut *Britanniâ* nostrâ, quæ pascendis, generandis, & exercendis equis optimè inserviunt.

NOTÆ IN SCHOLIA.

606. Αἰγίβοτος) In ipso *Scholii* fine, ἐπίφορος, cum MS. lego, pro ἐπίφατος.

Variæ Lectiones.

603. Ἔνι) *sic*, ἐν, *H. Steph.*
604. Ζειαί τε, ἰδ') *sic*, ζειαί τ', ἠδ', eodem recidit.
605. Ἐν δ' Ἰθάκῃ οὔτ' ἄρ) *sic* ἐν δ' Ἰθάκῃ ἐ ῇ, *Turneb. Volcob.* & *Bongarsius*; nec bene.

Αἳ δ' ἀλὶ κεκλίαται· Ἰθάκη δέ τε καὶ πέρι πασέων.
Ὣς φάτο· μείδησεν δὲ βίῃ ἀγαθὸς Μενέλαος,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
Αἵματος εἰς ἀγαθοῖο, φίλον τέκος, οἷ' ἀγορεύεις.
Τοιγὰρ ἐγώ τοι ταῦτα μεταμείσω· δύναμαι γάρ.
Δώρων δ', ὅσ' ἂν ἐμοῦ οἴκῳ κειμήλια κεῖται,
Δώσω, ὃ κάλλιστον καὶ πολυτιμήεν ἔσται.
Δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
Ἔστιν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται·
Ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως
Σιδονίων βασιλεύς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψε
Κεῖσέ με νοστήσαντα· τεὸν δ' ἐθέλω τόδ' ὀπάσαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Δαιτυμόνες δ' ἐς δῶμα θεῖον βασιλῆος·
Οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' εὐήρατα οἶνον·
Σῖτον δέ σφ' ἄλοχοι καλλιχρήδεμνοι ἔνεικαν.
Ὣς οἱ μὲν τῇσι δεῖπνον εἰν μεγάροισι πένοντο.
Μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο

" Quæ mari claudantur: Ithaca etiam
supra omnes.
Sic ait: risit verò bello fortis Mene-
laus,
Manuque ipsum prehendit, verbúm-
que dixit atque nominavit,
" Sanguinis es boni, chare fili, qualia
loqueris.
" Atqui ego tibi hæc *Dona* commuta-
bo; posſum enim.
" Donorum autem, quicunque in meâ
domo thesauri jacent,
" Dabo, quod pulcherrimum & pre-
cioſiſſimum eſt:
" Dabo tibi craterem elaboratum: ar-
genteus utique
" Eſt totus, auro autem labra perfecta
ſunt:
" Opus verò eſt Vulcani; donavit autem
illud Phædimus Heros
" Sidoniorum rex, quando ejus domus
ſuſcepit
" Illuc me profectum: tibi autem volo
id præbere.
Sic hi quidem hujuſcemodi inter ſe
loquebantur:
Convivatores verò in domum ierant
regis divini:
Et hi quidem adducebant oves, af-
ferebantque animoſum vinum:
Panem verò ipſis uxores pulchris-
vittis intulerunt.
Sic illi quidem circa cœnam in domo
Menelai laborabant.
Proci interèa ante Ulyſſis domum

ΣΧΟΛΙΑ.

608. Ἀλὶ κεκλιαται.] Περιέχονται τῇ θαλάσσῃ. Περὶ πασέων.] Ὑπὲρ πάσας.
611. Αἵματος.] Γένους. Οἷα.] Ὁποῖα.
612. Μεταμείσω.] Μεταλλάξω, μεταλλάξω.
616. Κεκράανται.] Τετελείωνται, πεπλήρωνται.
617. Φαίδιμος.] Ὄνομα κύριον.
618. Ἑός.] Ὁ ἴδιος. Ἀμφεκάλυψε.] Περιεκάλυψεν ἀντὶ τοῦ ἐκαλλώπισε.
619. Τεόν.] Σοι. Ὀπάσαι.] Παραχωρῆσαι.
621. Δαιτυμόνες.] Οἱ ἑστιατορεῖς.
622. Εὐήρατα οἶνον.] Τὸν ἀνδρείαν παρέχοντα καὶ καρδίᾳ πινόμενον.
623. Καλλιχρήδεμνοι.] Καλαὶ τὰς βολβόλους ἐπὶ τῆς κεφαλῆς ἔχουσαι.

NOTÆ.

612. Μεταμείσω) De hâc voce, vid. ad *Iliad.* ν. v. 745.

617. Φαίδιμος ἥρως Σιδονίων βασιλεύς) Τὸ ἑξῆς, Σιδονίων βασιλεύς, Φαίδιμος ἥρως, ὅτε δώμας ἐδέξατο. Τοῦτο ὄνομα Σελεύκου, ἢ Σοβάλου (an Σολομῶνος) ἢ Σήρου· ὡς Εὐτύχιος· ὡς δὲ Ἀχιλλεύς, Ἴερμος, Εἰρηναῖος, ἢ Χειραμος. Et *Clemens Alexandrin.* Stromat. l. 1. Εἰρηναῖος τῷ ἑαυτοῦ θυγατρὶ Σολομῶνι δίδωσι, καθ' ὃν χρόνον, μετὰ τῶν Τυρίων ἄλωσιν, Μενελάου εἰς Φοινίκην ἀφιξις ὡς φησι Μενανδρος, ἐν Λαΐτῃ δὲ τῆς Φοινικικῆς. Vid. *Tatian. Edit. Worthii*, Oxon. p. g. 128. §. 58. Τὸ δὲ Φαίδιμος ἥρως, ἄξιον καὶ τὰς Παλαιὰς, εἴπερ κύριόν ἐστι ὄνομα. Τινὲς δὲ Σωβάλου αὐτὸν, οἱ δὲ Σελεύκου ἱστόρησαν, inquit *Euſtathius*, fol. 189. lin. 44. in hunc locum. De *Syntaxi*, vid. ad ο'. v. 117.

621. Δαιτυμόνες δ' ἐς δῶμα') Poeta adhuc de *Menelao* & illius rebus loquitur, non de Procis; ut *Euſtathius* deceptus putat, fol. 1512. lin. 3. ubi Δαιτυμόνας exponit, per τὰς τῷ δαῖτα ἐπιμαζούσας, per θεῖα βασιλῆος, *Ulyſſem* notat, per ἄλοχοι, Famulas *Ulyſſis*, quæ potiùs exponuntur *Menelai* filiorum & amicorum Uxores; nondum enim Poeta ad *Proces* venit, niſi ad v. 625. Μνηστῆρες δὲ πάροιθε &c. Quare *Euſtathio*, diligentiſſimo alioquin Interpreti, condonandus hic lapſus, ne tandus tamen; ne plures il ius auctoritate decipiantur, præter Doctorem *Stephanum*, ad *Egilbai Homer.*

VARIÆ LECTIONES.

617. Φαίδιμος) κ. Χειραμος. Vid. ad ο'. v. 117. & quæ hîc, in Notis ad *Textum*.

623. Ἔνεικαν) κ. ἔπεμπον, *H. Steph.*

Δίσκοι-

Δίσκοισιν τέρπονθο καὶ αἰγανέῃσιν ἱέντες,
Ἐν τυκτῷ δαπέδῳ, ὅθι πὲρ πάρος ὕβριν ἔχεσκον.
Ἀντίνοος δὲ καθῆστο καὶ Εὐρύμαχος θεοειδὴς,
Ἀρχοὶ μνηστήρων, ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι·
Τοῖσδ' υἱὸς Φρονίοιο Νοήμων ἐγγύθεν ἐλθὼν,
Ἀντίνοον μύθοισιν ἀνειρόμην προσέειπεν,
Ἀντίνο', ἦ ῥά τι ἴδμεν ὀϊόμεθ' ἐν φρεσὶν ἠὲ καὶ οὐκί,
Ὁππόθ' Τηλέμαχος νεῖτ' ἐκ Πύλου ἠμαθόεντος;
Νῆά μοι οἴχετ' ἄγων· ἐμὲ δὲ χρεὼ γίνεθ' αὐτῆς,
Ἠλιβ' ἐς εὐρύχορον ἀλαὸν πεδίον, ἔνθα μοὶ ἵπποι
Δώδεκα θήλειαι, τὼ δ' ἡμίονοι ταλαεργοὶ
Ἀδμῆτες· τῶν κέν τιν' ἐλαυνάμενος δαμασαίμην.
Ὣς ἔφαθ'· οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον· ὀΐω γὰρ ἔφασθο
Ἐς Πύλον οἰχέσθαι Νηλήϊον, ἀλλά που αὐτοῦ
Ἀγροῦ, ἢ μήλοισι παρεμμεναι, ἠὲ συβώτῃ.
Τόνδ' αὖτ' Ἀντίνοος προσέφη Εὐπείθεος υἱὸς,
Νημερτές μοι ἔνισπε, πότ' ὤχετο, καὶ τίνες αὐτῷ
Κῶροι ἕποντ' Ἰθάκης ἐξαίρετοι; ἦ ἑοὶ αὐτοῦ
Θῆτές τε δμῶές τε; δύναιτό γε καὶ τὸ τελέσσαι;
Καί μοι τῶτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Ἦ σε βίῃ ἀέκοντος ἀπούρασε νῆα μέλαιναν,

Diſcis delectabantur & amentis jaculantes
In ornato pavimento, ubi antèà inſolentiam exercebant.
Antinous verò conſederat & Eurymachus deo-formâ-ſimilis,
Duces procorum; virtute enim erant longe optimi:
His filius Phronii Noëmon propè accedens,
Antinoum verbis interrogans alloquebatur,
" Antinoe, Nunquid ſcimus in mente noſtrâ, an non,
" Quandò Telemachus redit ex Pylo arenoſâ?
" Navem mihi abiit abducens: mihi verò opus eſt illius,
" Ut Eudem in ſpacioſam trajiciam, ubi mihi equæ
" Duodecim fœminæ, ſubtùs autem muli patientes-operis
" Indomiti: ex quibus aliquem adigens ſubjugarem.
Sic aït: hi vero in animo obſtupeſcebant; non enim putabant
Pylum abiiſſe Neleiam, ſed alicubi illic
In agris, aut ovibus adeſſe, aut cum ſubulco.
Hunc ſtatim Antinous alloquutus eſt Eupithei filius,
" Verè mihi dic, quando abiit, & quinam illum
" Juvenes ſequuntur ex Ithacâ electi? an proprii ipſius
" Mercenariique mancipiaque? potuitne hoc etiam perficere?
" Et mihi hoc dic verè, ut benè ſciam,
" An te per vim invitum privavit navi nigrâ,

ΣΧΟΛΙΑ.

627. Τυκτῷ δαπέδῳ.] Καποσκάσμῳ καὶ λελειωμμένῳ ἐδάφει.

633. Ὁππόθ'.] Ποτέ. Νεῖτο.] Ἐπανέξει, ἐλεύσεται, πορεύσεται.

635. Διαβήμεναι.] Διελθεῖν, διαπλεῦσαι.

636. Ταλαεργοί.] Ὑπομενητικοί.

637. Ἀδμῆτες.] Ἀδάμαστοι.

638. Ἐξαίμβεον.] Ἐξεπλήττοντο.

644. Θῆτες.] Οἱ ἐπὶ μισθῷ δουλεύοντες. Δμῶες.] Οἱ δοῦλοι, παρὰ τὸ δεδμῆσθαι, ὅ ἐστι κατοικίζεσθαι.

NOTÆ.

634. Χρεὼ γίνεθ' αὐτῆς) Ità Reſtituo ex *Florentinâ*, *Lovaniana* &c. *H. Stephanus* malè, χρεὼ γίνετ' αὐτῆς, quandoquidem prior in γίνομαι & γινώσκω *Naturâ* producatur; quare tunc oportebat legere χρεὼ γίνετ' αὐτῆς. Verùm Vetuſtiores libri prævaleant.

643. Ἦ ἑοὶ αὐτοῦ ἔωτες;) Τὸ ἑοὶ ἀντὶ τοῦ ἕωτες φέρεται, ἀλλ' ὁ ἀντὶ αὐτοῦ λέγοιτο ἂν δι' ἂν τύχῃ, ἑο αὐτοῦ.

645. Ἦ σε βίῃ ἀέκοντος ἀπούρασε) *Malignè* videtur *Antinous* hìc *Noemona* ad Mendacium & falſum teſtimonium dandum provocare, contra *Telemachum*, modeſtum & probum Juvenem, quem ſibi ſimilem fingit, improborum hominum more. Verum *Noemon* apertè & ſincere loquitur, de Regis ſui filio, & tacitè ipſos Procos iniquitatis in eum arguit. De *Noemone*, notat *Euſtathius*; de *Antinoo*, non item.

NOTÆ IN SCHOLIA.

627. Λελειωμμένῳ.) MS. *Aloyſii* ità legit, pro veteri λελειομένῳ corrupto.

636. Ταλαιεργοί.] Ὑπομενητικοί. Ità *Aldi* Editio, 1528. ita *Aloyſii* MS. Rejicio itaque ὑπομενητικοί & hìc, & v. 447. ſit enim à μεμένηκμαι. Vid. ad γ'. v. 84.

VARIÆ LECTIONES.

634. Χρεὼ γίνεθ' αὐτῆς) χρ. χρεὼ γίνετ' αὐτῆς &c. Vid. Not. in *Textum*.

643. Ἑοὶ αὐτοῦ) χρ. ἕο αὐτοῦ, vid. Not. in *Textum*.

Ἠὲ

Ἦε ἑκὼν οἱ δῶκας, ἐπεὶ προσπύθεο μύθῳ;
Τόνδ' ὡς Φρονίου Νοήμων ἀντίον ηὔδα,
Αὐτὸς ἑκὼν οἱ δῶκα· τί κεν ῥέξειε καὶ ἄλλος,
Ὁππότ' ἀνὴρ τοιοῦτος, ἔχων μελεδήματα θυμῷ,
Αἰπύζῃ; χαλεπόν κεν ἀνήνασθαι δόσιν εἶναι.
Κοῦροι δ', οἱ κατ' δῆμον ἀριστεύουσι μετ' ὑμέας,
Οἵ οἱ ἕπονται· τὸν δ' ἀρχὸν ἐγὼ μαίνομαι ὁρόωσα
Μέντορα, ἢ θεόν, τῷ δ' αὐτῷ πάντα ἐοικώς.
Ἀλλὰ τὸ θαυμάζω· ἴδον αὐθάδε Μέντορα δῖον
Χθιζὸν ὑπ' ἠῶ· τότε δ' ἔμβη νηὶ Πύλονδε.
Ὡς ἄρα φωνήσας ἀπέβη πρὸς δώματα πατρός.
Τοῖσιν δ' ἀμφοτέροισιν ἀγάσσατο θυμὸς ἀγαυῶν·
Μνηστῆρες δ' ἄμυδις κάθισαν, καὶ παῦσαν ἀέθλων.
Τοῖσιν δ' Ἀντίνοος μετέφη Εὐπείθεος υἱός,
Ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
Πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντε ἐίκτην·
Ὦ πόποι, ἢ μέγα ἔργον ὑφ' ἁλὸς ἐτελέσθη,
Τηλεμάχῳ ὀδὸς ἥδε· φάμην δέ οἱ ἢ τελέεσθαι.
Ἐκ τόσσων δ' ἀέκητι νέος παῖς οἴχεται αὔτως
Νῆα ἐρυσσάμενος, κείνας τ' ἀνὰ δῆμον ἀείρας.

" An ſponte ei dediſti, poſtquam convenerat te ſermone?
Hunc filius Phronii Noëmon contrà alloquutus eſt,
" Ipſe ſponte ei dedi: quid utique faceret etiam alius,
" Quando vir talis, habens curas in animo,
" Peteret? difficile ſanè negare munus foret.
" Juvenes autem, qui in populo excellunt poſt vos,
" Illi eum ſequuntur; ducem verò ego conſcendentem agnovi
" Mentorem, aut deum; illi verò ipſi omnimodo ſimilis erat.
" Sed hoc admiror, vidi hic Mentorem divinum
" Heri ſub aurorâ; tum tamen conſcenderat navem ad Pylum.
Sic loquutus abiit ad domum patris;
His autem utriſque perculſus eſt animus generoſus;
Proci verò ſimul conſederunt, & quieverunt à certaminibus.
Et illis Antinous interfatus eſt Eupithei filius,
Triſtatus: furore enim multùm præcordia nigra
Implebantur, oculique ei igni ſplendenti ſimiles erant.
" Dii Boni! Certè ingens facinus inſolentèr commiſſum eſt,
" Telemacho profectio iſthæc! Dixerimus ei non perfectum iri.
" Tot nempe invitis juvenculus puer abiit temere
" Nave deductâ, electiſque per populum optimis.

Σ Χ Ο Λ Ι Α.

647. Προσπύθεο.] Ἐκολάκευσεν, ἐξελιπάρησεν, ἐφιλοφρονήσατο.

649. Τί κεν ῥέξειε καὶ ἄλλος.] Τί ἂν πράξειε καὶ ἄλλος, εἰ τοῦτο τοιοῦτος; πάντας σωφρονεῖν.

650. Μελεδήματα.] Μερίμνας, παρὰ τὸ μέλη ἔχειν, ὅ ἐστιν ἐνθυμεῖσθαι.

651. Αἰπύζῃ.] Αἰτῇ, παρακαλῇ. Ἀνήνασθαι.] Ἀρνήσασθαι. Δόσιν.] Δωρεάν.

652. Κοῦροι δ' οἱ κατὰ δῆμον.] Ἄνδρες αὐτῷ συμπλέοντες λοχαῖοι Ἰθακήσιοι, οἱ μετ' ὑμᾶς κρατοῦσιν.

653. Βαίονται.] Εἰσιόντα.

656. Ὑπ' ἠοῖον.] Ὑπὸ τὴν ἕω, ὀρθρινόν. Ἔμβη.] Εἰσῆλθεν.

658. Ἀγάσσατο.] Ἐθυμώθησαν, ἐξεπλάγη.

666. Ἐρυσσάμενος.] Ἑλκύσας, καθελκύσας. Κείνας.] Τὰς κρείττονας καὶ ἐκλεξαμένους.

N O T Æ.

652. Ὑμέας) Ità pro ὑμᾶς, quod hactenùs malè in omnibus obtinuit; ità enim *Brevia Scholia* etiamnum legunt, & Senſus omninò poſtulat: *Noemon* enim non ſe inter Optimos numerat, ſed *Procos*; dicitque, *Juvenes Ithacenſium nobiliſſimi, quique poſt Vos, ô Proci, ſunt præcipui, unà cum Telemacho abiere; μετ' ὑμέας, poſt Vos.* Quare omninò Veram *Lectionem* aſſerendam duxi. Nôrunt Docti, quàm facile ὑμεῖς & ἡμεῖς, inter ſe invicem mutentur, in antiquis MSS.

658. Τοῖσιν δ' ἀμφοτέροισιν) Εὐρυμάχῳ δὲ Ἀντινόῳ, ἐς μόνους τοὺς μνηστῆρας τρεπομένους Νοήμων, παιζόντων τῶν ἄλλων. Vid. ad v. 628.

NOTÆ IN SCHOLIA.

652. Μετ' ὑμᾶς) Licet in *Textu* omnes fere Codices ἡμέας malè legant, in *Scholiis* tamen Omnes ὑμᾶς rectè legunt, ut Duo MSS. etiam Editt. *Aldina, Hervag. Pariſian.* An. 1530. *Elzevirian.* &c.

Variæ Lectiones.

651. Αἰπύζῃ) γρ. αἰπύζοι, *H. Steph.*

652. Ὑμέας) γρ. ἡμέας, vid. Not. in *Textum.*

656. Ὑπ' ἠοῖον) γρ. ὑπηοῖον, ex *Conjecturâ.*

Ἀρξῃ γὰ προτέρω κακὸν ἔμμορε· ἀλλά οἱ αὐτῷ
Ζεὺς ὀλέσειε βίλυ, πρὶν ἡμῖν πῆμα φυτεῦσαι.
Ἀλλ' ἄγε μοὶ δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους,
Ὄφρα μιν αὐτὸν ἰόντα λοχήσομαι, ἠδὲ φυλάξω,
Ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης·
Ὡς ἂν ἐπισμυγερῶς ναυήλεε εἵνεκα πατρός.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον·
Αὐτὰρ ἔπειθ' ἀναστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος.
Οὐδ' ἄρα Πηνελόπεια πολὺν χρόνον ἦεν ἄπυστος
Μύθων, οὓς μνηστῆρες ἐνὶ φρεσὶ βυσσοδόμευον.
Κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλὰς,
Αὐλῆς ἐντὸς ἐών· οἱ δ' ἔνδοθι μῆτιν ὕφαινον.
Βῆ δ' ἴμεν ἀγγελέων ἀμφὶ δώματα Πηνελοπείης·
Τόνδε καὶ ὑδὸν βάντα προσηύδα Πηνελόπεια,
Κῆρυξ, πάπτε δέ σε προέσαν μνηστῆρες ἀγαυοί;
Ἦ εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο
Ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι;
Μὴ μνηστεύσαντες, μηδ' ἄλλοθ' ὁμιλήσαντες,
Ὑσταῖα καὶ πύματα νῦν οἱ ἥδε δειπνήσειαν,
Οἵ θἁμὰ ἀγειρόμενοι, βίοτον κατακείρετε πολλὸν,
Κτῆσιν Τηλεμάχοιο δαίφρονος· ἠδὲ πατρῶν

" Incipiet & ulterius malum esse: sed illi ipsi
" Jupiter perdat vim, antequam nobis malum molietur!
" Verùm agite, mihi date navem celerem & vigenti socios,
" Ut eum ipsum redeuntem insidiis excipiam, atque observem,
" In freto Ithacæque Samique aspera:
" Ut cum suâ pernicie naviget propter patrem.
Sic ait; hi certè omnes laudabant atque jubebant.
Statim deinde, ubi surrexissent, ibant in domum Ulyssis.
Neque tamen Penelope longo tempore fuit insciа
Sermonum, quos proci in mente profundè cogitabant.
Præco enim illi dixit Medon, qui audierat consilia,
Cùm extra aulam esset: illi verò interius consilium texebant.
Festinabat igitur ire annunciaturus per domum Penelopæ.
Hunc sub limen venientem alloquebatur Penelope,
" Præco, cur te præmiserunt proci inclyti?
" An ut dicas ancillis Ulyssis divini
" Ut à labore cessent, ipsisque convivium apparent?
" Nè amplius procantes, nec usquam aliò decedentes,
" Ultimò & postremò nunc hic cœnent.
" O Vos, qui simul congregati, victum absumitis multum,
" Facultatem Telemachi prudentis: nec quicquam à patribus

Σ Χ Ο Λ Ι Α.

667. Ἀρξῃ καὶ προτέρω.] Οἷον προσκακώσῃ ἡμᾶς. εἰ δὲ ὄνομα, ἀπὸ αὐτείας τὴ ἀρχὴ· ἵν' ᾖ, ἀπὸ ταύτης τὴ ἀρχῆς χεῖρον ἡμᾶς ἐργάσῃ.

670. Λοχήσομαι.] Ἐνεδρεύσω. Φυλάξω.] Τηρήσω.

671. Πορθμῷ.] Τῷ μὲν πορθμῷ τὴ στενὴ τόπῳ. πορθμὸς γὰρ λέγεται ἡ στενὴ θάλασσα. Παιπαλοέσσης.] Τραχείας.

672. Ἐπισμυγερῶς.] Ἐπὶ κακῷ τῷ ἑαυτῆ, ἐπιπόνως. Ναυήλεε.] Πλέῃ.

675. Ἄπυστος.] Ἀνήκοος, ἀνήκουστος.

676. Βυσσοδόμευον.] Κατὰ βάθους τῆς διανοίας ἐβουλεύοντο.

678. Ὕφαινον.] Κατασκεύαζον.

681. Πρόεσαν.] Προέπεμψαν.

684. Μηδ' ἄλλοθ' ὁμιλήσαντες.] Μηδὲ ἄλλοθί που συνδιάγοντες.

685. Πύματα.] Ἔσχατα, πλευταῖα.

686. Ἀγειρόμενοι.] Συναθροιζόμενοι. Κατακείρετε.] Καταναλίσκετε, καθαπανᾶτε.

687. Πατρῶν.] Πατέρων, συγγενῶν.

N O T Æ.

674. Ἀναστάντες) *Suavius* hoc & Ὁμηρικώτερον, & ἀναστάντες, ut π'. v. 358. ρ'. v. 177. &c. quare & hic ità lego, τῷ ἀναστάντες ad *Var. Lect.* rejecto.

682. Ἦ εἰπέμεναι δμωῇσιν) Τὸ ἦ & τὸ εἰ — Coalescunt, ut supra, ad v. 165. & 352.

685. Πύματα) *Ultima* hujus Vocis producitur, in *Cæsura*, ante Literam ἀναδιπλασιασμῷ capacem, & ad ostendendum πάθος loquentis. *Ib.* Δειπνήσειαν) *De* Procis jam loquitur, & versu sequenti, versâ velut in eos facie, *ad* ipsos loquitur, καθαπανᾶτε &c. adeò egregiè animi πάθος exprimit Poeta; quæ res exemplo non caret etiam apud *Prophetas* Sacrosanctos.

V A R I Æ L E C T I O N E S.

668. Φυτεύσαι) γρ. χρεῖος, *H. Steph.* χρεῖος, *Seberi* Index, refragante *Metro*, ut Not. in *Textum* v. 634.

674. Ἀναστάντες) γρ. ἀναστάντες, Vett. fere omnes in hoc loco, nec benè; vid. Not. in *Textum*.

686. Οἵ θἁμ' ἀγειρόμενοι) γρ. οἵ δ' ἁμ' ἀγειρόμενοι, Editt. *Florentin.* & *H. Steph.*

Ὑμετέ-

Ὑμετέρων τὸ πρόσθεν ἀκούετε, παῖδες ἑοῖο,
Οἷος Ὀδυσσεὺς ἔσκε μεθ' ὑμετέροισι τοκεῦσιν,
Οὔτε τινὰ ῥέξας ἐξαίσιον, οὔτε τι εἰπὼν
Ἐν δήμῳ· ἦτ' ἐστὶ δίκη θείων βασιλήων·
Ἄλλον μὲν ἐχθαίρῃσι βροτοί, ἄλλον δὲ φιλοίη.
Κεῖνος δ' ὅπποτε πάμπαν ἀτάσθαλον ἄνδρα ἐώργει·
Ἀλλ' ὁ μὲν ὑμέτερος θυμὸς καὶ ἀεικέα ἔργα
Φαίνῃ, ὑδέ τις ἔστι χάρις μετόπισθ' εὐεργεόντων.
Τὸν δ' αὖτε προσέειπε Μέδων, πεπνυμένα εἰδώς,
Αἲ γὰρ δὴ, βασίλεια, τόδε πλεῖον κακὸν εἴη,
Ἀλλὰ πολὺ μεῖζόν τε καὶ ἀργαλεώτερον ἄλλο
Μνηστῆρες φάζονται, ὃ μὴ τελέσειε Κρονίων·
Τηλέμαχον μεμάασι κατακτάμεν ὀξέϊ χαλκῷ,
Οἴκαδε νεισόμενον· ὁ δ' εἶβη μετὰ πατρὸς ἀκουὴν
Ἐς Πύλον ἠγαθέην, ἠδ' ἐς Λακεδαίμονα δῖαν.
Ὣς φάτο· τοῦ δ' αὖτε λύτο γούνατα καὶ φίλον ἦτορ·
Δηὼ δέ μιν ἀμφασίη ἐπέων λάβε· τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχεθε φωνή.
Ὀψὲ δὴ μιν ἔπεσσιν ἀμειβομένη προσέειπε,
Κῆρυξ, τίπτε δέ μοι πάϊς οἴχεται ὑδέ τι μιν χρεὼ
Νηῶν ὠκυπόρων βαίνειν ἐπὶ νῶτα θαλάσσης,
Ἀνδράσι γίγνονται, περόωσι δὲ πηλὸν ἐφ' ὑγρήν;

" Vestris antea auditis, pueri cùm essetis,
" Qualis Ulysses erat inter vestros parentes,
" Neque ullum tractans iniquè, neque quicquam loquutus
" Publice; qui tamen mos est magnorum Regum;
" Alium subditorum odio *quis eorum* habeat, alium amplectatur,
" Ille verò nunquam prorsus improbè aliquem affecit:
" Sed vester quidem animus, & indigna facinora
" Apparent, neque ulla est gratia post beneficia *accepta*.
Hanc rursus alloquutus est Medon, prudentia doctus,
" Utinam sanè, ò regina, hoc maximum malum esset;
" Sed multò majusque & perniciosius aliud
" Proci tentant, quod nequaquam perficiat Saturnius!
" Telemachum cupiunt interficere acuto ferro,
" Domum revertentem: ille verò profectus est ad patris famam
" Ad Pylum sacram, atque ad Lacedæmona divinam.
Sic ait; aſſ hujus illic soluta sunt genua & amicum pectus;
Diù ipsam silentium-verborum cœpit; *ipsius* verò oculi
Lacrymis impleti sunt, & tenellæ ei detenta est vox:
Tandem verò ipsum verbis excipiens alloquuta est,
" Præco, cur mihi filius abiit? neque ipsum necessitas erat
" Naves celeres conscendere, quæ in mari equi
" Hominibus sunt, penetrantque immensum humidum *mare*;

ΣΧΟΛΙΑ.

690. Ἐξαίσιον.] Ἔξω τῆς καθήκοντος, ἄδικον.
691. Δίκη.] Νόμος, ἢ τρόπος.
692. Ἐχθαίρῃσι.] Μισεῖν.
693. Ἀτάσθαλον.] Ἁμαρτωλὸν, ἄδικον. Ἐώργ.] Εἰργάσατο.
694. Ἀεικέα.] Ἀπρεπῆ, χαλεπά.
695. Εὐεργέων.] Εὐεργασιῶν.
698. Ἀργαλεώτερον.] Δεινότερον, χαλεπώτερον.
699. Τελέσειεν.] Εἰς τέλος ἄξειεν.
701. Νεισόμενον.] Ἐπανερχόμενον, ὑποστρέφοντα.
704. Ἀμφασίη.] Ἀμφασία, ἀφωνία· κεῖται τὸ μ' ἐφεξῆς.

NOTÆ.

693. Ἐώργ.] Vid. ad φ'. v. 96.

695. Οὐδέ τις ἔστι χάρις μετόπισθ' εὐεργεόντων) Εὐεργέων, ἀντὶ τοῦ εὐεργετῶν, *Eustath.* fol. 1514. lin. 31. Ut sit εὐεργὴς, pro εὖ ποιῶν, cùm aliàs ponatur, pro εὖ ποιητὴς. ut *Iliad.* ε'. v. 585. — εὐεργέων ἔκπισθ' ἰόφρα. An τὸ εὐεργέων, παρὰ τὸ εὐεργία, ut τὸ εὐεργὲς, pro εὐεργασία; Ità *Br. Schol.*

703. Τῶσδ' αὐτῇ λύτο γούνατα) *Marc. Meibomius*, ad *Diog. Laert.* in *Zenone*, monet legendum, τῆσδ' αὖ λῦτο τὰ γούνατα, nullâ auctoritate, fallâque insuper ductus ratione; quod fem el aut bis λῦτο legisset. Verùm non vacat omnium Intemperias perstringere.

708. Αἴ γ' ἄλοι ἵπποι Ἀνδράσι γίγνονται) *Hesych.* Ἵππειοι· Ποσειδῶν, Φυσικῶς φασὶ διὰ τὸ λίγειν Ποιητὴν, αἴθ' ἄλοι ἵπποι Ἀνδράσι γίγνονται· Malè ibi λίγειν τὸ τῶν τ' αἰθαλόεις.

709. Πηλὸν ἐφ' ὑγρὴν) Vid. infrà, ad μ'. v. 369.

VARIÆ LECTIONES.

697. Αἲ γὰρ) γρ. αἴ γ'. *H. Steph.*
701. Νεισόμενον) γρ. νεισόμενον, & νεοσόμενον.
703. Αὐτῇ λύτο γούνατα) γρ. αὖ λῦτο τὰ γούνατα Vid. Not. ad *Textum.*

Ἦ ἵνα μηδ' ὄνομ' αὐτῆ ἐν ἀνθρώποισι λίπηται;
Τλῶν' ἠμείβετ' ἔπαιτα Μέδων, πεπνυμένα εἰδώς,
Οὐκ οἶδ', εἴπης μὲν θεὸς ἄρσεν, ἠέ τις αὐτῆ
Θυμὸς ἐφορμήθη ἴμεν ἐς Πύλον, ὄφρα πύθηται
Πατρὸς ἑοῦ, ἢ νόστον, ἢ ὄντινα πότμον ἐπέσπεν.
Ὡς ἄρα φωνήσας ἀπέβη κατὰ δῶμα Ὀδυσῆος.
Τλῶν δ' ἄχος ἀμφεχύθη θυμοφθόρον, οὐδ' ἄρ' ἔτ' ἔτλη
Δίφρῳ ἐφέζεσθαι, πολλῶν κατ' οἶκον ἐόντων·
Ἀλλ' ἄρ' ἐπ' οὐδοῦ ἷζε πολυκμήτου θαλάμοιο,
Οἴκτῳ ὀλοφυρομένη· τεῦχοι δ' ἀμφὶς μινύριζον
Πᾶσαι, ὅσαι κατὰ δῶμα ἔσαν νέαι ἠδὲ παλαιαί·
Τῆς ἀδινὸν χέουσα μετὰ σφίσι Πηνελόπεια,
Κλῦτε, φίλαι, πέρι γάρ μοι Ὀλύμπιοι ἄλγε' ἔδωκαν
Ἐκ πασέων, ὅσσαι μοι ὁμῶ τράφεν ἠδ' ἐγένοντο·
Ἦ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
Παντοίης ἀρετῆσι κεκασμένον ἐν Δαναοῖσιν,
Ἐσθλόν, τοῦ κλέος εὐρὺ κατ' Ἑλλάδα καὶ μέσον Ἄργος.
Νῦν δ' αὖ παῖδ' ἀγαπητὸν ἀνηρείψαντο θύελλαι
Ἀκλεᾶ ἐκ μεγάρων· ὃν δ' ὁρμηθέντα γ' ἄκουσα.
Σχέτλιαι, οὐδ' ὑμεῖς πω ἐνὶ φρεσὶ θέσθε ἑκάστη
Ἐκ λεχέων μ' ἀνεγεῖραι, ἐπισταμένη σάφα θυμῷ,
Ὅππότ' ἐκεῖνος ἔβη κοίλην ἐπὶ νῆα μέλαιναν.
Εἰ γὰρ ἐγὼ πυθόμην ταύτην ὁδὸν ὁρμαίνοντα,
Τῷ κε μάλ' ἢ κεν ἔμεινε, καὶ ἀσύμφορός περ ὁδοῖο,
Ἢ κέ με τεθνηκυῖαν ἐνὶ μεγάροισιν ἔλειπεν.
Ἀλλά τις ὀτρηρὸς Δολίον καλέσειε γέροντα,

" An ut ne quidem nomen ejus inter homines relinquatur?
Hanc alloquutus est deinde Medon, prudentia doctus,
" Haud scio, an aliquis ipsum Deus impulit, an & ipsius
" Animus impulsus est ire ad Pylum, ut audiat
" Patris sui, aut reditum, aut quonam fato interierit.
Sic ut que loquutus abiit per domum Ulyssis.
Hanc autem dolor circumfudit animum crucians, neque amplius sustinuit
In sella sedere, licet multæ in domo essent;
Verùm super limen sedebat elaborati thalami,
Miserabiliter lugens: circùm igitur ancillæ ejulabant
Omnes, quotquot in domo erant juvenes atque vetulæ:
Illas assiduò lugens alloquebatur Penelope,
" Audite, amicæ, supra modum enim mihi cœlites dolores dederunt
" Ex omnibus, quæcunque unà mecum nutritæ, atque natæ sunt:
" Quæ antèà quidem maritum bonum amisi animosum,
" Omnibus virtutibus ornatum inter Græcos,
" Eximium, cujus gloria lata per Græciam & medium Argos.
" Nunc rursus filium dilectum abripuerunt procellæ
" Inglorium ex ædibus, neque de abeunte audivi.
" Infelices, neque vos quidem in mente induxistis unaquæque
" E lectulo me suscitare, scientes manifestè in animo,
" Quando ille conscendit cavam navem nigram.
" Si enim ego scivissem istam profectionem molientem,
" Sanè statim aut mansisset, quantumvis festinans ad iter,
" Aut me mortuam in domo reliquisset.
" Sed aliquis famulus Dolium accersat senem,

Σχολια.

710. Λίπηται.] Καταλειφθείη.
712. Ἔρεξεν.] Παρώρμησεν.
713. Πύθηται.] Ἀκύμη, μαθῃ.
714. Ἔπέσπεν.] Ἐπλήρωσεν.
716. Θυμοφθόρον.] Βλαπτικὸν λογισμῶν.
717. Ἐφέζεσθαι.] Ἐπικαθίζεσθαι.
718. Πολυκμήτου.] Μετὰ πολλῶν κοπιάτων κατασκευασθέντος.
719. Οἴκτῳ.] Ἐλεεινῶς. Μινύριζον.] Ἡσύχως ἔκλαιον, ἐθρήνουν.
721. Ἀδινόν.] Ἀθρόως, ἀδινῶς.
724. Θυμολέοντα.] Ἀνδρεῖον, λεοντόθυμον.
725. Κεκασμένον.] Κεκοσμημένον.
728. Ἀκλεᾶ.] Ἄδοξον. Ὁρμηθέντα.] Ἐξελθόντες.
729. Σχέτλιαι.] Ἀγνώμονες, χαλεπαί. Θέσθε.] Ἀποθέσθε, φυσιουργήσατε.
732. Πυθόμην.] Ἤκουσα, ἔμαθον. Ὁρμαίνοντα.] Προθυμούμενον.
734. Ἔλειπεν.] Ἀφῆκε μᾶλλον.
735. Ὀτρηρός.] Ἔντιμος, Ὀτρηρῶς, Δραστικῶς, σπουδαίως. Δολίον.] Ὄνομα κύριον.

Variæ Lectiones.

727. Ἀνηρείψαντο θύελλαι) *pro.* ἀπηρτίσαν μοιρίδιαι, *H. Steph.* & *Florentin.* ut ε'. v. 18.
735. Ὀτρηρὸς) *pro.* ὀτρηρῶς, *Br. Schol.* & MS. *Aloysii*, Ὀτρηρῶς) Δραστικῶς.

Δμῶ-

Δμῶ' ἐμὸν, ὅν μοι ἔδωκε πατὴρ ἔπι δεῦρο κιόντι,
Καί μοι κῆπον ἔχῃ πολυδένδρεον· ὄφρα τάχιστα
Λαέρτῃ τάδε πάντα παρεζόμενος καταλέξῃ,
Εἴ δή πῦ τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφήνας,
740 Ἐξελθὼν λαοῖσιν ὀδύρεται, οἱ μεμάασιν
Ὃν ϗ' Ὀδυσῆα φθῖσαι γόνον ἀντιθέοιο.
Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια,
Νύμφα φίλη, σὺ μὲν ἄρ με κατάκτανε νηλεῖ χαλκῷ,
Ἢ ἔα ἐν μεγάρῳ· μῦθον δέ τι οὐκ ἐπιθύπω·
745 Ἤιδη ἐγὼ τάδε πάντα· πόρον δέ οἱ, ὅσσ' ἐκέλευσε,
Σῖτον ϗ μέθυ ἡδύ· ἐμεῦ δ' ἔλετο μέγαν ὅρκον,
Μὴ πρὶν σοὶ ἐρέειν, πρὶν δωδεκάτην τε γενέσθαι,
Ἢ σ' αὐτὴν πυθέσθαι, ϗ ἀφορμηθέντος ἀκοῦσαι·
Ὡς ἂν μὴ κλαίουσα χρὶ καλὸν ἰάπτῃς.
750 Ἀλλ' ὑδρηναμένη, καθαρὰ χροὶ εἵματ' ἑλοῦσα,
Εἰς ὑπερῷ' ἀναβᾶσα, σὺν ἀμφιπόλοισι γυναιξὶν,
Εὔχεο Ἀθηναίῃ, κούρῃ Διὸς Αἰγιόχοιο·
Ἣ γάρ κέν μιν ἔπειτα ϗ ἐκ θανάτοιο σαώσῃ.
Μὴ δ' γέροντα κάκα κεκακωμένον· οὐ γὰρ ὀΐω
755 Πάγχυ θεοῖς μακάρεσσι γενὴν Ἀρκεισιάδαο
Ἔχθεσθ'· ἀλλ' ἔπι πῦ τις ἐπέσσεται, ὅς κεν ἔχησι
Δώματά θ' ὑψερεφέα ϗ ἀπόπροθι πίονας ἀγροὺς.
Ὡς φάτο· τῆς δ' ὕπνῳ γόον, ᾠχέτο δ' ὅστε ῥόοιο.

" Mancipium meum, quem mihi dedi-
" pater huc eunti,
" Et mihi hortum fervat arboriferum;
" ut celerrime
" Laertæ hæc omnia aſſidens indi-
" cet;
" Si fortaſſe aliquod ille in mente con-
" ſilium commentus,
" Progreſſus apud populum deploret
" *de iis*, qui cupiunt
" Suam & Ulyſſis perdere prolem di-
" vini.
Hanc rurſus alloquuta eſt chara nu-
trix Euryclea,
" Domina chara, tu quidem me inter-
" fice crudeli ferro,
" Sive relinquas in ædibus, ſermonem
" certè *non* celabo:
" Novi ego illa omnia, præbui autem
" illi, quæcunque poſtulavit,
" Panem & vinum dulce; à me etenim
" exegit magnum juramentum,
" Non priùs tibi dicere, quàm duode-
" cimáque adeſſet *dies*,
" Aut tu ipſa deſiderares, & abiiſſe re-
" ſciſceres:
" Nè flens corpus pulchrum lædere-
" res.
" Verùm lota, puras corpori veſtes in-
" duens,
" In cœnaculum conſcendens, cum
" ancillis mulieribus,
" Supplica Palladi, filiæ Jovis Ægio-
" chi:
" Hæc enim ipſum tandem etiam ex
" morte ſervabit.
" Nè verò ſenem afflige afflictum;
" non enim exiſtimo
" Penitùs diis beatis ſobolem Arceſia-
" dæ
" Inviſam eſſe; ſed alicubi aliquis ſu-
" pererit, qui poſſideat
" Domos excelſas, & porrò-jacentes
" fertiles agros.
Sic ait: hujus autem ſedavit luctum;
cohibuit & oculos à luctu.

ΣΧΟΛΙΑ.

736. Κιόντι.] Πορευομένῳ.
737. Κῆπον ἔχῃ.] Νῦν αὐτὸ Ξ, ἐπιμελεῖται.
738. Καταλέξῃ.] Εἴπῃ ἐκφαῦλα.
739. Μῆτιν.] Σύνεσιν, βουλὴν, γνώμην, τέχνην, δόλον, ἀπάτην, ἢ Θ. Ὑφήνας.] Καταπλέξας.
740. Ὀδύρεται.] Ἀποκλαύσεται.
741. Φθῖσαι.] Διαφθεῖραι.
743. Κατάκτανε.] Ἄνελε, φόνευσον.
746. Ἕλετο.] Ἔλαβεν.
749. Ἰάπτῃς.] Διαφθείρῃς.
750. Ὑδρηναμένη.] Λουσαμένη, ὕδατι περιχυθεῖσα.
Ἑλοῦσα.] Λαβοῦσα, αὐτὶ Ξ ἐνδυσαμένη.
754. Κάκα.] Λύπῃ.
755. Γενὴν.] Γένος. Ἀρκεισιάδαο.] Πατρωνυμικῶς, Ξ Λαέρτου.
756. Ἔχθεσθ'.] Μισεῖσθ. Ἐπίσσεται.] Καὶ εἰς τὸ μέλλοντα οὕτω ἴσται.
757. Ὑψηρεφέα.] Ὑψηλόστεγα. Πίονας.] Τὰς παιόντας, τουτέστι λιπαρεῖς, πλουσίους ποιοῦσας τοὺς ἀνθρώπους.
758. Εὕνησεν.] Ἔπαυσεν, ἐκοίμισεν.

NOTÆ IN SCHOLIA.

743. Κατάκτανε) Ἄνελε, φόνευσον. Ità MS. *Aloyſii*. Olim, Κατάκτανε νηλεῖ) φόνευσον. Sciolus aliquis, τὸ ἄνελε, vertebat in νηλεῖ; cujus tamen nihil in Scholio δηλωτικόν.
757. Ὑψηλόστεγα, pro ὑψηλόπυργα, ex MSS. reſtituo.

VARIÆ LECTIONES.

741. Φθῖσαι) χρ. φθεῖσαι, MS. *Aloyſii*. *Al.* φθίσαι.
744. Δέ τι) χρ. δή τι.
745. Ἐκέλευσε) χρ. ἐκέλευσε, *H. Steph.*
747. Τὴ) χρ. ᾗ, *H. Steph.*
753. Σαώσῃ) χρ. σαώσει, *H. Steph.* in *Textu*, at non *Florentin.*

Ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵματ' ἑλοῦσα,
Εἰς ὑπερῷ' ἀνέβαινε σὺν ἀμφιπόλοισι γυναιξίν·
Ἐν δ' ἔθετ' ἀλφιτόεντας ἀνέμῳ, ἠρήσατο δ' Ἀθήνῃ,
Κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
Εἴποτέ τοι πολύμητις ἐνὶ μεγάροισιν Ὀδυσσεὺς
Ἢ βοὸς, ἢ ὄϊος πίονα μηρὶ ἔκηε,
Τῶν νῦν μοι μνῆσαι, καί μοι Φίλον ὧπα σάωσον,
Μνηστῆρας δ' ἀπάλαλκε κακῶς ὑβριοωρέοντας.
Ὡς εἰποῦσ' ὀλόλυξε· θεὰ δέ οἱ ἔκλυεν ἀρῆς·
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
Ὧδέ τις εἴπεσκε νέων ὑβριωρεόντων,
Ἦ μάλα δὴ γάμον ἄμμι πολυμνήστη βασίλεια
Ἀρτύνει· οὐδέ τι οἶδεν, ὅ οἱ φάος ὧκὺ τέτυκται.
Ὡς ἄρα τις εἴπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
Τοῖσιν δ' Ἀντίνοος ἀγορήσατο καὶ μετέειπε,
Δαιμόνιοι, μύθους μὲν ὑπερφιάλους ἀλέασθε
Πάντας ὁμῶς, μήπως τις ἐπαγγείλῃσι καὶ εἴσω.
Ἀλλ' ἄγε σιγῇ τοῖον ἀναστάντες τελέωμεν
Μῦθον, ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤρεσεν ἡμῖν.

Ipsa verò lota, puras corpori vestes induens,
In cœnaculum conscendit cum servis ancillis:
Impositumque molas canistro, supplicavitque Palladi,
" Audi me, Ægidem-tenentis Jovis filia indomita,
" Si unquam tibi versutus in ædibus Ulysses
" Aut bovis, aut ovis pingues coxas adolevit,
" Horum nunc memor sis & mihi charum filium serva:
" Procos verò averte malè superbientes.
Sic loquuta, ejulavit; dea autem illius audivit preces:
Proci verò tumultuabantur per atria obscura:
Atque ità aliquis dicebat juvenum superbientium,
" Profectò jam nuptias nobis à multis ambita Regina
" Apparat, neque ullo pacto novit, quòd filio cædes filio subornatur.
Sic certè quispiam dicebat: ea autem nesciebant, ut erant decreta.
Illis verò Antinous concionatus est & fatus,
" O improvidi, sermones quidem arrogantes fugite
" Omnes pariter; nè fortè quispiam annunciet etiam intùs.
" Sed agè silentio sic exurgentes perficiamus
" Consilium, quod jam etiam omnibus in mente placuit nobis.

Σ Χ Ο Λ Ι Α.

766. Ἀπαλάλκει.] Ἀποκώλυε. Ὑπερηφορίοντας.] Ὑπερίχοντας τῇ δυνάμει· σημαίνει δὲ καὶ ὑπερηφανεύεσθαι.

767. Ὀλόλυξεν.] Ὀλοφυρμὸν ἐφθέγξατο. Ἀρῆς.] Εὐχῆς.

768. Ὁμοδόησαν.] Ἐθορύβησαν. Ἀνὰ μέγαρα] Κατὰ τὰς οἰκίας.

770. Πολυμνήστη.] Ὑπὸ πολλῶν μεμνηστευμένη.

771. Ἀρτύνει.] Παρασκευάζει.

772. Οὐκ ἴσαν.] Οὐκ ἐγίνωσκον.

774. Δαιμόνιοι.] Μακάριοι, θαυμάσιοι. Ἀλέασθε.] Ἐκκλίνατε, φυλάξατε.

776. Σιγῇ τοῖον.] Μετὰ σιγῆς ὅπω. Τελέωμεν.] Τελειώσωμεν, πληρώσωμεν.

777. Ἤρεσεν.] Ἤρμοσεν.

N O T Æ.

767. Ὡς εἰποῦσ' ὀλόλυξε) De Voce ὀλολύζω, vid. ad γ'. v. 450. Extendum tamen, vel ex hoc loco, Vocem aliquandò ab *Homero* accipi, Modernorum more, pro *ejulavit*, ὀλοφυρμὸν ἐφθέγξατο, ut *Br. Sobol.* quod cùm etiam factum sit in *Batrachom.* v. 100. & *Anacreon*, v. 634. vix satis cautè videtur notâsse *Isaac. Casaubonus* ad locum, viz. *Batrachom.* v. 100. " *Homerus* hâc voce nunquam sic est usus: " Nec *Homeri* est hoc Carmen: nec ullius optimi " Poetæ; nedum *Homeri*. Certè in hoc loco, *Homerus* hâc voce sic est usus. Vix enim credibile est, *Penelopen* aliter se, in hâc tantâ animi acerbitate & angustiis gerere potuisse. *Eustathius* tamen aliter sentit, & credit eam etiam nunc *latiori* quâdam acclamatione, Pietatis ergò usam; undè Proci putabant illam Nuptiis tandem animum intendere. Et sanè Poeta dixit consolationem aliquam cepisse ex *Euryclea* verbis. ad v. 758. Τῆς δ' αὖτις γέον.

NOTÆ IN SCHOLIA.

766. Ὑπερηφορίοντας) Ὑπερίχοντας hanc solam vocem addo, ex MSS.

771. Ἀρτύνει) γρ. ἀρτύει, vid. ad *Var. Lect.*

Variæ Lectiones.

762. Κλῦθί μοι) γρ. κλῦθί μευ, *Dionys.* Halicarn. Vid. ad *Iliad. α'.* v. 37.

771. Ἀρτύνει) γρ. ἀρτύει, MSS. *Aloysii* & *GC.*

775. Μήπως τις) γρ. μήπω τις. *H. Steph.*

776. Τοῖον) γρ. τῷδε, *H. Steph.*

Ὡς

Ὣς εἰπὼν, ἐκέλευε· ἑείκοσι φῶτας ἀείρας
Βὰν δ' ἴέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
Νῆα μὲν ἂρ πάμπρωτον ἁλὸς βένθοσδε ἔρυσαν·
Ἐν δ' ἰστόν τ' ἐπίθεντο καὶ ἱστία νηὶ μελαίνῃ·
Ἡρτύναντο δ' ἐρετμὰ τροπῖς ἐν δερματίνοισι,
Πάντα κατ' μῖραν· ἀνὰ δ' ἱστία λευκὰ πέτασαν.
Τεύχεα δὲ σφιν ἔνεικαν ὑπέρθυμοι θεράποντες,
Ὑψοῦ δ' ἐν νοτίῳ τιθέμεν· ἐν δ' ἔβαν αὐτοί,
Ἐνθάδε δόρπον ἔλοντο, μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν.
Ἡ δ' ὑπερῴῃ ἀναβᾶσα πεφίδρων Πηνελόπεια
Κεῖτ' ἄρ' ἄσιτος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος,
Ὁρμαίνουσ', εἴ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων,
Ἦ ὅγ' ὑπὸ μνηστῆρσιν ὑπερφιάλοισι δαμείη.
Ὅσσα δ' μερμήριξε λέων ἀνδρῶν ἐν ὁμίλῳ
Δείσας, ὁππότε μιν δόλιον περὶ κύκλον ἄγωσι·
Τόσσα μιν ὁρμαίνουσαν ἐπέλλαβε νήδυμος ὕπνος·
Εὗδε δ' ἀνακλιθεῖσα· λύθεν δέ οἱ ἅψεα πάντα.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
Εἴδωλον ποίησε, δέμας δ' ἴκτο γυναικὶ
Ἰφθίμῃ, κεδνῇ μεγαλήτορος Ἰκαρίοιο·

Sic loquutus, elegit viginti viros optimos:
Festinabant verò proficisci ad navem velocem & littus maris.
Navem quidem principio maris in altum traxerunt:
Malum verò imposuerunt, & vela navi in nigra:
Aptabantque remos vertebris coriaceis,
Omnia ritè; sursumque vela alba expanderunt.
Arma verò ipsis tulerunt glorioſi famuli,
Et alte in humidum hanc statuerunt; ingressique sunt ipsi,
Illic cœnam sumpserunt, expectârunique hesperi adventum.
Cœnaculum verò cum conscendisset prudens Penelope,
Jacebat sanè jejuna, non gustans cibum, neque potum,
Cogitans, an mortem fugeret ejus filius inculpatus,
An ipse à procis impiis domitus foret.
Quàm multa autem cogitat leo virorum in turbâ,
Timens, cùm circà ipsum dolosum circulum, i.e. Rete, ducant:
Tam varia ipsam cogitantem corripuit dulcis somnus:
Dormiebat verò recumbens, solutæque sunt ei compages omnes.
Ibi tum alia excogitavit dea cæsia Minerva,
Idolum effinxit, corpore autem assimulatum erat mulieri
Iphthimæ, filiæ magnanimi Icarii:

ΣΧΟΛΙΑ.

778. Ἐκέλευε.] Ἐπέλεξε.
781. Ἐν δ' ἰστὸν ἐπίθεντο.] Πῶς, τῇ ἰδιοπάθειᾳ χρώμενοι; κόσμου χάριν.
782. Ἡρτύναντο.] Παρεσκευάσαντο. Ἐρετμά.] Κώπας. Τροπῖς δὲ δερματίνοισι.] Περιπαμφίους· δηλοῖ δὲ τοὺς τροπωτῆρας, οἷς αἱ κῶπαι πέπονθε καὶ τρῆσιν ἔχουσι τὰ ἱμάντια τῆς περιδιδομένους ταῖς κώπαις.
784. Ὑπερῴῃ.] Ἀνδρεώτιδι.
785. Ὑψοῦ.] Ἐν ὕψει, ἐν τῷ βαθυτέρῳ τόπῳ. Νοτίῳ.] Τῷ διύγρῳ· οἱ δὲ, εὐνοτίῳ, τῷ εὐδίους νότους τόπῳ. Ὥρμισαν.] Ἡσύχως ἐστάναι τὰ ναῦς ἐποίησαν. Ἔβαν.] Ἔβησαν, εἰσῆλθον.
786. Ἕλοντο.] Ἔλαβον. Ἕσπερον.] Τὸν ἑσπέριον.
788. Ἅπαστος.] Ἄμοιρος.
789. Ὁρμαίνουσα.] Λογιζομένη.
791. Ὁμίλῳ.] Πλήθει.
792. Δόλιον περὶ κύκλον.] Τὸ δίκτυον.
794. Ἅψεα.] Ἅψεα δὲ, μέλη φησὶν, ἀπὸ τῶν συνῆφθαι.
796. Εἴδωλον.] Φάσμα. Ἴκτο.] Ὅμοιον ἦν.
797. Ἰφθίμῃ.] Οὕτως ἐκαλεῖτο κυρίως ἡ ἀδελφὴ τοῦ Πηνελόπης. Ἄσιος δέ φησι, Κεφαλῆς τῆς Ἰκαρίου Μεδεσικάστης καὶ Πηνελόπειαν. Ἀνδρὸς ὃ * Δηϊπύλου λέγει.

NOTÆ IN SCHOLIA.

781. Ἐπίθεντο) MS. GC. & *Aloysii*, ἐπίθεντο. Cætera, ut Nos.
782. Σπέφονται, ità MSS. pro πίφονται.
785. Βαθυτέρῳ τόπῳ) Pro καπωτέρῳ τρόπῳ, emendo, ex MSS. & mox εὐνοτίῳ, unicâ voce.
792. Δόλιον περὶ κύκλον) Δίκτυον. Ità Oppian. Hal. l. I. v. 251. — ὑποχῆς περιηγέι κύκλῳ.
797. Ἄσιος δὲ) Hæc ex *Aloysii* MS. excepto, quòd: pro Δηϊπύλου, aliquid corruptum sit, * ὑπύλου. quod emendare ex *Eustathio* non licet; nec *Apollodoro*,

VARIÆ LECTIONES.

780. Νῆα μὲν ἂρ) γρ. νῆα μὲν ἔν, *H. Steph.*
781. Ἐν δ' ἰστὸν τ' ἐπίθεντο) γρ. εἰ δ' ἰστὸν τ' ἐπίθεντο, MSS. *Aloysii* & GC pro ἐπίθεντο.
784. Σφὶν ἔνεικαν) γρ. σφ' ἤνεικαν, *H. Steph.*
785. Ἐν νοτίῳ) γρ. εὐνοτίῳ, MSS. *Aloysii* & GC. item *Br. Schol.*
787. Ἡ δ' ὑπερῴῃ ἀναβᾶσα) γρ. ἡ δ' ὑπερῴῃσι κάτω. *Florentin.* & *H. Steph.*
793. Ἐπίλαβε) γρ. ἐπήλυθε, *H. Steph.*

Τὼ

Τὴν Εὔμηλος ὄπυιε, Φερῆς ἔνι οἰκία ναίων.
Πέμπε δέ μιν πρὸς δώμαθ' Ὑακινθίου θείοιο,
Εἴπως Πηνελόπειαν ὀδυρομένην γοόωσαν
Παύσειε κλαυθμοῖο, γόοιό τε δακρυόεντος.
Ἐς θάλαμον δ' εἰσῆλθε θοὸν κληῖδος ἀμάρτῃ,
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν,
Εὕδεις, Πηνελόπεια, φίλον τειρομένη κῆρ;
Οὐ μέν σ' ὧδε ἐῶσι θεοὶ ῥεῖα ζώοντες
Κλαίειν, οὐδ' ἀχαχῆσθαι, ἐπεί ῥ' ἔτι νόστιμός ἐστι
Σὸς παῖς· οὐ μέν γάρ τι θεοῖς ἀλιτήμονός ἐστιν.
Τὴν δ' ἠμείβετ' ἔπειτα πολύφρων Πηνελόπεια,
Ἦδυ μάλα κνώσσω ὑπ' ὀνειρείῃσι πύλῃσι,
Τίπτε, κασιγνήτη, δεῦρ' ἦλυθες; οὔπω πάρος γε
Πωλέαι, ἐπεὶ μάλα πολλὸν ἀπὸ πρόθεν δώματα ναίεις·
Καί με κέλῃ παύσασθαι ὀϊζύος, ἠδ' ὀδυνάων
Πολλέων, αἵ μ' ἐρέθουσι κατὰ φρένα καὶ κατὰ θυμόν·

Quam Eumelus duxerat, in Pheris domo habitans.
Misit igitur hanc *Minerva* ad domum Ulyssis divini,
Si quo pacto Penelopen lamentantem, lugentem,
Compesceret à luctu fletúque lachrymoso.
In thalamum verò ingressa est ad ferè lorum;
Stetitque supra caput, & ipsam sermone alloquuta est,
" Dormis, Penelope, charo afflicta corde?
" Nequaquam te sinunt dii facilè viventes
" Flere, neque tristem esse; quoniam adhuc rediturus est
" Tuus filius: nequaquam enim Diis obnoxius est.
Hanc excepit prudens Penelope,
Valdè suaviter dormiens in somniorum portis,
" Cur, ò soror, huc venisti? non antèà quidem
" Invisebas, quandoquidem valdè procul domum habitas:
" Et me jubes cessare ærumnâ atque doloribus
" Plurimis, qui me irritant in mente & animo:

ΣΧΟΛΙΑ.

798. Φερῆς.] Ἐν ταῖς Φεραῖς. Φηραὶ γὰρ πόλις τῆς Μεσσηνίας· Φεραὶ δὲ τῆς Θετταλίας, ὡς εἰρηται. Εὔμηλος δὲ Ἀδμήτου καὶ Ἀλκήστιδος. Ἄδμητος δὲ ὁ Φέρητος, ἀφ' οὗ καὶ τῇ πόλει ὄνομα.

801. Δακρυόεντος.] Δακρύων ποιητικῶς.

802. Παρὰ κληῖδος ἰμάρτῃ.] Ἀντὶ τοῦ ἀφ' ἧς ἡ κλεὶς ἁρμόττει, ἢ τις ἁρμόττει εἶχε παρὰ τὸ κλειθρον.

804. Τειρομένη.] Λελυπημένη.

805. Ῥεῖα ζώοντες.] Ῥᾳδίως καὶ ἀπόνως ζῶντες.

806. Νόστιμός ἐστι.] Ἐλπίζων ἀνακομισθήναι καὶ σωθῆναι.

807. Ἀλιτήμονός ἐστιν.] Ἡμαρτηκὼς, ἢ ἡμαρτημένος.

809. Κνώσσουσα.] Κοιμωμένη. Ἐν ὀνειρείῃσι πύλῃσιν.] Ἐν τῷ βάθει δὲ ὕπνου· ἀφ' ἧς τάττει ὄνειρον.

810. Τίπτε;] Τί δή; Κασιγνήτη.] Ἀδελφή. Ἦλυθες.] Ἦλθες.

811. Πωλέαι.] Παραλέγει, ἀναιρίφει. Ἀπόπροθεν.] Πόρρωθεν. Ναίεις.] Οἰκεῖς.

812. Ὀϊζύος.] Ταλαιπωρίας, κακοπαθίας.

813. Ἐρεθίζουσι.] Ἐρεθίζουσιν.

NOTÆ.

811. Πωλέαι) Pro πωλέαι. Vid. Not. in *Textum* ad β'. v. 202. ubi μυθέαι. & hic MS. παρεξύνῃ τὸ πωλέαι, quod cùm video *Eustathium* defendere, item facio, ut loco præd.

NOTÆ IN SCHOLIA.

nec alius, quod sciam, verum nomen hujus *Penelopæ* Sororis profert, præter quod *Asius* dicat & *Andron* imperfectè referat. At hæc *Icarii* Genealogia. *Jupiter*, ex *Taygetâ*, *Atlantis* & *Pleionæ* filiâ *Lacedæmona* genuit. Hic ex *Spartâ*, *Eurotæ* f. *Amyclam*; qui ex *Diomedâ*, *Lapithæ* f. *Cynortam* & *Hyacinthum*. *Cynortæ* filius *Perieres*, qui ex *Gorgophonâ Perfei* f. genuit *Oebalum*. Is ex nymphâ *Naiade*, *Bateâ*, *Icarium*, *Aphareum* & *Leucippum*. *Icarius*, ex *Periboeâ*, *Naiade* nymphâ, *Thoantem*, *Damasippum*, *Imeusimum*, *Aletem*, *Perilaum*, filios & *Penelopen*, atque *Iphthimam*, vel ut alii *Medon* & *Deipylen*, filios.

798. Φερῆς) Hoc *Scholion*, quòd *Messeniam* nihil ad *Thessaliam* pertinere scirem, ex *Strabone*, *Stephano* περὶ πόλεων, *Pausania*, & *Eustathio* concinnavi. Nihil enim hic MSS. nisi quòd *Aloysius* lacunam videtur agnoscere.

811. Πωλέαι) MS. παρεξυνῃσῖ. Vid. Not. in *Textum*.

VARIÆ LECTIONES.

802. Ἐς θάλαμον) γρ. εἰ θάλαμον, *H. Steph.* errore *Preli*, at *Elzevir.* εἰ &c.

811. Πωλέαι) γρ. πωλεῖ, Vid. Not. in *Textum*, pro πωλέαι, aut πωλεῖο pro πωλεῖσο.

Ἦ μὲν μὴ πάσιν ἑταῖρον ἀπώλεσα θυμολέοντα,
Παντοίης ἀρετῆσι κεκασμένον ἠδὲ Δαναοῖσιν,
Ἑταῖρ· ὃν κλέος εὐρὺ κατ' Ἑλλάδα καὶ μέσον Ἄργος.
Νῦν δ' αὖ παῖς ἀγαπητὸς ἔβη κοίλης ἐπὶ νηὸς
Νήπιος, ὅτε πόνων εὖ εἰδὼς, ὅτ' ἀγορᾶων.
Τοῦ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι, ἢ περ ἐκείνου·
Τοῦ γ' ἀμφιτρομέω καὶ δείδια, μή τι πάθῃσιν
Ἢ ὅγε, τῶν σὺ δήμῳ, ἵν' οἴχεται, ἢ σὺ πόντῳ·
Δυσμενέες γὰρ πολλοὶ ἐπ' αὐτῷ μηχανόωνται,
Ἰθμῆνοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἰκέσθαι.
Τὸν δ' ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρὸν,
Θάρσει, μηδέ τι πάγχυ μοι φρεσὶ δείδιθι λίην·
Τοίη γάρ τοι πομπὸς ἅμ' ἕρχεται, ᾗ τε καὶ ἄλλοι
Ἀνέρες ἠήσαντο παρεστάμεναι, δύνατ' ἀλκῇ,
Παλλὰς Ἀθηναίη· σὲ δ' ὀδυρομένῳ ἐλεαίρει·
Ἦ νῦν μοι προέηκε, τέων τάδε μυθήσασθαι.
Τὸν δ' αὖτε προσέειπε πολύφρων Πηνελόπεια,
Εἰ μὴ δὴ θεός ἐσσι, θεοῦ τε ἔκλυες αὐδῆς,
Εἴ δ' ἄγε μοι καὶ κεῖνον ὀιζυρὸν καταλέξον,
Εἴπου ἔτι ζάει, καὶ ὁρᾷ φάος ἠελίοιο,

" Quæ antè quidem maritum bonum amisi magnanimum,
" Omnibus virtutibus ornatum, inter Græcos,
" Eximium; cujus gloria lata per Græciam & medium Argos.
" Nunc rursus filius dilectissimus abiit cavâ in nave
" Pupilius, neque laborum probè gnarus, neque concionum.
" Hujus causâ jam ego etiam magis lugeo, quàm illius:
" Ob hunc undique tremisco & timeo, ne quid patiatur
" Aut ipse ab aliquo illorum in populo, quò abiit, aut in ponto.
" Hostes enim multi in ipsum insidias struunt,
" Cupientes occidere; antequam ad patriam terram veniat.
Hanc respondens alloquutum est simulachrum obscurum,
" Confide, neque prorsus in mente timeas tantopere:
" Talis enim comes unà sequitur, quam etiam alii
" Viri optârint adesse, pollet enim,
" Pallas Minerva: te verò lamentantem miseratur;
" Quæ nunc me præmisit, tibi hæc ut dicerem.
Hanc rursus alloquuta est prudens Penelope,
" Si quidem tu dea es, deæque audivisti vocem,
" Agè mihi & illum ærumnosum enarra,
" Num alicubi adhuc vivat, & videat lumen solis,

Σ Χ Ο Λ Ι Α.

814. Πάσιν.] Ἀνδρ.
818. Νήπιον.] Νῦν ὁ πραγμάτων ἄπειρον, ἢ μικρόν. Εὖ εἰδὼς.] Ἀκριβῶς ἐπισάμενον.
820. Τρομεω.] Τρέμω. Δείδια.] Φοβοῦμαι, εὐλαβοῦμαι.
821. Ἴνα.] Ὅπου.
822. Μηχανόωνται.] Ἐπιτοῦσιν.
823. Ἰθμῆνοι.] Προσῳκοδόμησαν.
824. Ἀμαυρὸν.] Τὸ μὴ βλεπόμενον· οἱ δὲ, τὸ ἄρτι πᾶς αὔρας φερόμενον, ἀόριστον.
825. Δείδιθι.] Φοβοῦ.
826. Πομπὸς.] Παραπέμπουσα, ὁδηγός.
829. Τεὸν.] Σοί.
832. Εἰδ' ἄγε.] Ἄγε δή.

N O T Æ.

820. Τοῦ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι, ἢ περ ἐκείνου) *Spondanus* hîc, licet impensum Matris amorem agnoscat, non tantam tamen in uxore Reverentiam putat hîc offendi, quantam apud Nos Dei jussu convenit; quanquam *Penelopæ* dolorem super *Ulyssis* absentia tempore penè deletum, aut certè imminutum concedat; ut hîc recens de *Telemacho* conceptus dolor esset gravior. Verùm multæ aliæ sunt rationes, quas licet Poeta expresserit, ille satis non attendebat; *Ulyssem* nempè Periculis obeundis magis esse idoneum, hunc prorsus inexpertum, v. 818. Νήπιον, ἔτι πόνων εὖ εἰδὼς, ὅτ' ἀγορᾶων. Illum in dubia belli pericula ferentem se misisse, hunc in certam perniciem, inscium & ignarum, v. 822. Δυσμενέες γὰρ πολλοὶ ἐπ' αὐτῷ μηχανόωνται, &c. Verùm nescio, an ipsæ etiam nostræ Literæ majorem inter Conjuges charitatem expetant, quam inter *Ulyssem* & *Penelopen* facit Poeta: Certè rarò nobis similem vidisse contigit. Hæc, ne optimo Poetæ justa desit Defensio; quoniam nihil hîc *Eustathius*.

NOTÆ IN SCHOLIA.

820. Δείδια) Hæc ex utroque MS.

VARIÆ LECTIONES.

820. Ἀμφιτρομέω) γρ. ἀμφὶ τρομέω, *Br. Schol.* & MS. *Aloysii.*
821. Ἐνὶ δήμῳ) γρ. ἐν δήμῳ.
826. Ἅμ' ἕρχεται) γρ. ἅμ' ἕσπεται, *H. Steph.*

Ἦ

Ἦ ἤδη τέθνηκε, καὶ εἰν ἀίδαο δόμοισι.
Ἰλύϊ' ἀπαμειβόμενον θεοειδέα εἴδωλον ἀμαυρὸν,
Οὐ μάν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω,
Ζάλῃ ὅγ', ἢ τέθνηκε· κακὸν δ' ἀνεμώλια βάζειν.
Ὣς εἰπὼν, σαθμοῖο θοὴν κληῖδα λιάδῃ
Ἐς πνοιὰς ἀνέμων· ἡ δ' ἐξ ὕπνου ἀόρουσε
Κούρη Ἰκαρίοιο· Φίλον δέ οἱ ἦτορ ἰάνθη,
Ὡς οἱ σαργὲς ὄνειρον ἐπέστυλο νυκτὸς ἀμολγῷ.
Μνησῆρες δ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
Τηλεμάχῳ Φόνον αἰπὺν σὺν Φρεσὶν ὁρμαίνοντες.
Ἔστι δέ τις νῆσος μέσῃ ἁλὶ πετρήεσσα,
Μεσσηγὺς Ἰθάκης τὲ Σάμοιό τε παιπαλόεσσης,
Ἀστερὶς, ἠ μεγάλη· λιμένες δ' ἔνι καύλοχοι αὐτῇ
Ἀμφίδυμοι· τῇ τόν γε μένον λοχόωντες Ἀχαιοί.

" An jam mortuus est & in Plutonis ædibus.
Hanc respondens alloquutum est idolum obscurum,
" Non quidem tibi illum identidem inculcabo,
" Vivat ille an mortuus est; turpe verò vana loqui.
Sic dicens, Januæ apud seram evanuit
In flatus ventorum; ipsa verò ex somno excitata est
Filia Icarii; charum autem illi pectus refloruit,
Adeò ipsi evidens somnium ingruerat nostris in conticinio.
Proci verò conscendentes navigabant humidas vias,
Telemacho cædem certam in mente meditantes.
Est verò quædam insula medio mari petricosa,
Inter Ithacámque Samúmque asperam,
Asteris, non magna; portus quidem navibus apti in ipsâ
Ab utroq; latere introitū habentes, ibi hunc expectabant insidiantes Achi.

Σ Χ Ο Λ Ι Α.

834. Τέθνηκεν.] Ἀπέθανεν. Εἰν ἀίδαο.] Ἐν ᾅδου.

836. Διλωκίως.] Σαφῶς, ἀκεραίως, ἴσως τέλως, τὰ πάντα.

837. Ἀνεμώλια.] Μάταια. Βάζειν.] Λέγειν.

838. Σταθμοῖο.] Τῆς παρασκάδος. Κληῖδα.] Τὸν κλεῖθρον. Λιάδῃ.] Ἐλύθη, ἐχωλεύθη.

840. Ἰάνθη.] Εὐφράνθη.

841. Ἐναργὲς.] Φανερόν. Νυκτὸς ἀμολγῷ.] Ἐν τῇ δὲ μεσονυκτίᾳ ὥρᾳ· καὶ ἔστι καθὸ τὸ ἔτυμον, ὅτι ἀμολγὸς, καθ' ἣν ὥραν συμβαίνει μὴ ἀμίλλας ζῶα· ἢ καθὸ ἀφαίρεσιν δὲ γ ἀμολγὸς, καθ' ἣν ὥραν ὑδὶς μολίσκῳ, ὅ ἐστι βαδίζει· ἢ κατὰ ἀφαίρεσιν δὲ λ ἀμολγὸς, καθ' ἣν ὥραν ὑδὶς μολεῖ, ὅπερ ἐστὶ καθεύδει, ἀπὸ τῆς ἀναπαύσεως· παῦται ἡ πάντα εἰς τὴν δὲ μεσονυκτίαν ὥραν καταφέρει.

842. Ὑγρὰ κέλευθα.] Τὴν ἁλὸς θαλάσσης ὁδόν.

844. Μέσῃ ἁλί.] Ἐν μέσῃ τῇ θαλάσσῃ. Πετρήεσσα.] Πετρώδης, τραχεῖα.

846. Ἀστερὶς.] Ὄνομα νήσου κειμένης μέσον Ἰθάκης καὶ Σάμου. Καύλοχοι.] Ἐν οἷς αἱ νῆες λοχῶσαι καὶ ἐνεδρεύσασαι λαθεῖν δύνανται· ἢ οἱ τὰς ναῦς ὑποδεχόμενοι τόποι.

847. Ἀμφίδυμοι.] Ἀμφοτέρωθεν εἰσδύσεις, τουτέστιν ἐξ ἑκατέρου μέρους, ἔνθα καὶ ἔνθα εἰσοδους ἔχοντες· ἢ διπλοῦς. Τῇ.] Ἐκεῖ. Λοχόωντες.] Ἐνεδρεύοντες. Ἀχαιοί.] Οἱ μνηστῆρες.

N O T Æ.

838. Ὣς εἰπὼν, σταθμοῖο) Ità audacter *Textum* ipsum emendavi, in quo hactenùs εἰπὰν obtinuit: De *Mulieris* enim εἰδώλῳ dictum, de quo bis suprà, ad v. 824. & 835. Τήνδ' ἀπαμειβόμενον θεοειδέα εἴδωλον ἀμαυρόν. Quod si per ᾗμοι, ἢ τὸ σημαινόμενον de *Sorore*, vel de *Pallade* intelligatur (de Nemine autem alio sumi potest) tunc esset εἰποῦσα; quod minimè hic stabit; quare εἰπὼν restituendum censeo.

NOTÆ IN SCHOLIA.

838. Ἐλύθη) MS. *Aloysii*, ἐκλείθη. MS. *GC.* ἐκλίθη. Impressi Codd. ἐκλύθη, quod pro ἐξελύθη. Ex omnibus, ἐλύθη, scribo.

846. Ἀστερὶς) *Steph.* ἢ πόλεων, v. Ἀστερία. Μεταξὺ Κεφαλληνίας καὶ Ἰθάκης &c. *Apollodorus* Portum hìc novit, suo tempore, & urbiculam, cui nomen *Alalcomenæ*, aut, ut *Stephanus*, Alcomenæ; ubi Templum *Minervæ*. Pertinebat autem *Asteris* ad *Ithacam*. Vid. *Strabon.* l. x. fol. 700. &c.

Variæ Lectiones.

837. Εἰπὼν) γρ. εἰπὰν, in Prioribus, malè; ut in Not. ad *Textum*.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ
ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ε΄.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ε.

Ἐκκλησίαν τῶν θεῶν δευτέραν ποιησάμενος ὁ Ζεὺς, Ἑρμῆν πέμπει ἐπὶ Καλυψὼ, κελεύων ἀπιέναι τὸν Ὀδυσσέα· ᾧ δὴ τὸ κελευσθὲν ποιεῖ τῇ δ΄ ὀκτωκαιδεκάτῃ ἡμέρᾳ ἰδὼν αὐτὸν ὁ Ποσειδῶν, καὶ χαλεπήνας, λύει τὸν σχεδίαν. Ἰνὼ δὲ αὐτῷ δίδωσι κρήδεμνον, σὺν ἐπιλαμβάνει ἐπιβάντα τῆς γῆς ἀπορίψαι αὐτὸ· καὶ πολλὰ παθὼν, εἰς τὴν τῶν Φαιάκων χώραν ἔρχεται διασωθείς.

Ἐπιγραφαί.

Ἀπόπλους, ἢ Ἀνάπλους, Ὀδυσσέως παρὰ Καλυψοῖ.

Ἄλλως.

Καλυψοῦς ἄπεφις· Ὀδυσσέως σχεδία· ἢ, τὰ περὶ τὴν σχεδίαν.

Ἄλλως.

Ε, πλεῖ ἐπὶ σχεδίης Ὀδυσεὺς πόντῳ κεκαδείσης. LIB. V.

Ἦως δ΄ ὀρ. λεχέων παρ΄ ἀγαυοῦ Τιθωνοῖο
Ὄρνυθ΄, ἵν΄ ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν·
Οἱ δὲ θεοὶ θῶκόνδε καθίζανον, ὀρ δ΄ ἄρα τοῖσι
Ζεὺς ὑψιβρεμέτης, ὃ τε κράτος ἐστὶ μέγιστον.
Τοῖσι δ΄ Ἀθηναίη λέγε κήδεα πόλλ΄ Ὀδυσῆος,
Μνησαμένη· μέλε γάρ οἱ ἐὼν ὀν δώμασι νύμφης.
Ζεῦ πάτερ, ἠδ΄ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Μήτις ἔτι πρόφρων, ἀγανὸς καὶ ἤπιος ἔστω
Σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδὼς,

AUrora autem ex lecto ab generoso Tithono
Surrexerat, ut immortalibus lumen ferret, atque mortalibus:
Ipsi verò dii ad conseſſum conſederant, inter illos præcipuè
Jupiter altitonans, cujus potentia eſt maxima:
Illis quidem Pallas recenſebat ærumnas multas Ulyſſis,
Memor *ejus*: curæ enim illi erat cùm eſſet in domo Nymphæ.
" Jupiter, *inquit*, pater, atque alii beati dii ſemper exiſtentes,
" Nullus amplius benignus, mitis & manſuetus ſit
" Sceptriter rex, neque mente pia *opera* cogitans,

ΣΧΟΛΙΑ.

Τιθωνοῖο.] Τιθωνὸς, Λαομέδοντος παῖς, Πριάμου ἀδελφὸς, Ἠὼς ἀνήρ. ὁ Ἐνδυμίων λέγεται συνδυάσαι τῇ Σελήνῃ, καὶ ὁ Τιθωνὸς τῇ Ἡμέρᾳ· ἀλλαγῆναι δὲ τοῦτο ἢ ἔτος· ὁ Ἐνδυμίων, εἰς ἅιδου κωμήσας, καὶ τῇ μὲν νυκτὶ κοιμώμενον, τῇ δὲ ἡμέρᾳ ὠδὶ ποσῶν, ἀφ΄ οὗ ἠχολήσε τοῦ κωμάσαι· ὁ δὲ Τιθωνὸς, εἰς ἀγρὸν ὁρμῶν, ἐν τῇ μὲν ἡμέρᾳ κοιμώμενον, τῇ δὲ νυκτὶ ἐπαγρυπνοῦντα, ἀφ΄ οὗ ἠχολήσε τοῦ ὕπνου. 3. Θωκόνδε.] Εἰς συνέδριον. 6. Μνησαμένη.] Ὑπομνησθεῖσα. Μέλε.] Διὰ φροντίδος ἦν. 8. Ἤπιος.] Πρᾶος, ἥμερος.

NOTÆ.

V. 1. Τιθωνοῖο) *Mythologi* volunt, Hunc Uxorem ex Oriente duxiſſe, & Urbem *Suſa*, ad *Choaſpen*, ſive *Eulæum*, condidiſſe; quod alii filio ejuſdem *Memnoni* tribuunt, ut *Pauſan.* Attic. vid. *Eſther.* v. 70.

Ἀλλ' αἰεὶ χαλεπός τ' εἴη, καὶ αἴσυλα ῥέζοι·
Ὡς ὔπις μέμηλε Ὀδυσσῆϊ θείοιο
Λαῶν, οἷσιν ἄνασσε, πατὴρ δ' ἦν ἵλαος ἦεν·
Ἀλλ' ὁ μὲν ἤδη κεῖται ἀκάματα πάσχων,
Νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἣ μιν ἀνάγκη
Ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι,
Οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Νῦν αὖ παῖδ' ἀγαπητὸν ἀπὸ κλυτὸν ἐμμεμάασιν,
Οἴκαδε νεισόμενον· ὁ δ' ἕρκεα μὴ πατρὸς ἀκουὴ

"Sed semper durus esto, & injusta perpetret:
"Ita nemo memor est Ulyssis divini,
"Civium, quibus præfuit, ut pater tutus lenis esset.
"Sed ille quidem in insulâ jacet: graves dolores patiens,
"Nymphæ in ædibus Calypsûs, quæ ipsum necessitate
"Detinet; hic verò non potest suam in patriam terram venire:
"Non enim ei adsunt naves remis-instructæ & socii,
"Qui ipsum deducant super lata dorsa maris.
"Nunc rursum filium dilectissimum occidere cupiunt
"Domum revertentem; ille verò abiit post patris famam
"Ad Pylum divinam, atque ad Lacedæmona claram.
Hanc excipiens allocutus est nubicoga Jupiter,
"Filia mea, quale tibi dictum excidit septum dentium?
"Annon jam hoc quidem consultâsti consilium tu ipsa,
"Ut planè illos Ulysses ulciscatur reversus?
"Telemachum quidem tu deduc accuratè, potes enim,
"Ut illæsus suam in patriam terram veniat;
"Proci verò in nave retrò iter-relegant.
Dixit fanè, & Mercurium, dilectum filium, alloquebatur,
"Mercuri, tu etenim in aliis mandatis es,
"Nymphæ pulchricomæ dicito firmum *nostrum* decretum,

ἐκλύσειε, πόρῃσι δὲ πολλὰ καὶ ἐσθλά.
Τηλέμαχον δ' οὐκ ἔστι κακὸν μόρον ἐξαπαφεῖν,
Ὡς κε μάλ' ἀσκηθὴς ἵκηται πατρὸς ἐς αἶαν ἐλθών·
Μνηστῆρες δ' εἰν νηῒ παλιμπετὲς ἔπλεον οἶκον.
Ἦ ῥα, καὶ Ἑρμείαν, * υἱὸν Φίλον, ἀντίον ηὔδα,
Ἑρμεία, σὺ γὰρ αὖτε τά τ' ἄλλα πέρ ἀγγέλους ἐσσι,
Νύμφῃ εὐπλοκάμῳ εἰπεῖν νημερτέα βουλήν,

"Ita ut ille solvat, dabuntque multa & bona.
"Telemachum autem non est malum fatum effugere,
"Quin quàm maximè illæsus veniat patris in terram postquam venerit:
"Proci verò in navi retrò iter-relegant domum.
Dixit, & Mercurium, filium Philum, adversùs dicebat,
"Mercuri, tu enim & cætera quidem nuntius es,

Σ Χ Ο Λ Ι Α.

10. Αἴσυλα.] Παράνομα, καὶ ἁμαρτωλά.
15. Ἴσχει.] Κατέχει, κωλύει.
16. Πάρα.] Πάρεισιν.
19. Ἀκουὴ.] Φήμη.
20. Δῖαν.] Μεγάλην.
23. Οὐ γὰρ δή.] Οὐ τοῦτο; ἐν ἑαυτῇ ἐσφυνκτίον. Ἐξέλυσας.] Ἐβουλεύσω, ἐσκέψω.
24. Ἀποτίσεται.] Τιμωρήσεται.
25. Ἐπισταμένως.] Ἐπιστημόνως.
26. Ἀσκηθής.] Ὑγιὴς, ἐξ ἐπιμελείας.
27. Παλιμπετὲς.] Ἐξ ὑποστροφῆς, εἰς τὰ ὀπίσω.
28. Νῆα.] Ἕλκυσον.
30. Εἰπεῖν.] Ἀντὶ δὲ τοῦ. Ταλασίφρονα.] Καρτερικῶς.

N O T Æ.

24. Ἀποτίσεται) Ità pro ἀποτίσεται, ut malè hactenùs in pluribus script. cùm prior Naturâ sit longa, nec σ'. duplex esse debeat. & ità *Florentin.* & *Roman.* & aliàs hæc Vox plus vicies, cum simplici σ'. scribitur.

27. Ἀπτολίεθρον) Vid. ad *Iliad.* β'. v. 113.

28. * Υἱὸν φίλον) Ità pro φίλον υἱὸν, scribo, quod malè hactenus obtinuit in omnibus; *Metri* caussâ.

NOTÆ IN SCHOLIA.

V. 10. Αἴσυλα) Olim καὶ αἴσυλα ῥέζοι, ex *Textu*; cum verò redderetur nihil ad καὶ & ῥέζοι, istas voces rejeci, nec sine MSto *Alosii*. Vid. ad *Var. Lect.*

VARIÆ LECTIONES.

V. 10. Αἴσυλα) κρ. ἀήσυλα, ut *Iliad.* ϛ'. v. 876. & *Hesych.* Ἀήσυλα) Παράνομα, ἁμαρτωλὰ, ἐ κακοήθεις. Vid. Not in *Textum.*

18. Ἀποκπίναι) κρ. ἀπικτίμεναι.

24. Ἀποτίσεται) κρ. ἀπτίσεται), *Lovan. H. Steph.*

27. Ἀπτολίεθρον) κρ. ἀπτίον), *Seberi* Index, *Florentin. Lovan.*

28. Υἱὸν φίλον ἀντίον) κρ. φίλον υἱὸν ἀντίον. Vid. Not. in *Textum.*

Νόστου

Νόστον Ὀδυσσῆος ταλασίφρονος, ὡς κε νέηται,
Οὔτε θεῶν πομπῇ, ὅτε θνητοῖσ ἀνθρώποις,
Ἀλλ' ὅγ' ἐπὶ σχεδίης πολυδέσμου πήματα πάσχων
Ἤματί κ' εἰκοστῷ Σχερίῃ ἐρίβωλον ἵκοιτο,
Φαίηκων ἐς γαῖαν, οἱ ἀσχίθεοι γεγάασιν·
Οἵ κέν μιν θεὸν ὣς κῆρι, θεὸν ὡς, τιμήσουσιν,
Πέμψουσιν δ' ἐν νηῒ φίλῃ ἐς πατρίδα γαῖαν,
Χαλκόν τε χρυσόν τε ἅλις, ἐσθῆτά τε δόντες,
Πολλ', ὅσ' ἂν δὴ ποτ' Ὀδυσσεὺς Τροίης ἐξήρατ' ἀέθλων,
Εἴ οἱ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ λῆδος ἅπασαν.
Ὡς γάρ οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον, καὶ ἑὴν ἐς πατρίδα γαῖαν.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε διάκτορος Ἀργοφόντης·
Αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Ἀμβρόσια, χρύσεια· τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο.
Εἵλετο δ' ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλῃ, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.
Τὴν μὲν χερσὶν ἔχων πέτετο κρατὺς Ἀργειφόντης,
Πιερίην δ' ἐπιβὰς, ἐξ αἰθέρος ἆμπεσε πόντῳ.
Σεύατ' ἔπειθ' ἐπὶ κῦμα, λάρῳ ὄρνιθι ἐοικώς,

" Reditum Ulyſſis patientis; ut redire queat,
" Neque deorum ductu, neque mortalium hominum,
" Sed ipſe in rate colligatâ dolores patiens
" Die viceſimâ ad Scheriam fertilem perveniat,
" Phæacum ad terram, qui propinqui dius ſunt:
" Qui ipſum animo, deum veluti, honorabunt,
" Mittentque in navi charam in patriam terram,
" Æſque aurúmque abundè, veſtémque exhibentes,
" plurima, quanta nunquam ex Trojâ ſuſtuliſſet Ulyſſes,
" Etiamſi indemnis veniſſet, portionem ex prædâ ſortitus.
" Sic enim ei fatum eſt amicoſque videre, & pervenire
" Domum ad excelſam, & ſuam in patriam terram.
Sic ait; neque non-obedivit internuncius Mercurius:
Statim deinde pedibus ſubligavit pulchra talaria,
Immortalia, aurea, quæ ipſum ferebant ſive per mare,
Sive per immenſam terram, pariter cum flamine venti:
Cepit etiam virgam, quâ virorum oculos demulcet,
Quorumcunque vult, alioſque rurſus ſopitos excitat.
Hanc in manibus tenens delabitur fortis Mercurius,
Et Pieriam ſupergreſſus, ex æthere incidit in mare.
Feſtinabat deinde ſuper fluctus, laro avi ſimilis,

ΣΧΟΛΙΑ.

32. Οὔτε θεῶν πομπῇ.] Οὐδενὸς θεῶν παρεμπίπτοντος. Πομπῇ] Παρακομιδῇ.

33. Σχεδίης.] Λεπτῆς, οἷας τ' αὐτοσχεδίως πεχθείσης. Πολυδέσμου.] Πολλοῖς ἐμπεπηγμένης δεσμοῖς.

34. Ἤματι.] Ἡμέρᾳ. Σχερίῃ.] Σχερία ὠνομάσθη ἡ νῆσος ἡ Φαιάκων· τὸ δὲ μὴ πάντα ὠνόμασται Κερκύρα· τὸ δὲ ἀρχαιότατον ὠνομάσθη Δρεπάνη. Ἐρίβωλον.] Μεγαλόβωλον, εὔγειον.

35. Ἀσχίθεοι.] Ἤτοι κεχωρισμένοι εἰσὶν ἀπὸ Ποσειδῶνος, οἱ βασιλεῖς αὐτῶν· ἢ ὅτι εὐδαίμονές εἰσιν· ἢ καθὸ οἱ θεοὶ συνδιατρίβουσιν αὐτοῖς ἐναργῶς.

36. Περὶ κῆρι.] Περισσῶς, ἐκ λίαν τῇ ψυχῇ, σπουδαίως.

38. Ἅλις.] Ἱκανῶς, αὐτάρκως.

39. Τροίης ἐξήρατο.] Διαφερόντως. τὸ γὰρ ἐξῆς, Τροίης ἀπὸ λῆδος, ἀπὸ τῆ Τρωϊκῆς λείας. Ἐξήρατο.] Ἐξῃρέθη ἔλαβεν.

40. Λαχὼν.] Κληρωσάμενος.

41. Μοῖρα.] Εἱμαρμένη.

43. Διάκτορος.] Ἀγγέλου, σαφῶς, ὁ ἀφήγων τὰς ἀγγελίας.

47. Εἵλετο δ' ῥάβδον.] Λόγος ὀρθότατα νοητέον, τὴν δὲ Ἑρμῆ ῥάβδον· ὥστε ψυχὰς μὲ πλαγγμόνας παύειν, ἀκλαλυμένους δ' ὀνειρέειν. Θέλγει.] Ἀμαυροῖ· τὸν δ' ἡμιμοίζει.

48. Ὑπνώοντας ἐγείρει.] Κοιμωμένους, καθεύδοντας.

50. Πιερίην.] Πιερίαν, ὅς Μακεδονίας, ἐχόντων ἐκεῖσε. Ἔμπεσε.] Ἀθρόως κατῆλθεν.

Νῦν δέ με λυγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι.
Ὡς ἄρα μὴν εἰπόντ' ἔλασεν μέγα κῦμα καὶ ἄκρης,
Δεινὸν ἐπεσσύμενον, περὶ δ' ἀχλὺν ἐλέλιξεν.
Τῆλε δ' ἀπὸ σχεδίης αὐτὸς πέσε, πιδάλιον δὲ
Ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἰστὸν ἔαξε
Δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα.
Τηλοῦ δ' ὃ σπεῖρον ἀπίκεον ἔμπεσε πόντῳ,
Τόνδ' ἄρ' ὑπόδρυχα θῆκε πολὺν χρόνον· οὐδὲ δυνάθη
Αἶψα μάλ' ἀναχθῆναι, μεγάλου ὑπὸ κύματος ὁρμῆς·
Εἵματα γάρ ῥ' ἐβάρυνε, τά οἱ πόρε δῖα Καλυψώ·
Ὀψὲ δὲ δή ῥ' ἀνέδυ, τὸ μάλος δ' ἐξέπτυσεν ἅλμην
Πικρὴν, ἥ οἱ πολλὴ ἀπὸ κρατὸς κελάρυζεν.
Ἀλλ' οὐδ' ὡς σχεδίης ἐπελήθετο, τειρόμενός περ,
Ἀλλὰ μετορμηθεὶς ἐν κύμασιν, ἐλλάβεθ' αὐτῆς·
Ἐν μέσσῃ δ' ἧστο, τέλος θανάτοιο ἀλεείνων.
Τὴν δ' ἐφορῷ μέγα κῦμα κατ' ῥόον ἔνθα καὶ ἔνθα.
Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέησιν ἀκάνθας
Ἀμπεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται·
Ὡς τὴν ἀμπέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα.

" Troës contorferunt circa Achillem mortuum;
" Tum fortitus essem parentalia, & meam gloriam celebrassent Græci:
" Nunc me tristi morte decretum est perire.
Sic certe ipsum loquutum pepulit ingens fluctus a vertice,
Horrendum irruens, invertitque prorsus ratem.
Longe verò a rate excidit, clavúmque
Ex manibus projecit, medium verò malum ei fregit
Horrenda commixtorum ventorum irruens procella.
Longe itaque velum & antenna incidit ponto,
Illum sub aquâ detinuit longo tempore; neque potuit
Valdè statim emergere, magni sub fluctûs impetu:
Vestes enim gravabant, quas illi præbuerat diva Calypso.
Tandem tamen emersit, & ex ore evomuit salsuginem
Amaram, quæ ei copiosa à capite defluebat.
Sed neque sic ratis oblitus est, tametsi afflictus,
Verùm impetu facto in fluctibus apprehendit eam;
In medio autem sedit, finem mortis effugiens.
Hanc terebat ingens fluctus per undarum impetum huc atque illuc.
Quemadmodum quoties autumnalis Boreas fert spinas
Per campos, dentes autem invicem cohærent:
Sic illam per mare venti ferebant huc atque illuc.

Σ Χ Ο Λ Ι Α.

310. Περὶ Πηλείωνι θανόντι.] Ἴσως ἀφ' τῷ Θέτιν, ἢ Ἀχιλέως ἐμνήσθη.

311. Τῷ κεν.] Οὕτω δ' ἄν. Ἔλαχον.] Ἔτυχον, ἠξιώθην. Ἦρον.] Διέφθειραν, διεσύρισαν.

312. Λυγαλέῳ.] Ἀδίξῃ, ἢ ἀδυσώπητῳ, ἢ τῷ δι' ὕδατος. Εἵμαρτο.] Πέπρωτο. Ἀλῶναι.] Ἀποθανεῖν.

313. Ἔλασεν.] Ἔπαισεν, ἐνέκρυσεν, ἔπληξεν. Κατ' ἄκρης.] Καθ' κεφαλῆς· ἢ αντὶ τοῦ ὅλου· καὶ γὰρ, κατ' ἄκρας πόλιν εἶπεν, φησὶ.

314. Ἐλέλιξεν.] Ἔσεισεν.

316. Προέηκεν.] Ἀφῆκεν, ἐξέλασεν.

318. Σπεῖρον.] Νῦν τὸ ἄρμενον.

319. Ὑπόδρυχα.] Ὑποβρύχιον· βάλλει δὲ λέγειν τὸ καταδυόμενα εἰς τὸ ὕδωρ.

320. Ἀναχθῆναι.] Ἦτοι ἀνῦξαι, ἢ ἀνελθεῖν.

323. Κρατὸς.] Κεφαλῆς. Κελάρυζεν.] Μᾶλλον ἔρρει.

324. Τειρόμενός περ.] Καὶ καταπονούμενος.

325. Ἐλλάβεθ'.] Ἐπλάβετο, κατέσχεν.

326. Τέλος θανάτοιο.] Τὸ θανάτου.

327. Κατὰ ῥόον.] Κατὰ τὸ ῥεῦμα.

328. Ὀπωρινὸς.] Ὁ ἐν τῷ καιρῷ τῆ ὀπώρας, ὅ ἐστιν ἐν τῇ δεῖξαι πνέων. Φορέῃσι.] Φέροι, κυφίζοι.

329. Ἔχονται.] Ἀντέχονται.

N O T Æ.

323. Κελάρυζεν) Ità *Textum* restituo, ità olim *Florentina*, *Aldina*, & *Lovaniana* &c. *H. Stephanus* κελάρυσε, per errorem prieli, & multa ejusmodi; hinc alii usque ad *Elzevir.* &c.

325. Ἐλλάβεθ' αὐτῆς) Vid. ad *Iliad. ε'.* v. 83. & ad *Odyss. η'.* v. 145. Ἐλλάβεθ', *Br. Schol.*

329. Ἀμπεδίον) *H. Steph.* ἀν πεδίον, nè notatâ aliâ *Lectione*; cùm tamen *Florentina* omnium vetustissima legat ἀμπεδίον, ut & *Aldina* & *Eustath.* & in sequenti Versu ἀμπέλαγος, quæ vera est *Lectio*, & in *Iliade* ferè perpetua, ut ad *Iliad. ε'.* v. 87.

330. Ἀμπέλαγος) Vid. ad Not. præcedent.

Variæ Lectiones.

323. Πολλὴ) γρ. πολλόν. *H. Steph.* *Ibid.* Κελάρυζεν) γρ. κελάρυσεν, *H. Steph.* Vid. Not. in *Textum.*

329. Ἀμπεδίον) γρ. ἀν πεδίον, vid. Not. in *Textum.*

330. Ἀμπέλαγος) γρ. ἀν πέλαγος, vid. ut supra.

Ἄλλοτε

Ἄλλοτε μὲν τε Νότος Βορέῃ προβάλεσκε φέρεσθαι,
Ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν.
Τόνδε ἴδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰνώ,
Λευκοθέη, ἣ πρὶν μὲν ἦεν βροτὸς αὐδήεσσα,
Νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἐξ ἔμμορε τιμῆς.
Ἣ ῥ' Ὀδυσῆι ἐλέησεν ἀλώμενον, ἄλγε' ἔχοντα,
Αἰθυίῃ δ' εἰκυῖα ποτῇ ἀνεδύσατο λίμνης.
Ἵζε δ' ἐπὶ σχεδίης πολυδέσμου, εἶπέ τε μῦθον,
Κάμμορε, πίπτε τοι ὧδε Ποσειδάων ἐνοσίχθων
Ὠδύσατ' ἐκπάγλως, ὅτι τοι κακὰ πολλὰ φυτεύει;
Οὐ μὲν δή σε καταφθίσει, μάλα περ μενεαίνων.
Ἀλλὰ μάλ' ὧδ' ἔρξαι, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν,
Εἵματα ταῦτ' ἀποδὺς, σχεδίην ἀνέμοισι φέρεσθαι
Κάλλιπ'· ἀτὰρ χείρεσσι νέων, ἐπιμαίεο νόστου
Γαίης Φαιήκων, ὅθι τοι μοῖρ' ἐστὶν ἀλύξαι.
Τῇ δ' τόδε κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσαι

Interdum quidem Notus Boreæ objectabat, ut ferret,
Interdum vero rursus Eurus Zephyro cessit, ut persequeretur.
Hunc vidit Cadmi filia, pulchris-talis Ino,
Leucothea, quæ antè quidem erat mortalis terrestris;
Nunc vero maris in fluctibus deorum sortita erat honorem.
Hæc Ulyssem miserta erat vagabundum, dolores habentem;
Mergo verò assimilis volatu emersit è gurgite,
Seditque in rate, & ipsum sermone alloquuta est,
" Infelix, quid tibi sic Neptunus terram concutiens
" Iratus est ferociter, quòd tibi mala multa ingerit?
" Nequaquam tamen te perdet, licet hoc summoperè studens.
" Sed certè sic fac, videris mihi non desipere,
" Vestibus his exutis, ratem ventis ferre
" Derelinque; cæterùm manibus natans quære reditum
" Ad terram Phæacum, ubi tibi fatum est effugere.
" Accipe etiam hanc victam & sub pectore extendas

ΣΧΟΛΙΑ.

331. Προβάλεσκε.] Προεβάλετο, ἔθηϊ.

332. Εἴξασκε.] Παρεχώρει.

333. Τόνδ' ἴδεν Κάδμου θυγάτηρ.] Ἐλεεῖ αὐτὸν, ὡς ἀνθρωπον· ἡμεῖς δὲ, Ἰνὼ, ἣ ὅπ ἦν φιλογύνης ὁ Ὀδυσσεὺς· ἢ ὅτι τὰ Ἀθήναζε ἐδυστύχησεν· οὐκ εἰκαίως δὲ τῇ Ποσειδῶνι. Καλεῖται γὰρ οἶδεν, ὅτι δεῖ σωθῆναι αὐτόν. Καλλίσφυρος.] Καλὰ σφύρα ἔχουσα, ἃ ἐπὶ ποδῶν.

334. Λευκοθέη.] Λευκοθέα καλεῖται ἡ Ἰνὼ, ἀπὸ τῆς θεᾶσθαι, ὅ ἐστι δραμεῖν, ἀφὰ τῆς λεγομένης Λευκοῦ πόλεως τῆς Μεγαρέων. Αὐδήεσσα.] Ἦτοι ἀφθέγκτης ἀφὰ τοῦ συμβάντος· ἢ ἐπὶ οἱ ἀνθρωποι φωνήεντες ἀφὰ τὰ ἄλλα ζῶα· Πρὶν ἐδήεσσα | Ἢ ἐπίγειος ποτε.

335. Ἐξέμμορε τιμῆς.] Μοῖραν ἔχει τιμῆς.

337. Αἰθυίῃ δ' εἰκυῖα ποτῇ.] Σὺν τῷ ν γραπτέον,

Tu verò hoc velum sub pectore extendas

ΝΟΤΑΕ.

334. Ἣ πρὶν μὲν ἦεν βροτὸς αὐδήεσσα) Quùm neque θεὸς ἦσα, αὐδῆς ἐστερέσκετο, ut mox videbimus, suspicor hoc certè loco legendum, ἐδήεσσα, quam vocem *Br. Schol.* per τὸ ἐπίγειον exponunt. Hæc sane *Lectio* semper inter *Var. Lect.* numeratur, quoties in *Textu* αὐδήεσσα legitur; & ubi de Dea inferiori dicitur, ut de *Circe*, *Calypsone*, & hâc *Leucothea*, videtur ideò dici; quòd hæ Deæ non utique *Cœlestes* essent, verùm *Terrestres*, aut certè *sublunares*: quare ἐδήεσσα non est hic prorsus nihili habenda. Vox enim αὐδήεσσα æquè ad Cœlestes Deas refertur; quod semel hic monco: est αὐδήεις, qui

VARIÆ LECTIONES.

333. Τόνδε ἴδεν) γρ. τόνδ' εἶδεν, *H. Steph.*

334. Αὐδήεσσα) γρ. ἐδήεσσα, *Br. Schol.* vid. Not. in *Textum*.

335. Θεῶν ἐξ ἔμμορε) γρ. θεᾶν ἐξέμμορε, *Florentin. Lovan.* & *Br. Schol.*

337. Ποτῇ) γρ. ποτὶ, *Eustath.* MSS. *GC.* & *Aloysii*, *Br. Schol. H. Steph.*

338. Πολυδέσμου, εἶπέ τε μῦθον) γρ. καί μιν ἔπεσσι μύθου ἔειπε, *Florentin. Lovan. Aldin.* & *H. Steph.*

342. Ἔρξαι) γρ. ἔρξον, *H. Steph.*

346. Στέρνοιο) γρ. στέρνοισι, *H. Steph.*

Ἄμβροτον· οὐδέν τοι παθέειν δέος, οὐδ' ὀπολέσθαι.
Αὐτὰρ ἐπὴν χείρεσσιν ἐράψεαι ἠπείροιο,
Ἄψ ὀπόδυσάμενος καλέειν εἰς οἰνοπα πόντον,
Πολλὸν ἀπ' ἠπείρου, αὐτὸς δ' ὀπὸ νόσφι τεραπέσθαι.
Ὣς ἄρα φωνήσασα θεὰ κρήδεμνον ἔδωκεν,
Αὐτὴ δ' ἂψ ἐς πόντον ἐδύσαλο κυμαίνοντα,
Αἰθυίῃ εἰκυῖα· μέλαν δέ ἑ κῦμα κάλυψεν.
Αὐτὰρ ὁ μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγώ, μήτις μοὶ ὑφαίνηται δόλον ἄλλον
Ἀθανάτων, ὅτε μὲ σχεδίης ὀπολεῦσαι ἀνώγει.
Ἀλλὰ μάλ' αὖτως πείσομ· ἐπεὶ ἥκιστα ὀφθαλμοῖσι
Γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοὶ φάτο φύξιμον εἶναι.
Ἀλλὰ μάλ' ὧδ' ἔρξω, δοκέει δέ μοι εἶναι ἄριστον·
Ὄφρ' ἂν μοι κεν δέρατ' ἐν ἁρμονίῃσιν ἀρήρῃ,
Τόφρ' αὐτῇ μιμνέων καὶ τλήσομαι ἄλγεα πάσχων·
Αὐτὰρ ἐπὴν δὴ μοι σχεδίην διὰ κῦμα πνάξῃ,
Νήξομ'· ἐπεὶ οὐ μοὶ πάρα φαινομένη ἀμείνων.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
Ὦρσεν ἐπὶ μέγα κῦμα Ποσειδάων ἐνοσίχθων,
Δεινόν τ', ὀγαλέον τε, κατηφέα· ἤλασε δ' αὐτόν.
Ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα πνάξῃ

" Immortalem, neque tibi sic pati timor, neque per te.
" Porrò postquam manibus contigeris littus,
" Rursus resolvens projice in nigrum pontum,
" Longe à continente, ipse insuper seorsum aversus iis.
Sic utique loquuta dea vittam dedit;
Ipsa verò rursus in pontum ingressa est fluctuantem,
Mergo adsimilis; nigerque ipsam fluctus obtexit.
Cæterum ipse hæsitabat perpessitius divus Ulysses,
Ingemiscensque dixit ad suum magnanimum animum,
" Heu mihi, ne quis mihi struat dolum alium
" Immortalium, quando me à rate descendere jubet.
" Veruntamen minimè parebo; quoniam longe ab oculis
" Terram ego vidi, ubi mihi dixit effugium esse:
" Sed sic faciam, videtur verò mihi esse optimum:
" Quamdiù sanè ligna in compagibus compacta perstiterint,
" Tamdiu hìc manebo & sustinebo dolores patiens:
" Cæterùm postquam mihi ratem fluctus discusserit,
" Natabo; nam nihil est in promptu excogitare commodius.
Dum ille hæc cogitabat in mente & in animo,
Excitavit ingentem fluctum Neptunus terræ-quassator,
Horrendúmque, gravem, & excelsum: impulit etiam ipsum.
Veluti autem ventus vehementer-spirans palearũ arcervum conquassat

Σ Χ Ο Λ Ι Α.

348. Ἐφάψεαι.] Ἐπιλάβῃ.
350. Πολλὸν ἀπ' ἠπείρου.] Ἵνα μὴ τὸ κῦμα ὀκβράσσῃ.
356. Ὑφαίνηται.] Καζασκευάζῃ.
358. Πείσομαι.] Πειθήσομαι.
359. Φύξιμον.] Φάσκτόν.
360. Ἔρξω.] Πράξω.
361. Ἀρήρῃ.] Ἥρμοσται.
364. Νήξομαι.] Κολυμβήσω. Οὐ μὴν τι πάρα φαινομένη ἀμείνων.] * Τάχα κρεῖττόν ἐ μὴ πάρεστι νοῆσαι.
365. Ὦρμαινε.] Διενοεῖτο.
367. Κατηφέα.] Ὑψηλὸν, ἐπισημασμένον καὶ κατακαλύψαν αὐτόν.
368. Ζαὴς] Μεγάλως πνέων, πολύπνους. Ἠΐων.] Ἀχύρων, παρὰ τὸ εἶναι ἐν φέρειν τὰ χύσεις τὸ ἄχυρον. δηλοῖ δὲ καὶ βραμάσθαι καὶ ἰφόδια· Θημῶνα.] Σωρόν.

N O T Æ.

humanâ voce præditus, articulatè loquitur, ut ζ'. v. 125. Item *Canorus*, ut *Hesiod.* Μουσάων, αἵ τ' ἀνδρὸς πολυφραδέος πηγῆσι, Θύσπιον, αὐδήεντα.

365. Ἕως ὁ) *Amphibrachys*, loco *Spondæi*, aut *Dactyli*, ut ad *Iliad.* α'. v. 193. Vid. ad *Var. Lect.*

368. Ἠΐων) Hæc vox ἀσυναίβως consideranda, τετσυλλάβως scribenda, ut v. 266.

NOTÆ IN SCHOLIA.

364. Οὐ μὴν τι πάρα φαινομένη ἀμείνων) * Τάχα κρεῖττόν ἐ μὴ πάρεισι νοῆσαι. Hæc Verba cùm in *Aloysii* essent MSto, pleniùs exhibui *Textum*, ut utrinque essent Paria.

VARIÆ LECTIONES.

356. Ἄλλοι) γρ. αὖτι, *Florent. Aldin.* & *H. Steph.*
359. Φύξιμος) γρ. Φεύξιμος, MS. GC. & MS. *Aloysii.*
365. Καὶ κατὰ θυμὸν) γρ. δῖος Ὀδυσσεύς. *Roman.*

Editt. & *H. Steph.* Cætera, ut nos.
366. Ὦρσεν ἐπὶ) γρ. ἆρσε δ' ἐπὶ, tum verò τὸ ἦ παρέλκει, Omnes ferè Codd.

Καρφα-

Καρφαλέων, τὰ μὲν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλη·
Ὡς τὰ σύεσσα μακρὰ διεσκέδασ'· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφ' ἑνὶ δούρατι βαίνε, κέλητ' ὡς ἵππον ἐλαύνων,
Εἵματα δ' ἐξαπέδυνε, τά οἱ πόρε δῖα Καλυψώ.
Αὐτίκα δ' ἐν κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσεν·
Αὐτὸς δ' πρηνὴς ἁλὶ κάππεσε, χεῖρε πετάσσας,
Νηχέμεναι μεμαώς· ἴδε δὲ κρείων Ἐνοσίχθων,
Κινήσας δ' κάρη προτὶ ὃν μυθήσατο θυμόν,
Οὕτω νῦν κακὰ πολλὰ παθὼν ἁλόα κῦτ' πόντον,
Εἰσόκεν ἀνθρώποισι διοτρεφέεσσι μιγείης·
Ἀλλ' ὦδ' οὔ σε ἔολπα ὀιόσεσθαι κακότητος.
Ὡς ἄρα φωνήσας, ἵμασεν καλλίτριχας ἵππους,
Ἵκετο δ' εἰς Αἰγὰς, ὅθι οἱ κλυτὰ δώματ' ἔασιν.
Αὐτὰρ Ἀθηναίη, κούρη Διὸς, ἄλλ' ἐνόησεν·
Ἤτοι τοὺν ἄλλων ἀνέμων κατέδησε κελεύθους,
Παύσασθαι δ' ἐκέλευσε καὶ βυσσήεσσαν ἆπαντας·
Ὧρσε δ' ἐπὶ πρυμνὴν Βορέην, προτὶ δὲ κύμαθ' ἔαξεν,
Ἕως ὅγε Φαίηκεσσι φιληρέτμοισι μιγείη
Διογενὴς Ὀδυσσεὺς, θάνατον καὶ κῆρας ἀλύξας.
Ἔνθα δύω νύκτας, δύο δ' ἤματα κύματι πηγῷ
Πλάζετο· πολλὰ δέ οἱ κεφαλὴν προτιόσετ' ὀλέθρου.

Aridarum, quas quidem dissipat alias aliò;
Sic ipsus tabulata longa dispersit; porrò Ulysses
In unum lignum conscendit, celeren ut equũ *divaricat. tibiis* impellens:
Vestes verò exuit, quas ei præbuit diva Calypso.
Statimque vittam sub pectus extendit;
Et ipse pronus in mare cecidit, manus extendens,
Natare cupidus; vidit verò potens rex Neptunus,
Movénsque caput ad suum loquutus est animum,
" Sic nunc mala plurima passus errasper mare,
" Donec ad homines à-Jove-nutritos accedas;
" Sed neque sic te spero floccifacturum ærumnas *tuas*.
Sic certè loquutus impulit pulchricomos equos;
Perveniteque ad Ægas, ubi ei inclytæ ædes sunt.
Cæterùm Pallas, filia Jovis, alia cogitavit;
Atque aliorum ventorum obstruxit vias;
Quiescere verò jussit, & consopiri omnes:
Excitavit tamen velocem Boream, cùm fluctus priùs fregerat,
Donec ipse Phæacibus rei-nauticæ studiosis misceretur
Inclytus Ulysses, morte & fato evitato.
Hic duas noctes, duósque dies in fluctu nigro
Errabat: sæpéque ei cor ante oculos proponebat mortem.

ΣΧΟΛΙΑ.

369. Καρφαλέων.] Ξηρῶν. Διεσκέδασεν.] Διεσκόρπισεν. Ἄλλυδις ἄλλη.] Ἄλλα ἀλλαχόσε.

371. Κέλητ' ὡς ἵππον.] Ὡς κέλης, ὃ ἐστιν ὁ ἄζυγος ἵππος. Βαίνε.] Περιέβαινεν. Κέλητα.] Μόνον ἵππον.

372. Ἐξαπέδυνεν.] Ἀπεδύσατο.

374. Πρὸς ἡμᾶς.] Ἐπὶ σωτηρίαν.

375. Νηχέμεναι.] Νήχεσθαι, κολυμβᾶν.

377. Ἁλόα.] Πλεῖν

379. Ὀιόσεσθαι κακότητος.] Ἐξαπλήσειν τὴν κάκωσιν, ἢ μίμψεσθαι.

381. Αἰγὰς] Πόλιν τῶν Ἀχαιῶν· οἱ δὲ νῆσον φασὶ τὴν Εὐβοίας, ἱερὰν Ποσειδῶνος.

383. Κατέδησε.] Κατέσχεν, ἔπαυσεν. Κελεύθους.] Νῦν τὰς πνοάς.

385. Κέαιπόν.] Ταχὺν, ἢ ὀξύν. Πρὸ δὲ κύματ' ἔαξεν.] Κατέαξε τὰ τῶν ἄλλων ἀνέμων κύματα· ἐπιφέρει δὲ, μιγάλα ὑπὸ κύματος ἀρθέντα.

388. Πηγῷ.] Οἱ μὲν γλαυκογεφύροι, μέλαινι δὲ ἰσχυρῷ· πηγὴ δὲ γαληναίῳ· κρεῖσσον δὲ, σύπαγεῖ καὶ σύστροφοι ἐκ σύμπηξιν.

389. Πλάζετο.] Ἐπλανᾶτο, ἐφοσπίλαζε τῇ γῇ. Προπόσεσθ' ὀλέθρου.] Ἐν ὀφθαλμοῖς δὲ φαντασίας ἐφέρετο τῷ ἑαυτοῦ ἀπόλεσιν.

NOTÆ.

371. Κέλητ' ὡς ἵππον ἐλαύνων) De *Celete* Equo, Nos plura, *Fin.lar.* Prælect. IX. ferè ad finem.

NOTÆ IN SCHOLIA.

383. *Ἔπαυσεν) Pro ἔπαισεν lego, ex MSS.

385. Vocem *ἀνέμων, quæ hactenùs desiderabatur, restituo, ex *Eustath.* fol. 1544. lin. 43. Ἤτοι τῶν ἄλλων ἀνέμων κατέδησε κελεύθους, τουτέστι, κύματα ὑπ' αὐτῶν ἐμφθέντα, καὶ πνοὰς αὐτῶν· μόνον τὸν Βορέαν εἴασεν ἔτι πνέειν. Confer ipsum *Poet.* v. 383.

389. Γὰρ, pro καὶ, lego.

VARIÆ LECTIONES.

369. Ἄλλη) γρ. ἄλλα, vid. Not. in *Schol.* ad v. 71.

385. Κύματ' ἔαξεν) γρ. κύματα ἄξεν, *Dionys. Halic.* Vit. *Hom.*

386. Ἕως ὅγε) γρ. ἕως ἂν, *H. Steph.* & ὡς ὅτε.

388. Δύο δέ) γρ. δύο τ', *H. Steph.*

Ἀλλ'

390 Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
Καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἠδὲ γαλήνη
Ἔπλετο νηνεμίη· ὁ δ' ἄρα σχεδὸν εἴσιδε γαῖαν,
Ὀξὺ μάλα προϊδών, μεγάλου ὑπὸ κύματος ἀρθείς.
Ὡς δ' ὅταν ἀσπάσιος βίοτος παίδεσι φανείη
395 Πατρὸς, ὃς ἐν νούσῳ κεῖται κρατερὰ ἄλγεα πάσχων,
Δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων,
Ἀσπάσιον δ' ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν·
Ὡς Ὀδυσῆι ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕλη·
Νῆχε δ', ἐπειγόμενος ποσὶν ἠπείρου ἐπιβῆναι·
400 Ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
Καὶ δὴ δοῦπον ἄκουσε ποτὶ σπιλάδεσι θαλάσσης·
Ῥόχθεε γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο
Δεινὸν ἐρευγόμενον· εἴλυτο δὲ πάντ' ἀλὸς ἀχνῇ·
Οὐ γὰρ ἔσαν λιμένες, νηῶν ὄχοι, οὐδ' ἐπίωνες,
405 Ἀλλ' ἀκταὶ προβλῆτες ἔσαν, σπιλάδες τε, πάγοι τε.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤ μοι· ἐπειδὴ γαῖαν ἀελπέα δῶκεν ἰδέσθαι

Sed quando jam tertiam diem pulchricoma adduxit aurora,
Deinde tunc ventus quidem quievit, atque serenitas
Erat tranquilla; ipse verò propè conspexit terram,
Valdè acute prospiciens, à magno fluctu levatus.
Ut autem desiderata vita filiis appareat
Patris, qui morbo decumbit immensos dolores patiens,
Diù contabescens, infestus autem ei ingruit deus;
Optatò quidem hunc dii à morbo liberârunt:
Sic Ulyssi optatò apparuit terra & sylva.
Natabat verò, nitens pedibus continentem conscendere;
Sed cùm tantum abesset, quantum auditur clamans,
Illicò sonitum audivit ad scopulos maris,
Murmurabat enim ingens fluctus ad aridam continentis
Horrendùm eructans, obducta verò erant omnia maris aspergine:
Non enim erant navium portus capaces, neque secessus,
Sed littora projecta erant, scopulique saxaque.
Tunc Ulyssi soluta sunt genua & charum cor,
Ingemiscensque dixit ad suum magnanimum animum,
" Heu mihi; postquam terram insperatam dedit videre

ΣΧΟΛΙΑ.

391. Νηνεμίη.] Ἥσυχος, χωρὶς πνοῆς.
393. Ἀρθείς.] Ἐπαρθὶς, κυφωθείς.
394. Βίοτος.] Βίος, ζωή.
395. Κραπεφ.] Ἰσχυρῶς. Ἄλγεα.] Νῦν ὀδύνας.
396. Ἔχραε.] Ἐπέσκηψεν, ἢ ἐπιβάρησεν, ἢ μᾶλλον ἐπῆλθεν.
397. Κακότητος.] Τῶ κινδύνῳ τῶ ἴσου.
398. Ἀσπαστὸν.] Ἐπιθυμητὸν.
399. Νῆχε.] Ἐνήχετο, σκολύμβα.
400. Ἀπῆν.] Ἀφειστήκει. Ὅσσον τε γέγωνε βοήσας.] Ὡσεὶ ἐξάκουσον φωνοῦντα βοήσαντα.
401. Σπιλάδεσσι θαλάσσης.] Ὑφάλοις πέτραις.
402. Ῥόχθεε.] Ποῖον ἦχον ἀπιτελεῖ. Ποτὶ ξερὸν ἠπείροιο.] Πρὸς τὸ ξηρὸν τῆς γῆς· λέγει δὲ τὸ πετρῶδες τῆς ἀκτῆς.
403. Ἐρευγόμενον.] Μετὰ ἤχου ἀποβάλλον, * ἐκβρασσόμενον. Εἰλυτο.] Ἐκαλύπτετο. Ἀλὸς ἀχνῃ.] Τῷ λεπτομερεστάτῳ δὲ ἀφρῷ, ἢ τῇ ἀναθαρσίᾳ.
404. Νηῶν ὄχοι.] Οἱ στωϊκῶντες τὰς ναῦς· ἢ ἐφ' ὧν ὀχοῦνται καὶ ἀναπαύονται αἱ ναῦς. Ἐπίωνες.] Οἱ ἀνάρμοι σκέπαι ἔχοντες τόπους· ἢ αἱ ἐξοχαὶ ἢ οἱ πλατεῖς αἰγιαλοί.
405. Ἀκταὶ.] Ἐξοχαί. Προβλῆτες.] Αἱ προβεβληκυῖαι τῆ θαλάσσης πέτραι. Σπιλάδες.] Αἱ διαχυμαίνουσαι ἢ κεκοιλασμέναι πέτραι, ὑπὸ τῆς πλήξεως τῶν κυμάτων. Πάγοι.] Οἱ ὀξεῖς τόποι, αἱ πετρώδεις ἐξοχαὶ, ἢ εἰς ὕψος ἀνέχουσαι πέτραι, ἀναπεφυκότες τόποι.
408. Ἀελπέα.] Ἀνέλπιστον.

NOTÆ.

402. Ξερὸν ἠπείροιο) Pro ξερὸν, per *Ionicam* συναλοιφὴν, ut *Anacreon.* v. 1267. ῥιγῶ, pro ῥῖγῶ, & v. 1272. λατὲς, pro λᾶπᾶς.
403. Εἰλυτὸ ϗ πάντ' ἀλὸς ἀχνῃ) Cùm ab omnibus *Scholiastis* ἀχνῃ exponatur, ut *Dativus*, & πάντα sit *Nominativus*, mirum, à Nemine hactenùs scriptum, ut *Dativum*; quod nunc fieri curatum à nobis.
406. Καὶ τότ' Ὀδυσσῆος) Vid. ad v. 297.

NOTÆ IN SCHOLIA.

403. * Ἐκβρασσόμενον legò, pro corrupto ἐκβαζόμενον, ex 2 MSS.
404. Σκέπαι, pro σκίπωνι, lego, ex *Aloysio.*

VARIÆ LECTIONES.

397 Ἀσπαστὸν) γρ. ἀπὸ πασῶν. *Florent. Lov. H. Steph.*
398. Ὀδυσῆι) γρ. Ὀδυσῆ, ut σ'. v. 157.
403. Ἀχνῃ) γρ. ἄχνη, vid. Not. in *Textum.*
406. Λύτο) γρ. λῦτο, vid. suprà, ad v. 297.

Ζεὺς,

Ζεὺς, ᾧ δὴ τόδε λαῖτμα ἀφαλμήξας ἐπέρησα,
Ἔκβασις ὅππη φαίνεθ' ἁλὸς πολιοῖο θύραζε·
Ἔκτοθεν μὲν γὰρ πάγοι ὀξέες, ἀμφὶ δὲ κῦμα
Βέβρυχεν ῥόθιον, λιστὴ δ' ἀναδέδρομε πέτρη,
Ἀξυβαθὴς δὲ θάλασσα· ᾧ ὅππως ἐπὶ πόδεσσι
Στήμεναι ἀμφοτέρῃσι, ᾧ ἐκφυγέειν κακότητα,
Μήπως μ' ἐκβαίνοντα βάλῃ λίθακι προπὶ πέτρῃ
Κῦμα μέγ' ἁρπάξαν, μελέη δέ μοι ἔσεται ὁρμή.
Εἰ δέ κ' ἔπι προτέρω παρανήξομαι, ἤν πῃ ἐφεύρω
Ἠϊόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης,
Δείδω, μή μ' ἐξαῦτις ἀναρπάξασα θύελλα
Πόντον ἐπ' ἰχθυόεντα φέρῃ, βαρέα στενάχοντα,
Ἦ ἔπι μοὶ ᾧ κῆτος ἐπισσεύῃ μέγα δαίμων
Ἐξ ἁλὸς, οἷά τε πολλὰ τρέφει κλυτὸς Ἀμφιτρίτη·
Οἶδα γὰρ, ὡς μοι ὀλώδυσε κλυτὸς Ἐννοσίγαιος.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατ' φρένα ᾧ κατ' θυμὸν,
Τοφλὰδε μὲν μέγα κῦμα φέρεν τρηχεῖαν ἐπ' ἀκτήν.
Ἔνθ' ἂπο ῥινός τε δρύφθη, σύν τ' ὀστέ' ἀράχθη,
Εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
Ἀμφοτέρῃσι γὰρ χερσὶν ἐπεσσυμένη λάβε πέτρης,
Τῆς ἔχετο στενάχων, εἷος μέγα κῦμα παρῆλθε.

" Jupiter, atque adeò has undas fulcans penetravi,
" Egreſſus unſquam apparet ex mari cano foras:
" Extra enim laxa acuta, undique etiam fluctus
" Fremit impetuoſus, planáque eminet petra:
" Prope autem profundum mare; & nullo modo licet pedibus
" Conſiſtere ambobus, & effugere malum,
" Ne fortaſſe egredientem jactet ad lapidoſam rupem
" Fluctus magnus abripiens, vanus verò mihi erit conatus.
" Sin adhuc ultrà natabo, ſi alicubi inveniam
" Littoráque obliqua, portuſque maris,
" Vereor, nè me rurſus abripiens procella,
" Pontum in piſcoſum auferat, gravitèr ingemiſcentem;
" Aut etiam mihi & cerus immittat magnum deus
" Ex mari, qualia plurima nutrit clara Amphitrite:
" Novi enim, quàm mihi infenſus eſt inclytus Neptunus.
Dum ille hoc deliberabat in mente & in animo,
Interea ipſum magnus fluctus tulit ad aſperum littus.
Ibi ſanè cutis eſſet lacerata, ſimúlque oſſa fracta,
Niſi in mentem indidiſſet dea cæſia Minerva:
Ambabus igitur manibus irruens apprehendit petram,
Quam amplectebatur ingemiſcens; donec ingens fluctus præteriiſſet.

ΣΧΟΛΙΑ.

412. Βέβρυχεν.] Ἠχεῖ, βοᾷ, βρίμῃ, βρυχᾶται. Ῥόθιον] Ἀπὸ τῆς κινουμένης ὕλης τὸ πραιτόμενον, ἢ ῥοιζῶ φερόμενον, ᾧ ὁρμητικόν. Λιστὴ] Ἡ λεία ᾧ ὁμαλή. Ἀναδέδρομε.] Ἀνατείνει, ἀνέχει εἰς ὕψος.

413. Ἀξυβαθὴς.] Ἡ ἐγγὺς τῆς γῆς βάθος ἔχουσα.

415. Λίθακι.] Λιθώδη πέτρᾳ. * ὑποπιπλωκυίᾳ τῇ θαλάσσῃ, ἢ ἐξιχνούσῃ.

416. Μελίη.] Μ ταία.

418. Ἠιόνας.] Α καλεῖς. * Παραπλῆγας.] Τὰς ἐκ πλαγίου ᾧ ἀχρὶ αἰπέρου, ἢ ὁμαλὰς τόπους· πλὴς ὃ τὰς ἀπὸ κυμάτων παραπλησομένους λιμένας, ἐπιθαλασσίους.

419. Θύελλα.] Ἀνέμων συστροφή.

420. Σπεράχοντα.] Σπεράζοντα.

422. Ἀμφιτρίτη.] Ἀπὸ δὲ βάλματος ἡ θάλασσα.

423. Ὠδύσατο.] Κεχόλωται, ὠργισται.

426. Ῥινός.] Δέρματος. Δρύφθη.] Ἀπεδάρη, ἐξεστάθη, ἐξέπεσεν. Ἀράχθη.] Συνετρίβη ἢ ἐρράγη.

428. Ἐπεσσυμένη.] Ἐφορμήσας. Λάβε.] Ἐπελάβετο.

429. Σπεράχων.] Σπεράζων.

NOTÆ.

416. Ἔνθ' ἂπο ῥινός π) *Florentina* Lectio, de quâ ad *Var. Lect.* nequaquam ſtabit, niſi vel τὸ rejiciatur, vel prior δ δρύφθη *communis* fiat: alias ῥινὸς admitti poteſt, cum πρὸ καὶ ſubintellecto, ut τὸ ὀστέον quoque; & *Lectio* erit minimè contemnenda; & paulò pòſt, v. 435. Ῥινοὶ ἀπέδρυφθεν.

NOTÆ IN SCHOLIA.

415. * Ὑποπιπλωκυίᾳ, legendo, pro ὑποπιπλωμένῃ, ex 2 MSS.

418. * Παραπλῆγας) Hoc *Scholion* emendo & ſupplco, ex *Aloyſii* MS.

VARIÆ LECTIONES.

415. Λίθακι ποτὶ πέτρῃ) γρ. λίθακι ποτὶ πέτρῃ, non æquè bene.

426. Ἔνθ' ἂπο ῥινός π δρύφθη) γρ. ἔνθα κ' ἀπὸ ῥινὸς π δρύφθη, *Florent. Aldin. Lovan. Hervag.* Vid. Not. in *lextum*. *Ibid.* Σύν τ' ὀστέ' ἀράχθη) γρ. σὺν δ' ὀστέ' ἀράχθη, Edit. *Euſtathii Romana.*

Καὶ

Καὶ τὸ μὲν ὣς ὑπάλυξε· παλιῤῥόθιον δέ μιν αὖτις
Πλῆξεν ἐπεσσύμενον, τηλοῦ δέ μιν ἔμβαλε πόντῳ.
Ὡς δ' ὅτε πωλύποδος, θαλάμης ἐξελκομένοιο,
Πρὸς κοτυληδονόφιν πυκιναὶ λάϊγγες ἔχονται·
Ὣς τῷ περὶς πέπλῃσι θρασειάων ἀπὸ χειρῶν
Ῥινοὶ ἀπέλυφθεν· τὴν δὲ μέγα κῦμα κάλυψεν.
Ἔνθα κε δὴ δύσμορος ὑπὲρ μόρον ὤλετ' Ὀδυσσεύς,
Εἰ μὴ Ἀθηναίης δῶκε γλαυκῶπις Ἀθήνη·
Κύμαλος ἐξαναδύς, τά τ' ἐξεύγετο ἠπείρονδε,
Νῆχε παρὲξ ἐς γαῖαν ὁρώμενος, εἴπη ἐφεύροι
Ἠϊόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης.
Ἀλλ' ὅτε δὴ ποταμοῖο κατ' ὦμα καλλιρόοιο
Ἷξε νέων, τῇ δή οἱ ἐείσατο κάρτος ἄριστος,
Λεῖος πετράων, ἠδ' ἐπὶ σκέπας ἦν ἀνέμοιο·
Ἔγνω δὴ ποταμόνδε, καὶ εὐξάμενος κατ' ὀπιπὴν,
Κλῦθι, ἄναξ, ὅστις ἐσσί· πολύλλιτον δέ σ' ἱκάνω,
Φεύγων ἐκ πόντοιο Ποσειδάωνος εἰπάς.
Αἰδοῖος μὲν τ' ἐπὶ καὶ ἀθανάτοισι θεοῖσιν,
Ἀνδρῶν ὅστις ἵκηται ἀλώμενος, ὡς καὶ ἐγὼ νῦν
Σόν τε ῥόον, σά τε γούναθ' ἱκάνω, πολλὰ μογήσας.

Et hunc sic effugit: revertens autem fluctus ipsum rursus
Percussit irruens, longèque ipsum injecit ponto.
Sicut Polypodis, è suo domicilio extracti,
Acetabulis multi lapilli adhærescunt:
Sic hujus ad scopulum fortibus à manibus
Cutis lacerata erat; hunc verò ingens fluctus obtexit.
Ibi tandem infelix præter fatum obiisset Ulysses,
Nisi prudentiam indidisset cæsia Minerva:
Ex fluctu emergens, quà propellitur ad littus,
Præternatabat in terram circumspiciens, sicubi inveniret
Littoraque fluctibus percussa, portúsque maris:
Sed quando nunc fluvii ad ostia pulchrifluentis
Pervenit natans, ubi ei visus est locus optimus,
Æquabilis & vacuus à petris, & receptio erat à ventis;
Agnovit sanè profluentem, & supplicavit suo in animo,
" Audi, rex, quisquis es; exoptatissimum enim ad te venio,
" Fugiens ex ponto Neptuni minas.
" Venerabilis quidem est etiam immortalibus diis,
" Ex hominibus quicunque venerit errans, quemadmodum ego nunc
" Ad tuum fluentum, tuáque genua accedo, plurima passus.

Σ Χ Ο Λ Ι Α.

430. Ὑπάλυξεν.] Ἐξέφυγεν. Παλιῤῥόθιον.] Παλινόρμητον, εἰς τὰ πίσω φερόμενον, ὑπὸ τῆς ἀντικρυρρίσεως.

431. Ἐπεσσύμενον.] Ἐπιλῦον τὸ κῦμα.

432. Πωλύποδος.] Τῆς ὀκταπόδος· εἶδος γὰρ ἰχθύος ἡ ὀκτάπους. Θαλάμης.] Φωλεᾶς, καταδύσεως.

433. Πρὸς κοτυληδονόφιν.] Πρὸς τοῖς κοτυληδόσι. κοτυληδόνες δέ εἰσιν αἱ τῶν πολυπόδων πλεκτάναι, σκαπίας ἢ * ασθιβόληνας. Πυκιναί.] Πυκναὶ, συνεχεῖς. Λάϊγγες.] Μικραὶ λιθάριαι, ἢ μικραὶ ψῆφοι.

435. Ῥινοί.] Τὰ δέρματα. Ἀπέλυφθεν.] Ἀπεδύθησαν, ἀπεσπάσθησαν, ἀπεξέσησαν.

436. Δύσμορος.] Ἄθλιος.

437. Ἐπιφροσύνην.] Σύνεσιν, ἐπίνοιαν.

438. Ἐξαναδύς.] Ἀναλθών. Ἐρεύγεται.] Μετ' ὄχθου ἔρχεται ἀποπηδήσας.

441. Στόμα.] Τὸ εἴσοδον. Καλλιρόοιο.] Καλὰ ῥεύματα ἔχοντος.

442. Ἷξε.] Ἀφίκετο, παρεγένετο. Χῶρος.] Τόπος.

443. Σκέπας.] Σκέπη.

444. Ἔγνω.] Ἐθαύμασε· ἢ ἤσθετο.

445. Πολύλλιτον.] Πολυλιτανεύθην.

446. Ἐκπάς.] Ἀπειλάς.

448. Ἵκηται.] Ἱκετεύσῃ.

449. Ἱκάνω.] Ἀντὶ τοῦ ἱκετεύω.

N O T Æ.

445. Κλῦθι, ἄναξ, ὅς' ἐσσὶ) *Florent. Aldin. Lovan.* & *Hervagian.* ὅστις ἐσσὶ legunt, & *Christoph. Vitus*, de *Senario*, c. 2. p. 13. defendit, nescius, ὅπως dici posse πεπλακωμένως, ut notamus ad *Iliad.* γ'. v. 279. Verùm *H. Stephanus* hìc legit, ὅς' ἐσσί.

NOTÆ IN SCHOLIA.

433. Ποτὶ κοτυληδονόφιν) In fine *Scholii*, * ασθιβόληνας, lego, ex MS. GC. pro ασθιβίβληνας.

Variæ Lectiones.

445. Ὅς' ἐσσὶ) γρ. ὅπως, & ὅπη, vid. Not. in *Textum*. *Ibid.* Πολύλλιτον) γρ. πολύλλιπες olim in pluribus, verùm *Eustathius*, & *H. Stephan.* Lectionem πολύλλιτον agnoscunt, & *Seberus*, MS. *Schol. Aloysii*, *Br. Schol.* Edit. *Aldin. Hervag.* & *Hesychius*, Senlu etiam postulante.

Ἀλλ'

Ἀλλ' ἐλέαιρε, ἄναξ· ἱκέτης δέ τοι εὔχομαι εἶναι.
Ὣς φάτ'· ὁ δ' αὐτίκα παῦσεν ἑὸν ῥόον, ἔσχε δ' ὑπεῖκα
Πρόσθε δέ οἱ ποίησε γαλήνιον· ἦ δ' ἐσάωσεν
Ἐς ποταμοῦ πρόχοάς· ὁ δ' ἄρ' ἀμφω γούνατ' ἔκαμψε,
Χεῖράς τε πλατάγας· ἀλὶ γὰρ δέδμητο φίλον κῆρ.
Ὠίδησε δὲ πάντα· θάλασσα δὲ κήκιε πολλὴ
Ἂν στόμα τε, ῥινάς τε· ὁ δ' ἄπνευστος καὶ ἄναυδος
Κεῖτ' ὀλιγοπελέων, κάματος δέ μιν αἰνὸς ἵκανεν.
Ἀλλ' ὅτε δὴ ῥ' ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
Καὶ τότε δὴ κρήδεμνον ἀπὸ ἕο λῦσε θεσπὶ·
Καὶ τὸ μὲν ἐς ποταμὸν ἁλιμυρήεντα μεθῆκεν,
Ἄψ δ' ἔφερεν μέγα κῦμα κατὰ ῥόον· αἶψα δ' ἄρ' Ἰνὼ
Δέξατο χερσὶ φίλῃσιν· ὁ δ' ἐκ ποταμοῖο λιασθεὶς
Σχοίνῳ ὑπεκλίνθη, κύσε δ' ζείδωρον ἄρουραν·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤ μοι ἐγώ, τί πάθω; τί νύ μοι μήσατο γένηται
Εἰ μὲν κ' ἐν ποταμῷ δυσκηδέα νύκτα φυλάξω,
Μή μ' ἄμυδις πίφῃ τε καὶ ἤλυς ἔέρσῃ,
Ἐξ ὀλιγοπελίης, δαμάσῃ κεκαφηότα θυμόν·
Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέῃ ἠῶθι πρό.
Εἰ δέ κεν ἐς κλιτὺν ἀναβὰς καὶ δάσκιον ὕλην,

" Verum miſérere, rex, ſupplex enim
tibi eſſe profiteor.
Sic ait; ille continuò ſedavit ſuum
fluentum, continuit & fluctum:
Et ante eum fecit tranquillitatem, &
ſervavit eum
Ad fluvii oſtia: ille verò utrunque
genu flexit
Manúſque fortes; mari enim afflictus
erat charum cor.
Tumebat verò corpore toto, mare
autem manabat copioſum,
Per óſque narésque; ille adeò abſque
anhelitu & voce
Jacebat animo deficiens; vehemens
etenim ipſum defatigatio invaſerat.
Sed poſtquam reſpiravit, & in mente
animus colle&us eſt,
Tum certè vittam à ſe ſolvit deæ,
Et ipſam fluvium in falſuginoſum
immiſit,
Retro igitur *illam* ferebat ingens flu-
ctus per aquæ decurſu; ſtatimq; Ino
Suſcepit manibus charis; ille verò
ex fluvio ſecedens
Junco recubuit, oſculatuſque eſt al-
mam tellurem.
Ingemiſcens mox dixit ad ſuum mag-
nanimum animum,
" Heu mihi, quid patiar? quid mihi
tandem fiet?
" Siquidem in fluvio *per* difficilem no-
ctem excubias egero,
" *Timeo*, nè me ſimul frigus malum &
vegetans ros,
" Præ imbecillitate, conficiat afflictum
animo;
" Aura enim ex fluvio frigida ſpirat
matutino tempore.
" Si verò ad clivum conſcendens &
umbroſam ſylvam

ΣΧΟΛΙΑ.

450. Ἐλέαιρε.] Ἐλέησον. Εὔχομαι.] Νῦν, λέγω.
451. Ἔσχε.] Ἐπέσχε, ἔπαυσεν.
453. Πρόσθε δέ.] Τὰ πρὸς θάλασσαν ἦ ποταμῶν στόμια, πρὸς περαίωσεις.
454. Δέδμητο.] Ἐδιδάμασο. Ἀλὶ γὰρ δέδμητο.] Τῇ θαλάσσῃ κεκρατικότο. ἦν.
455. Ὠίδησε.] Ἔνιοι, ᾤδησεν ὄγκῳ. Κήκιε.] Κατήρᾳ, ἀνεφέρετο.
456. Ἄπνευστος.] Μὴ ἀναπνέων. Ἄναυδος.] Ἄφωνος.
457. Ὀλιγοπελίων.] Ὀλιγοψυχῶν. Ἵκανεν.] Νῦν, συνῆλθεν.
460. Ἁλιμυρήεντα.] Ἐπιθαλασσίαν, ἢ εἰς θάλασσαν
ἐκρεουσάμενον. Μεθῆκεν.] Ἀφῆκεν.
462. Δέξατο.] Ἔλαβεν. Λιασθείς.] Χωρισθείς.
463. Σχοίνῳ.] Εἴδος πόας, ἢ χοίνικος. Ὑπεκλίνθη.] Ἐπέπεσεν. Κύσε.] Κατεφίλησεν.
466. Δυσκηδέα.] Χαλεπὴν, κακοπαθῆ.
467. Ἄμυδις.] Ὁμοῦ. Πίφῃ τέ.] Ἡ παγῇ, ἢ ἀπόφραξιν, ἢ τὸ ἐωθινὸν ψῦχος. Θῆλυς.] Θαλερὸς. Ἔέρσῃ.] Δρόσος.
468. Ὀλιγοπελίης.] Ὀλιγοψυχίας. Κεκαφηότα.] Ἐκπεπνευκότα, ἢ κεκακωμένον.
469. Αὔρη.] Πνοή. Ἠῶθι πρό.] Πρὸ ἡμέρας.
470. Κλιτύν.] Τὴν ὑψηλὴν πρόσβασιν ἢ ὄρους. Δάσκιον.] Δασύσκιον.

NOTÆ.

467. Θῆλυς ἔέρσῃ) Vid. ad *Iliad.* ε'. v. 776.

NOTÆ IN SCHOLIA.

455. Ὠίδησε ᾠδῆς τὸ ὄγκῳ, lego, Ἔνιοι, ᾤδησεν ὄγκῳ. Videtur autem ſub voce ἔνιοι, *Varia Lectio* latere, ut Ἔνιοι, ὄγκῳ δ' ᾠδήσασκε. Judicent alii.
457. Ὀλιγοψυχῶν) Lego, pro ὀλιγοψύχων.

VARIÆ LECTIONES.

455. Ὠίδησε ᾠδῆς) γρ. ᾤζησε, *Euſtath.* fol. 1541. lin. 62. & ᾤδησεν, *Br. Schol.* vid. Not. in *Schol.*

Θάμνοις ἐν πυκινοῖσι καθεύδοιμι, εἴ με μεθείη
Ῥῖγος καὶ κάματος, γλυκερὸς δέ μοι ὕπνος ἐπέλθοι,
Δείδω, μὴ θήρεσσιν ἕλωρ καὶ κύρμα γένωμαι.
Ὣς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
Βῆ ῥ' ἴμεν εἰς ὕλην· τὴν δ' ἀσχεδὸν ὕδατος εὗρεν
Ἐν περιφαινομένῳ, δοιὼ δ' ἄρ' ὑπήλυθε θάμνω,
Ἐξομόθεν πεφυῶτε· ὁ μὲν, φυλίης, ὁ δ' ἐλαίης.
Τὼ μὲν ἄρ' οὔτ' ἀνέμων ἀφῆ μάλα υγρὸν ἀέντων,
Οὐδέποτ' ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
Οὔτ' ὄμβρος διάσκε διαμπερές· ὡς ἄρα πυκνοὶ
Ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς· ὧς ὕπ' Ὀδυσσεὺς
Δύσετ'· ἄφαρ δ' εὐνὴν ἐπαμήσατο χερσὶ Φίλητος
Εὐρεῖαν· φύλλων γὰρ ἔην χύσις ἤλιθα πολλή,
Ὅσσον τ' ἠὲ δύω, ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι
Ὥρῃ χειμερίῃ· εἰ καὶ μάλα περ χαλεπαίνοι.
Τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεὺς,
Ἐν δ' ἄρα μέσῃ λέκτο, χύσιν δ' ἐπεχεύατο φύλλων·
Ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ,
Ἀγρῷ ἐπ' ἐσχατιῆς, ᾧ μὴ παρὰ γείτονες ἄλλοι,

" Arbuſtis in denſis dormiero, etiamſi ceſſet
" Frigus & laſſitudo, jucundus vero mihi ſomnus irrepat,
" Vereor, nè feris laceratio & præda ſiam.
Sic ſanè ei deliberanti viſum eſt ſatiùs eſſe:
Feſtinabat ire ad ſylvam; hanc autem prope aquam invenit
In circumſpicuo loco; duo ſanè ingreſſus eſt arbuſta,
Una adnata; hoc quidem oleaſtri, alterum autem oleæ.
His neque ventorum perflat vis humida ſpirantium,
Neque unquam ſol lucens radiis percuſſit,
Neque imber penetrabat penitùs; ſic ſanè denſa
Invicem creverunt alternatim intertexta, quæ Ulyſſes
Subiit: ſtatim verò cubile meſſuit manibus ſuis
Latum: foliorum enim erat copia affatim ingens,
Quantum ad duos, vel tres viros tegendos *ſat eſſet*
Tempore hyberno, etiamſi potiſſimum ſæviat.
Illam quidem videns lætatus eſt patiens divus Ulyſſes;
In medio autem cubuit, copiámque ſuperingeſſit foliorum.
Quemadmodum cùm quiſpiam torrem cinere abſcondit nigro
In domo in agro longè-remoto *ſitâ*; cui non adſunt vicini alii,

ΣΧΟΛΙΑ.

471. Θάμνοις.] Δασέσι φυτοῖς. Καθεύδοιμι.] Καθεύδοιμι, κοιμηθῶ. Μεθείη.] Ἐάσοι.

474. Κύρδιον.] Ὠφέλιμον, χρεῖττον. Φρονέοντι.] Βουλευομένῳ.

476. Περιφαινομένῳ.] Περιφερομένῳ· ἐφ' ὃν τόπον ἐκ ἦσαν ὕλη, ἀλλὰ μόνον θάμνος· τὸ δὲ ἐφ' αὐτὸν, ψιλόν.

477. Ἐξομόθεν.] Ἐκ δ' αὐτῆ τόπω. Πεφυῶτε.] Πεφυκότε, ἀναδενδρώσε. Φυλίης.] Εἴδος ἐλαίας τὸ καλλικάρπου, φυλίας.

478. Διαπρὸ.] Διαπερῶ, δίεσιν. Ἀέντων.] Πνεόντων.

481. Ἔφυν.] Ὑπῆρχον, ἐπεφύκεσαν. Ἐπαμοιβαδίς.] * Ἐπιπλεγμένοι ἐναλλάξ.

482. Δύσετο.] Ἐπίδυ, ὑπεισῆλθεν. Ἐπαμήσατο.] Ἐπεστρώσατο, ἐπεσώρευσεν, ἐπέβαλεν.

483. Χύσις.] Ἄθροισις, πλῆθος. Ἤλιθα.] Ἀθρόως, δαψιλῶς.

484. Ἔρυσθαι.] Ῥύεσθαι, σώζειν, φυλάττειν.

485. Ὥρῃ χειμερίῃ.] Ἐν τῇ ὥρᾳ χειμῶνος ἄρτι. Χαλεπαίνοι.] Χαλεπῶς ἔχοι ῥίγους λήψεσθαι.

487. Λίπτο.] Ἐκοιμᾶτο.

488. Δαλὸν.] Διάπυρον ξύλον. Σποδιῇ.] Κονίᾳ σποδοῦ.

489. Ἐπ' ἐσχατιῆς.] Ἐπ' ἐσχάτων μερῶν.

NOTÆ.

474. Δοάσσατο) Ἐδόκησε. Vid. infrà ad ζ. v. 242. in Δόκησε.

NOTÆ IN SCHOLIA.

481. * Ἐπιπλεγμένοι, pro corrupto ἐπιπλεγμένοι.

VARIÆ LECTIONES.

471. Εἴ με) γρ. εἴ κε, *H. Steph.*

477. Ἐξομόθεν) γρ. ἐξ ὁμόθεν, *Euſtath.* fol. 240. lin. 21.

478. Διαπρὸ) γρ. ἀμφὶ, *Dionyſ.* Halicarn. Vit. *Homeri*, §. 14. *Æolicumque* dicit, pro ἀμφὶ.

479. Οὐδέποτ' ἠέλιος) γρ. οὐδ' αὖ ἠέλιος, *H. Steph.*

482. Εὐρὺν) γρ. ὕλλον, *Euſtath.* fol. 240. lin. 8.

489. Ἐπ' ἐσχατιῆς) γρ. ἐπ' ἐσχαλιῇ, MS. *GC.*

Σπέρ-

490 Σπέρμα πυρὸς σάῳζων, ἵνα μή ποθεν ἄλλοθεν αὖσε
Ὡς Ὀδυσεὺς φύλλοισι καλύψατο· τῷ δ' ἄρ' Ἀθήνη
Ὕπνον ἐπ' ὄμμασι χεῦε, ἵνα μὶν παύσειε τάχιστα
*Δυσπαθέος καμάτοιο, φίλα βλέφαρ' ἀμφικαλύψας.

Semen ignis ſervans, ut nè aliunde incendat:
Sic Ulyſſes foliis abſconditus erat: huic ſanè Pallas
Somnum in oculis fudit, ut ipſum *ſomnus iſte* recrearet confeſtim
Ab anxio labore, charas palpebras abſcondens,

ΣΧΟΛΙΑ.

490. Σπέρμα πυρός.] Τὸν σπινθῆρα ἢ πυρός. Λύσε.] Ἐξάψῃ.

492. Χεῦε.] *Ἐπίβαλεν.

493. Δυσπαθέος.] Χαλεπῶς πάνυ ἐπιφέροντος. Ἀμφικαλύψας.] Περιοκτάκις.

NOTÆ IN SCHOLIA.

492. *Ἐπίβαλεν, pro ἐπέλαβεν, ſcribendum.

VARIÆ LECTIONES.

493. Δυσπαθέος) γρ. *δυσεχεμυίου, *Plutarchus*, ſive *Dionyſ. Halicarn.* Vit. *Homer.* §. xxiii. Et hæc vox *Homero* dignior, & *Analogiæ* congruentior. *Euſtathius* quidem δυσπαθέος agnoſcit; at timidiùs paulò, fol. 241. lin. 43. ὁ δυσπαθὴς· ἀπροσπάθητος ἢ πρὸς τὸ ἁπτικὸς· ὡς ἡ ἄπειρος, ἀπείρατος· ὅτου τις δύσπαθος, δυσπαθὴς· Τοιοῦτον ἢ ἐπὶ ἀλίγων, ἄλγος, ἀλγεινός. Quæ Vox occurrit ſupra, ad v. 408.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ
ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ζ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ζ.

Ἀθηνᾶ ἐπιστᾶσα ὄναρ τῇ Ἀλκινόου θυγατρὶ Ναυσικάᾳ, κελεύει αὐτῇ τὸν ἐθῆσι ἐπὶ τὸ ποτάμιον ἀπαγέσθαι πλύνειν· πλησίον γὰρ αὐτῇ εἶναι τὰ γάμου· ἡ δὲ τὸ κελευσθὲν ποιεῖ. Ἔπειτα παίζει μὲν τὰ θεραπαινῶν· ἀνίστησι δὲ αὐτῶν ὁ Ὀδυσσεὺς, ἐξυπνίζεται· καὶ διηγεῖται Ναυσικάᾳ, ἐθῆσι καὶ τροφῷ παρ' αὐτῆς λαβὼν, ἵκεται εἰς τὸν πόλιν.

Ἄλλη ὑπόθεσις.

Ναυσικάα, ὁ Ἀλκινόου θυγάτηρ, ὑπὸ ὀνείρου τεραπῖσα, ἐπὶ τὰ ποτάμια κάτεισι, πλύνουσα τοῖς ἐθῆσιν· μεθ' ἃ τὸ πλύναι, παιδιά τις, οἵαπερ εἰκὸς, ἀλλ' σφαίρας παῖζει κόραις γίνεται. Ὀδυσσεὺς δὲ, γυμνὸν γλυκμῷ, διϊστίθησι καὶ ἐθῆτος τυχὼν, μίσγει δὲ τῇ Ἀθηνᾶς ἱερῷ, ὃ ὡς τὰ πόλεως ἦν, συνάδει τῇ κόρῃ.

Ἐπιγραφαί.

Ὀδυσσέως ἄφιξις εἰς Φαίακας.

Ἄλλως.

Ζῆτα δὲ Ναυσικάα κόμιστ' ἐσ Σχερίην Ὀδυσῆα. LIB. VI.

Ὡς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεὺς,
Ὕπνῳ καὶ καμάτῳ ἀρημένος· αὐτὰρ Ἀθήνη
Βῆ ῥ' ἐς Φαιήκων ἀνδρῶν δήμόν τε πόλιν τε·
Οἵ πρὶν μὲν πολὺ ναῖον ὑπερφιάλῳ Ὑπερείῃ,
Ἀγχοῦ Κυκλώπων, ἀνδρῶν ὑπερφιάλων τῶν,

SIC quidem illic dormiebat patiens divus Ulysses,
Somno & labore oppressus: interea Minerva
Ibat ad Phæacum virorum populúmque urbémque
Qui antea quidem habitabant in spaciosâ Hypereâ,
Propè Cyclopas, viros superbientes;

ΣΧΟΛΙΑ.

2. Ἀρημένος.] Βεβλαμμένος· ἤτοι συμπεπλεκώς, ὑπὸ μὲν τοῦ καμάτου βεβόλασται· ὑπὸ δὲ ὕπνου σύγκειται. ἢ κατὰ ἀντίφρασιν, τὸν ἀκμαιότατον, ὕπνου ἔφη· ἢ ἀπὸ τοῦ καμάτου εἰκότως· εἶτα ἀρημένος, ὑπὸ δὲ Ποσειδῶνος βλαβείς, καὶ παρεθείς, ἢ καταχόμενος.

4. Εὐρυχόρῳ.] Πλατυχώρῳ, μεγάλῃ. Ὑπερείῃ.] Οἱ μὲν τὸν ἐν Σικελίᾳ Καμικηῖναι· οἱ δὲ ἀπὸ τοῦ, ὑπὲρ τὸν ἡμῶν γινωσκομένου· ἄλλοι δὲ, ὅτι ἦν τῶν Κυκλώπων πλησίον τὰ τῶν Κυκλώπων χώρας.

5. Ὑπερφιάλων.] Ὑπερεχόντων τῇ ὑπερᾳ, ὃ ἐστι τῇ ἀνδρείᾳ, καὶ ἀλαζονείᾳ τοῦτο ὑπεσημάνατο.

NOTÆ.

V. 1. Καθεῦδε) Ità hìc scribendum, non καθεύδει, testatur *Eustath.* fol. 1548. lin. 49. & fol. 162. lin. 39. & Edit. *Basil.* fol. 243. lin. 6. Vid. ad *Iliad.* α'. v. 611. *Var. Lect.*

NOTÆ IN SCHOLIA.

V. 2. Παρεθείς) Ità pro corrupto παραθείς, idque Duorum MSS. auctoritate.

VARIÆ LECTIONES.

V. 1. Καθεῦδε) γρ. καθεύδει. Vid. ad *Textum.* 2. Ἀρημένος) γρ. ἀρημένος. *Eustath.* fol. 242. lin. 51.

Οἵ

Οἳ σφέας σινέσκοπλι, βίηφι ὃ φέρτεροι ἦσαν.
Ἔνθεν ἀναστήσας ἄγε Ναυσίθοος θεοειδὴς,
Εἶσεν δ' ἐν Σχερίῃ ἑκὰς ἀνδράσιν ἀλφηστῆσιν·
[* Ἀνθρώπων ἀπάνευθε, πολυκλύστῳ ὑπὸ πόντῳ.]
Ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλῃ, καὶ ἐδείμαλο οἴκους,
Καὶ νηὸς ποιήσε θεῶν, καὶ ἐδάσσατ' ἀρούρας.
Ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς Ἄϊδόσδε βεβήκει·
Ἀλκίνοον δὲ τότ' ἦρχε, θεῶν ἄπο μήδεα εἰδώς.
Τῷ μὲν ἔβη πρὸς δῶμα θεὰ γλαυκῶπις Ἀθήνη,
Νόστον Ὀδυσσῆϊ μεγαλήτορι μηδομένη·
Βῆ δ' ἴμεν ἐς θάλαμον πολυδαίδαλον, ᾧ ἔνι κούρη
Κοιμᾶτ', ἀθανάτῃσι φυὴν καὶ εἶδος ὁμοίη,
Ναυσικάα, θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο·
Πὰρ δὲ δύ' ἀμφίπολοι, Χαρίτων ἄπο κάλλος ἔχουσαι,
Σταθμοῖιν ἑκάτερθε, θύραι δ' ἐπέκειντο φαειναί.
Ἠὼ δ' ἀνέμη ὡς πνοιὴ ἐπέστιλο δέμνια κούρης·
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν,
Εἰδομένη κούρῃ ναυσικλειτοῖο Δύμαντος,
Ἥ οἱ ὁμηλικίη μὺθ ἔῖω, κεχάδετο δὲ θυμῷ·
Τῇ μὲν ἐεισαμένη προσέφη γλαυκῶπις Ἀθήνη,

qui ipsos prædabantur; viribus enim potiores erant:
Hinc migrare cogens illos dux Nausithous deo similis,
Collocavitque in Scheriâ procul ab hominibus ingeniosis,
[Procul, *insanam*, ab Hominibus, undoso in mari.]
Circum verò murum duxit civitati, ædificavit & domes,
Etiam templa fecit deorum & divisit agros.
Sed hic jam fato domitus, ad inferos descenderat:
Alcinous verò tunc imperabat, à diis consilia doctus.
Hujus quidem perrexit ad domum dea cæsia Minerva,
Reditum Ulyssis magnanimi consultans:
Celeriter verò ibat ad thalamum fabre-factum, in quo puella
Dormiebat, immortalibus indole & specie similis,
Nausicaa, filia magnanimi Alcinoi.
Aderant duæ ancillæ, à Gratiis pulchritudinem nactæ,
A postibus utrinque; fores verò imminebant lucidæ.
Illa vero venti veluti flatus accessit ad eubilia puellæ:
Steitque supra caput, & ipsam sermone alloquuta est,
Assimilata filiæ celebrata-re-navali Dymantis,
Quæ ei æqualis quidem erat, & grata animo:
Huic seipsam assimilans alloquuta est cæsia Minerva,

ΣΧΟΛΙΑ.

6. Οἳ σφέας] Οἳ πρὶν αὐτούς. Σινίσκοντο. Ἐκάκων, ἠδίκουν, ἐβλασφήσε.
7. Ἀναστήσας] Ἀνακρούσας, ἀπωσάμενος σεισμῷ Θ.
8. Εἶσε.] Νῦν, ἀντὶ τοῦ ἵδρυσεν. Σχερίᾳ.] Ἡ τῶν Φαιάκων πόλις. Ἀλφησίοις.] Τῶν ἐφευρετικῶν καὶ ἐπιτηδείων ἀνθρώπων.
9. Τεῖχος ἔλασσε.] Περιέτεινε, περιέβαλεν· ἢ ὃ μεθερμ. ἀπὸ τοῦ ἐλαυνομένου σιδήρου· ἢ ἀπὸ τοῦ ἐλάσαι, ὅ ἐστι πῆξαι καὶ σκάψαι. Ἐδάσσατο.] Κατεσκεύασεν.
10. Ἐδάσσατο.] Διεμοιρήσατο, ἢ ἐμέρισεν.

11. Κηρὶ] Θανατηφόρῳ μοίρᾳ. Ἄϊδόσδε.] Εἰς ᾅδου.
15. Πολυδαίδαλον.] Πολυτεκτόνητον. Ὧι ἔνι.] Ἐν ᾧ.
17. Θυγάτηρ Ἀλκινόοιο.] Ἡ Ναυσικάα.
19. Σταθμοῖιν.] Τῶν παραστάδων. Ἑκάτερθεν.] Ἐκατέρωθεν. Ἐπέκειντο.] Ἐπεκαλύμμα ἦσαν. Φαειναί.] Λαμπραί.
20. Δύμαντος.] Στερράφου.
22. Κούρῃ.] Θυγατρί. Ναυσικλειτοῖο.] Ἐν τοῖς περὶ ναυκλῶ ὑφηγησαμένοις.
23. Ὁμηλικίη.] Ὁμῆλιξ. Κεχάδετο.] Περιῆν, ἐφιλεῖτο.

NOTÆ.

8. Σχερίῃ) *Scheria*, quæ pòst *Phæacia*, nonnullis *Corcyra*: *Herodoro*, *Oasis*, ut *Phot.* Biblioth. fol. 111.
9. * Ἀνθρώπων ἀπάνευθε, πολυκλύστῳ ὑπὸ πόντῳ) Hunc Versum, diù hìc, ob rotunditatem Periodi, desideratum, ex *Plutarcho*, περὶ φυγῆς, fol. 603. restituo. Vid. infrà, ad v. 204.

NOTÆ IN SCHOLIA.

10. Ἐδάσσατο) Διεμοιρήσατο, ἢ ἐμέρισεν. Hoc ex MSS. dd. excepto, quòd ibi διενοήσατο, per incuriam, pro διεμοιρήσατο. *Herveg.* Edit. *Aldina* & *Parisiana*, Ἐδάσσατο) Διεμέρισεν.

VARIÆ LECTIONES.

8. Ἀνδρῶν) χρ. ἄλλων.
9. Ἀνθρώπων) γρ. Κυκλώπων.
20. Ἐπέστιλο) χρ. ἐπ' ἔστιλο.
24. Τῇ μὲν ἐεισαμένη) χρ. τῇ μὲ ἐειδομένη. *H. Steph.* ἐειδομένη, *Aldina* & *Lovaniana Rescii.*

Nausi-

Ναυσικάα, τί νύ σ' ὧδε μεθήμονα γείνατο μήτηρ;
Εἵματα μὲν γάρ τοι κεῖται ἀκηδέα, σιγαλόεντα·
Σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
Ἔννυσθαι, τά τ' ἄλλοις ὀπάσσεις, οἵ κέ σ' ἄγωσιν.
Ἐκ γάρ τοι τάδε φάτις ἀνθρώπους ἀναβαίνει
Ἐσθλή· κάδδησιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
Ἀλλ' ἴομεν πλυνέουσαι ἅμ' ἠοῖ φαινομένηφι,
Καί τοι ἐγὼ συνέριθος ἅμ' ἕψομαι, ὄφρα τάχιστα
Ἐντύνειαι· ἐπεὶ ἤδη ἔπι δηὖ παρθένος ἔσσαι·
Ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
Πάντων Φαιήκων, ὅθι τοὶ γένος ἐστὶ καὶ αὐτῇ.
Ἀλλ' ἄγε νῦν ἐπόρουσον πατέρα κλυτὸν ἠῶθι μετ' ἠοῖ
Ἡμιόνους καὶ ἅμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγῃσι
Ζώστρά τε, καὶ πέπλους, καὶ ῥήγεα σιγαλόεντα.
Καὶ δέ σοι αὐτῇ πολὺ κάλλιον, ἢ πόδεσσιν
Ἔρχεσθαι· πολλὸν γὰρ ἄπο πλυνοί εἰσι πόληος.
Ἡ μὲν ἄρ' ὡς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη
Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
Ἔμμεναι· ὔτ' ἀνέμοισι τινάσσεται, ὔτε ποτ' ὄμβρῳ
Δεύεται, ὔτε χιὼν ἐπιπίλναται· ἀλλὰ μάλ' αἴθρη
Πέπλαται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη·

" Nauſicaa, ecquid tete ſic negligentem peperit mater?
" Veſtes etenim tibi jacent neglectæ, pulchræ;
" Tibi verò nuptiæ inſtant, quandò oportet pulchras teipſam
" Induere, aliaſque iliis præbere, qui te ducent.
" Etenim ex his fama tibi apud homines aſcendit
" Bona; gaudentque pater & veneranda mater.
" Quin eamus loturæ ſimul cum aurorâ apparente,
" Et ego adjutrix ſimul ſequar; ut celerrimè
" Expediaris; quoniam non ampliùs diù virgo eris.
" Dudum enim te ambiunt optimi in populo
" Omnium Phæacum; ubi tibi genus eſt etiam ipſi.
" Verùm age incita patrem inclytum matutino tempore,
" Ut mulos & currum apparet, qui vehere queat
" Tunicaſque, & peplos, & pallia pulchra.
" Quippè tibi ſic ipſi multò honeſtius eſt, quàm pedibus
" Ire; multùm enim abſunt lavacra ab urbe.
Ipſa quidem ſic loquuta abiit cæſia Minerva
Ad Olympum, ubi inquiunt deorum ſedem firmam ſemper
Eſſe, quæ neque ventis concutitur, neque unquam imbre
Rigatur, neque nix admovetur; ſed potius ſereniras
Aperitur innubis, lucidúſque circumfulget ſplendor:

ΣΧΟΛΙΑ.

25. Μεθήμονα.] Ἀμελῆ, ῥᾳθυμον.
26. Ἀκηδέα.] Μηδὲ μιᾶς φροντίδος ἠξιωμένα, ἢ ἀτημέλητα. ἀφρόντιστα. Σιγαλόεντα.] Ἁπαλά, ποικίλα· τὰ μὲν γὰρ σκληρὰ ἀντιπίπτει καὶ ἦχον ἀπηλά. ἄσιτα σιγᾷ δὲ ἡσυχάζει.
28. Ἔννυσθαι.] Ἐνδύεσθαι. ἀμφιέννυσθαι. Τὰ δὲ τοῖσι παρέχειν.] Ὡς ἔθος τοιοῦτο ὄντος.
29. Φάτις ἀνθρώπους ἀναβαίνει.] Διαβόητος γίνεται.
32. Συνέριθος.] Συνεργὸς, παρὰ τὸ ἀγαθὴν ἔριν.
33. Ἐντύνειαι.] Κοσμώσεως, πλύσεως, εὐτρεπίσεως. Ἔσσαι.] Ἔσῃ, γένῃ.
35. Ὅθι τοὶ γένος.] Οὐ τυπτὸν ἴσα νῦν, ἀλλὰ φίλα
36. Ἐπόρουσον.] Παρόρμησον.
37. Ἐφοπλίσαι.] Παρασκεύασαι. Ἥ κεν.] Ἥ τις ἄν. Ἄγῃσιν.] Ἄγοι, φέροι, βαστάζοι.
38. Ζώστρα.] Τὰ περὶ ζώνην ἐπτύσθια εὐθύμως λέγει ἢ χιτῶνας, ἢ ζώνας.
40. Πλυνοί.] Οἱ τόποι, ἐν οἷς πλύνουσιν.
42. Ἕδος.] Ἵδρυμα. κάθισμα.
43. Τινάσσεται.] Κινεῖται.
44. Ἐπιπίλναται.] Προσπλάζει, ἐμπίπτει. Αἴθρη.] Εὐδία.
45. Πέπλαται.] Ἀναπέπτωκεν, ἀνέῳγεν. Ἀνέφελος.]

NOTÆ.

45. Ἀνέφελος) Vid. ad *Iliad.* α'. v. 258. Et *Euſtath.* in hunc locum, fol. 245. lin. 39.

NOTÆ IN SCHOLIA.

29. Διαβόητος γίνεται) Ità pro διαβόητοι γίνονται, ut *Textui* reſpondeat, φάτις σοὶ καθὼ ἀνθρώπους.
35. Ὅθι τοὶ γένος) Ubi *Br. Schol.* ὅτου legunt, MSS. ὅτι τοὶ, melius.
45. Πέπλαται) Ἀναπέπτωκεν, cum *Aloyſii* MSto lego, pro ἀναπέπταται) *Poetico*, ut & καπνῷ ἐερσιμόῳ, pro corrupto καπνὸς ἐερσιμόῳ. Pro ἴσασιν, MS. ἴσασιν. Hoc *Scholion* ὁπὸ τῶ Παλαιῶν laudat *Euſtath.* fol. 246. lin. 7.

VARIÆ LECTIONES.

35. Ὅθι τοὶ) χ. ὅτου, *Br. Schol.* an pro, ἢ τοι. MSS. *Aloyſii* & *GC.* ὅτι τοί.
44. Οὔλυμπόνδ', ὅθι φασὶ) γρ. ὄλυμπόνδ', ὃν φασὶ, *Br. Schol.* ad *Iliad.* α'. v. 420.
45. Ἀνέφελος) γρ. ἀνέφελον.

Τῷ ἔνι τέρπονθ᾽ μάκαρες θεοὶ ἤματα πάντα·
Ἔνθ᾽ ἀπέβη Γλαυκῶπις, ἐπεὶ διεπέφραδε κούρῃ.
Αὐτίκα δ᾽ ἠὼς ἦλθεν ἐύθρονος, ἣ μιν ἔγειρε
Ναυσικάαν ἐύπεπλον· ἄφαρ δ᾽ ἀπεθαύμασ᾽ ὄνειρον.
Βῆ δ᾽ ἴεναι διὰ δώματ᾽, ἵν᾽ ἀγγείλειε τοκεῦσι,
Πατρὶ φίλῳ ἠ μητρί, κιχήσατο δ᾽ ἔνδον ἐόντας.
Ἡ μὲν ἐπ᾽ ἐσχάρῃ ἧστο, σὺν ἀμφιπόλοισι γυναιξίν,
Ἠλάκατα τροφόωσ᾽ ἁλιπόρφυρα· τὴν δ᾽ ὑπέραζε
Ἐρχομένῳ ξύμβλητο μετ᾽ κλειτοὺς βασιλῆας
Ἐς βουλήν, ἵνα μιν κάλεον Φαίηκες ἀγαυοί.
Ἡ δ᾽ ἄρα πατρὸς ἔασα φίλον πατέρα προσέειπε,
Πάππα φίλ᾽, οὐκ ἂν δή μοι ἐφοπλίσειας ἀπήνην
Ὑψηλήν, εὔκυκλον, ἵνα κλυτὰ εἵματ᾽ ἄγωμαι
Ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
Καὶ δέ σοι αὐτῷ ἔοικε μετὰ πρώτοισιν ἐόντι
Βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ᾽ ἔχοντα·
Πέντε δέ τοι φίλοι υἱες ἐν μεγάροις γεγάασιν,
Οἱ δύο μὲν ὀπυίοντες, τρεῖς δ᾽ ἠίθεοι θαλέθοντες·
Οἱ δ᾽ αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ᾽ ἔχοντες,
Ἐς χορὸν ἔρχεσθαι· τὰ δ᾽ ἐμῇ φρενὶ πάντα μέμηλεν.
Ὣς ἔφατ᾽· αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
Πατρὶ φίλῳ· ὃ δὲ πάντα νόῃ, καὶ ἀμείβετο μύθῳ,

In quo delectantur beati dii diebus omnibus.
Huc abiit Pallas, postquam rem injunxerat puellæ.
Continuò aurora aderat pulchra, quæ ipsam excitabat
Nausicaam pulchris-peplis; cæterùm admirata est somnium.
Festinabat ire per domos, ut annunciaret parentibus,
Patri charo & matri; mater autem est intùs existentes.
Illa quidem ad focum sedebat cum ancillis fœminis
Pensum versans marinâ purpurâ-tinctum; in hunc autem foràs
Egredientem incidit ad inclytos reges
Ad concilium, quò ipsum invitârant Phæaces generosi.
Hæc ergò valdè propè astans charum patrem alloquuta est,
" Pater chare, annon utique mihi apparaveris currum
" Excelsum, rotundum; ut pulchras vestes ducam
" Ad flumen lotura, quæ mihi sordidatæ jacent?
" Quin etenim tibi ipsi convenit inter primores versantem
" Consilium consulere, pulchras corpori vestes habentem.
" Quinque etiam tibi chari filii in regiâ sunt,
" Quorum duo in matrimonio, tres autem cælibes florentes:
" Hi semper volunt, recens-lotis vestibus induti,
" Ad saltationem ire; hæc meæ menti omnia curæ sunt.
Sic ait; verebatur enim floridas nuptias nominare
Patri charo; ille tamen omnia intelligebat, & respondebat sermone,

ΣΧΟΛΙΑ.

Νεφελῶν χωλός. ἡ δὲ κορυφὴ ἡ ἔξ ὀλύμπου ἐπεσάρισθαι κελεύεται· ὁ δὲ λόγος ὑφ᾽ Ὁμήρου, διὰ τῶν νεφελῶν ὡς ἔξ ὑποστρεφομένου τόπου, σωματικῶς αὐτὴν τῇ κατηρτισμένῃ κελεύει. Ἐπιδίδρομφ.] Ἔπεισιν, ἐπιτρέχει. Αἴγλη.] Λαμπηδών.

46. Τῷ ἔνι.] Ἐν τούτῳ.

47. Διεπέφραδε.] Διεσήμανεν.

48. Ἐύθρονος.] Θρόνον νῦν τὸ ἀρραγὲς καὶ τὸ πῦρ καὶ τὴν ἰρὰς· ἡ γὰρ ἦν ἐδραία ἡ θεὸς αὐτὴ, ἡ νῦν εἰρημένη.

50. Ἀγχίλεως.] Ἐπαγχίλη, εἶπεν.

52. Ἐπ᾽ ἐσχάρῃ.] Παρὰ τῇ ἐσχάρᾳ· ἐσχάρα ὁ τόπος, ἐφ᾽ ᾧ τὸ πῦρ καίεται.

53. Ἠλάκατα.] Νῦν, τὰ ἔρια. Στρωφῶσα.] Στρέφουσα, ἐργαζομένη. Ἁλιπόρφυρα.] Θαλασσοβαφῆ. Θόρωζε.] Ἔξω.

54. Ἐύθρονος.] Σωφύτευτον. Κλειτούς.] Ἐνδόξους.

55. Βουλήν.] Νῦν, τὸ τεῖχος, ὅπου βουλεύουσι.

57. Πάππα.] Προσφώνησις φιλοφρονητικὴ νεωτέρα ὡσεὶ σεισεύπερον. Ἐφοπλίσειας.] Παρασκευάσειας. Ἀπήνην.] Ἅμαξαν.

63. Ὀπυίοντες.] Γεγαμηκότες. Ἠίθεοι.] Ἄγαμοι. Θαλέθοντες.] Θάλλοντες, ἀκμάζοντες.

65. Χορόν.] Τὸ συνέδριον, τὸ ἀθροισμα, διδασκαλεῖα.

66. Αἴδετο.] Ἠισχύνθη, ἐντρέπεται. Θαλερόν.] Θαλλεῖν καὶ ἀκμάζειν ποιοῦντα. Ἐξονομῆναι.] Ὀνομαστὶ εἰπεῖν.

67. Ἀμείβετο.] Ἀντεπιρρίπτετο, ἐξ ἀμοιβῆς προσεφθέγγετο.

NOTÆ IN SCHOLIA.

65. Χορὸν) MSS. legunt *τὸ ἄθροισμα, non ut *Impressi*, τὰ ἀθροίσματα.

VARIÆ LECTIONES.

50. Διὰ) γρ. καθ᾽, *H. Steph.*

57. Ἐφοπλίσειας) γρ. ἐφοπλίσειεν, *Eustath.* fol. 246. lin. 50.

60. Ἔοικε) γρ. ἔοικα, *H. Steph.* & *Eustath.* fol. 247. lin. 33.

67. Πάντα νόει) γρ. πάντ᾽ ἐνόει.

Οὔτε

Οὔτε τοὶ ἡμιόνων Φθονέω, τέκος, οὔτε τοῦ ἄλλου
Ἔρχευ· ἀτὰρ τοι δμῶες ἐφοπλίσουσιν ἀπήνην
Ὑψηλὴν, εὔκυκλον, ὑπερτελίην ἀραρυῖαν.
Ὣς εἰπὼν, δμώεσσιν ἐκέκλετο· τοὶ δ' ἐπίθοντο·
Οἱ μὲν ἄρ' ἐκτὸς ἄμαξαν εὐτροχον ἡμιονείην
Ὦπλεον, ἡμίονοι δ' ὑπαγον, ζεύξαν δ' ὑπ' ἀπήνῃ·
Κούρη δ' ἐκ θαλάμοιο φέρεν ἐΐδηα φαεινὰ,
Καὶ τὰ μὲν κατέθηκεν εὐξέστῳ ἐπ' ἀπήνῃ·
Μήτηρ δ' ἐν κίστῃ ἐπίθει μυρίον ἐδωδὴν,
Παντοίην, ἐν δ' ὄψα τίθει, ἐν δ' οἶνον ἔχευεν
Ἀσκῷ ἐν αἰγείῳ· κούρη δ' ἐπεβήσετ' ἀπήνης·
Δῶκε δὲ λευσείῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,
Εἴως χυτλώσαιτο σὺν ἀμφιπόλοισι γυναιξίν.
Ἡ δ' ἔλαβεν μάστιγα ἑῇ σιγαλόεντα,
Μάστιξεν δ' ἐλάαν· καναχὴ δ' ὑπὸ ἡμιόνοιιν
Αἰ δ' ἄμοτον τανύοντο· φέρον δ' ἐΐδηα, ἁ αὐτὰς,
Οὐκ οἶαι· ἅμα τῇγε ἑ ἀμφίπολοι κίον ἄλλαι.
Αἶψ' ὅτε δὴ ποταμοῖο ῥόον θείκαλλε' ἵκοντο,
Ἔνθ' ἦτοι πλυνοὶ ἦσαν ἐπηετανοὶ, πολὺ δ' ὕδωρ

" Neque tibi mûlos invideo, filia, neque quicquam aliud;
" Abi, cæterùm tibi famuli apparabunt currum
" Altum, rotundum, contabulatione instructum.
Sic loquutus, servis præcepit; hi verò paruerunt.
Illi quidem foràs currum velocem à mulis agitatum
Instruebant, mulosque submiserunt, junxeruntque sub curru;
Virgo autem è thalamo ferebat vestes pulchras,
Et eas quidem composuit benè-polito in curru:
Mater verò in cistâ collocabat sufficientem cibum,
Omne genus, obsoniaque imposuit, vinumque infudit
Utrem in caprinum: puella interea conscendit currum;
Dedit etiam aureâ in ampullâ humidum oleum,
Ut ungeretur cum famulis mulieribus.
Illa verò accepit flagellum & lora pulchra,
Flagellavitque ad cursum promovendum; & strepitus erat Mulorum;
Nam illi incessantèr extendebantur, ferebantque vestes, & ipsam,
Non solam; simul cum illâ ibant ancillæ aliæ.
Illæ cùm jam fluvii ad alveum limpidum pervenerunt,
Ubi lavacra erant perennia, multaque aqua

ΣΧΟΛΙΑ.

68. Οὔτε πῦ] Οὔτε τινός.

69. Ἐφοπλίσουσιν.] Παρασκευάσουσιν.

70. Εὔκυκλον.] Εὔτροχον· κύκλοι γὰρ, οἱ τροχοί. Ὑπερτελίην.] Τὴν ἐπιθημένην πλινθίαν τῇ ἁμάξῃ, ὥστε τὸ πλέονα βάρη φέρειν, ὑψηλοτάτην, ἣ δὲ πλινθίον καλεῖται· ἢ τὴν ὑπεράνω τῆς ἁμάξης τετραγώνην ξύλῳ δίχα μέσῳ τὸ σύνθημα φορτίου.

71. Δμώεσσιν.] Θεράπουσιν.

72. Εὐτροχον.] Καλὰς τροχοὺς ἔχουσαν.

73. Ὦπλεον.] Ἡτοιμαζον, παρεσκεύαζον. Ὑπαγον.] Ἐζῆγον.

74. Ἐΐδηα φαεινὰ.] Οὐ τότε ὅτε φαεινὰ· ἐφόρουν γὰρ, ἀλλὰ τὰ τῇ φύσει καθαρὰ.

76. Κίστῃ.] Ἐλιτρωτοθήκῃ· * οὐκ ἄπυθεν δὲ ἔγκεῖσθαί τι ἐν αὐτῇ.

77. Ἔχευεν.] Ἐνέχεεν, ἔβαλεν.

79. Ληκύθῳ.] Ἐλαιοδόχῳ ἀγγείῳ. Ὑγρὸν ἔλαιον.] Οὐ τὸ τῇ φύσει ὑγρὸν, ἀλλὰ τὸ ὑγροποιόν.

80. Εἴως.] Νῦν, ἀντὶ τοῦ ὅπως. Χυτλώσαιτο.] Λουσαμένη ἀλείψαιτο· χύτλον γὰρ, τὸ μετ' ὕδατος ἔλαιον.

82. Καναχὴ.] Ψόφος, ἦχος.

83. Ἄμοτον.] Ἀπλήστως. Τανύοντο.] Σπουδῇ ἐφέροντο.

84. Κίον.] Ἐπορεύοντο.

86. Ἐπηετανοὶ.] Συνεχεῖς, καὶ ἀεὶ ῥέοντες.

NOTÆ.

79. Χρυσείῃ) Ità hîc lego, pro χρυσέῃ, *Metri* causâ; ut infrà, v. 215. viceversâ. Cur ὑγρὸν ἔλαιον, Vid. *Plutarch.* Sympos. l. 6. c. 9. fol. 695. & *Eustath.* fol. 248. lin. 15.

NOTÆ IN SCHOLIA.

70. Ὑπερτελίην) In hoc *Scholio*, pro πλινθίον, lego πλινθίον, ex *Aloysii* MS. & ὑπεράνω, voce unicâ.

74. Τὰ τῇ φύσει καθαρὰ) Ex MS. *GC.* τὴν addo, & καθαρὰν pro καθαρᾷ lego.

76. *Οὐκ ἄπυθεν) Hunc locum laudat & explicat *Eustath.* fol. 248. lin. 7. Κίστη ἡ παρ' Ἀττικοῖς κ.λ.

86. Ἐπηετανοὶ) Συνεχεῖς, καὶ ἀεὶ ῥέοντες. Ità *Aloysii* MS. nisi quòd ibi σωιχοντες malè, pro σωιχεῖς.

VARIÆ LECTIONES.

70. Εὔκυκλον) χρ. ἰύκυκλον.

73. Ὦπλεον) χρ. ὅπλεον, sine *Augmento*, olim, in nonnullis, & plus semel apud *Eustathium*.

79. Χρυσείῃ) χρ. χρυσέῃ, olim in *Florentin. Lovanian.* &c. malè tamen. Vid. Not. ad *Textum*.

81. Σιγαλόεντα) χρ. φοινικόεντα. Vid. ad *Il.* Σ'. *v.* 116.

Καλὴν

Καλὸν ὑπεκτροχόεν, μάλα πὲρ ῥυπόωντα καθῆσθαι·
Ἔνθ' αἴγ' ἡμιόνους μὲν ὑπεκτροχέλυσαν ἀπήνης,
Καὶ τοὺς μὲν σεῦαν ποταμὸν πάρα δινήεντα,
Τρώγειν ἄγρωστιν μελιηδέα· ταὶ δ' ἀπ' ἀπήνης
Εἵματα χερσὶν ἔλοντο, καὶ ἐσφόρεον μέλαν ὕδωρ·
Στεῖσον δ' ἐν βόθροισι θοῶς ἔριδα προφέρουσαι.
Αὐτὰρ ἐπεὶ πλυνάν τε, κάθηρέν τε ῥύτα πάντα,
Ἐξείης πέτασαν παρὰ θῖν' ἁλός, ἦχι μάλιστα
Λάϊγγας ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα.
Αἱ δ', λοεσσάμεναι, καὶ χρισσάμεναι λίπ' ἐλαίῳ,
Δεῖπνον ἔπειθ' εἵλοντο παρ' ὄχθησιν ποταμοῖο·
Εἵματα δ' ἠελίοιο μένον περσήμεναι αὐγῇ.
Αὐτὰρ ἐπεὶ σίτου τάρφθεν θυμώς τε, καὶ αὐτὴ,
Σφαίρῃ ταί τ' ἄρ' ἔπαιζον, ἀπὸ κρήδεμνα βαλοῦσαι·
Τῇσι δὲ Ναυσικάα λευκώλενος ἦρχετο μολπῆς·
Οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεα ἰοχέαιρα,
Ἢ κατὰ Τηύγετον περιμήκετον, ἠὲ Ἐρύμανθον,
Τερπομένη κάπροισι καὶ ὠκείῃς ἐλάφοισι,
Τῇσιν δ' ἅμα Νύμφαι, κοῦραι Διὸς Αἰγιόχοιο,

Pulchra profluebat, etiam plurimùm
sordidata ad purgandum *sufficiens*;
Ibi illæ mulos solvebant à curru,
Et eos quidem agebant fluvium ad
vorticosum,
Ut ederent gramen dulce: ipsæ verò
à curru
Vestes manibus ceperunt & injece-
runt in nigram aquam:
Pressabant autem in scrobibus cele-
ritèr cœnum proferentes.
Cæterùm postquam laveruntque, pur-
gâruntque sordes omnes,
Ordine extenderunt ad littus maris,
quà potissimùm
Lapillos ad littus abluebat mare:
Illæ verò lotæ, & unctæ splendido
oleo,
540. Ἐδεύησε δ' οἰήιον.] Ἐπὶ ἔσχατον ἀφῆκεν· πῶς γὰρ ἂν ἔμπαλιν ἡ ναῦς ἠνέχθη;
542. Πρόσσω.] Εἰς τοὔμπαλιν, πρόρριζα.
544. Ἀθρόαι.] Ὁμοῦ πᾶσαι.
545. Εἵατο.] Ἐκαθέζοντο. Ὀδυρόμενοι.] Ἀπομαλακόμενοι.
546. Ἐκέλσαμεν.] Ὡρμήσαμεν, ἐσωλκύσαμεν.
551. Δαιομένων.] Μεριζομένων, διαιρεμένων. Ἔξοχα.] Ἔξοχον, ἐξαίρετον.

NOTÆ.

530. Πολυπόρθιον) Quòd caſu *Florentina* hìc legeret πολίπορθον, & hinc *Aldina*, licet in hoc tantùm loco, multi decepti. Vid. ad v. 504.

532. Ἀλλ' εἰ οἱ μοῖρ' ἐστὶ) *Virgil. Æn.* l. 4. v. 612. *ſi tangere portus, &c. At bello audacis populi vexatus, &c.* Vid. *Macrob.* l. 5. c. 12.

VARIÆ LECTIONES.

530. Πολυπόρθιον) χρ. πολίπορθον, ut ſupra, v. 504.
539. Μιλήσιοι) γρ. περιπέφευγη. Vid. ſuprà, v. 482.

Ῥέξας

Ῥέξας, μηρί' ἔκηον· ὁ δ' οὐκ ἐμπάζετο ἱρῶν,
Ἀλλ' ἄρα μερμήριζεν, ὅπως ἀπολοίατο πᾶσαι
Νῆες εὐσταμοι, ἠ ἐμοὶ ἑρίηρες ἑταῖροι.
Ὡς τότε μὲν πρῆσσον ἦμαρ, ἐς ἠέλιον καταδύντα,
Ἥμεθα δαπύμενοι κρέα τ' ἄσπετα ἠ μέθυ ἡδύ·
Ἦμος δ' ἠέλιος κατέδυ, ἠ ἐπὶ κνέφας ἦλθε,
Καὶ τότ' ἐκοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Δὴ τότ' ἐγὼν ἑτάροισιν ἐποτρύνας ἐκέλευσα,
Αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι·
Οἱ δ' αἶψ' εἰσέβαινον ἠ ἐπὶ κληῖσι κάθιζον·
Ἑξῆς δ' ἐζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἔνθεν ἠ πρότερον πλέομεν, ἀχαχήμενοι ἦτορ,
Ἀσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.

" Sacrificio facto, femora incendi: ille verò non curabat sacra;
" Sed jam tum deliberabat, quo pacto perderentur omnes
" Naves bene-tabulatæ, & mei dilecti socii.
" Sic tunc quidem totâ die, donec sol occidit,
" Sedebamus, epulantes carnes immensas & dulce vinum:
" Quando verò sol occidit, & tenebræ supervenerunt,
" Et tum dormivimus in littore maris.
" Quando autem manè-genita apparuit roseis-digitis Aurora,
" Tum ego sociis *illos* excitans imperavi,
" Et ipsos conscendere & rudentes solvere:
" Illi verò statim ingressi sunt, & per transtra sedebant,
" Ordineque sedentes canum mare verberabant remis.
" Hinc igitur ulterius navigavimus, tristati corde,
" Læti *tamen* ex morte *evitatâ*, postquam charos amisimus socios.

ΣΧΟΛΙΑ.

553. Οὐκ ἐμπάζετο.] Οὐ προσεποιεῖτο, οὐκ ἐπεμέλετο.
554. Ἀπολοίατο.] Ἀπόλοιντο.
557. Ἄσπετα.] Πολλά.
565. Πρότερον.] Εἰς τὸ μᾶλλον.
566. Ἄσμενοι.] Χαίροντες.

NOTÆ.

553. Ἔκηον) *Ionicè*, pro ἔκαιον.

VARIÆ LECTIONES.

554. Μερμήριζεν) al. μερμήριξεν.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Κ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Κ'.

ΤΑ περὶ τὸ Αἰόλου ἀπαγγέλλει, τὸ τοὺς ἀνέμων φύλακα, ὡς ἔδωκεν Ὀδυσσεῖ ἄγριον Ζέφυρον, τοὺς ἄλλους ἀνέμους ἐσκεδασμένους εἰς ἀσκόν· ὧν οἱ ἑταῖροι λύσαντες, κομισαμένου Ὀδυσσέως, ἄπρακτον τὸν αὐτοῖς χρυσὸν εἶναι νομίζοντες ὑποτοπήσωσι περὶ Αἰόλου· ὃ φησιμωνεῖ ὃ δ' Αἰόλος τῷ Ὀδυσσεῖ, ἀπειθοῦντι ἀπελάσαι, εἰς Λαιστρυγόνας ἀφικνεῖται· παρ' οἷς ἔνδεκα τῶν νεῶν ἀπολέσας, μιᾷ εἰς Αἰαίαν τὴν νῆσον παραγίνεται· κἀκ σὺν Εὐρυλόχῳ τοὺς ἡμίσεας τῶν ἑταίρων κλήρῳ λαχόντας ἐκπέμπει, πρόσοψίν τινες οἱ κατοικοῦντες μορφοφθόγγων ὄντες· ἀπὸ δὲ τούτων εἰς σῦς ὑπὸ τῆς Κίρκης, πλὴν Εὐρυλόχου, αὐτὸς ἐπὶ ζήτησιν ἐλθών, λαβὼν παρ' Ἑρμοῦ φάρμακον, τὸ μῶλυ, ἐδὼν βλέπει· ἀλλὰ καὶ τῶν ἑταίρων τὴν ἀρχαίαν φύσιν λαβόντων, ἐκείνων παραμείνας παρὰ τῇ Κίρκῃ, εἰς ἄδυτα κατέρχεται.

Ἐπιγραφαί.

Τὰ περὶ Αἰόλου, καὶ Λαιστρυγόνων, καὶ Κίρκης.

Ἄλλως.

* Vid. Not. in *Textum* infra, ad v. 36.

Τὰ τῆς Κίρκης πίπλου * ἢ, Κίρκης πίπλος.

Ἄλλως.

Κάπη ἔχει * Αἰόλου, Λαιστρυγόνων, ἔργα τὰ Κίρκης. Lib. X.

Αἰολίην δ' ἐς νῆσον ἀφικόμεθ', ἔνθα δ' ἔναιεν
Αἴολος Ἱπποτάδης, φίλος ἀθανάτοισι θεοῖσι,

IN Æoliam insulam pervenimus; ubi habitabat
Æolus Hippotades, charus immortalibus diis,

Σχολία.

1. Αἰολίην δ' ἐς νῆσον.] Οὐ τὰς Αἰόλου νήσους νῦν λεγομένας, ἀλλά τινα ἄλλην ἐπιθέσπισμόν νῆσον λέγει. οἱ δὲ λέγοντες περὶ Σικελίαν καὶ Ἰταλίαν πεπλανῆσθαι τὸν Ὀδυσσέα, λοιδοροῦσι μέν, λέγουσι τὸν νῦν Ἀκραγαντίνους· οἱ δὲ τοὺς Καμαριναίους· Κύκλωπας δὲ τοὺς Λεοντίνους. τοὺς δὲ Αἰόλου νήσους, τὴν τῶν περὶ τὸν στρόμβον Στρογγύλλου, καὶ τὰς λοιπὰς ἑξ. Διδύμους, Ἱέρας, Ἰκεσίαν, Λιπάραν, Ἐρικοῦσσαν, Φοινικοῦσσαν· τινὲς δὲ Ἀλικυρίτιδας, Αἴολον μέν, λέγουσι τὸν ἑαυτοῦ· δώδεκα δὲ παῖδας, τοὺς μῆνας· τινὲς δέ, ὅτι παρετήρησεν ἀστρολογίας ἔμπειρος ὤν, ἡλίῳ ὄντος τοῦ Ταύρου, Ζέφυρον πνεῦσαι· οἱ δὲ ἄνεμοι πνέουσι σύσσημοι, ὡς καθ' ἑαυτούς, ὡς καὶ παλαιοί· καὶ ἡμεῖς, δίχα βασιλικῆς ἀσφαλοῦς ἀγγελίας· τινὲς δὲ πεύκας τὰς νήσους τοῦ Τυρρηνικοῦ πελάγους λέγουσιν.

2. Αἰόλου Ἱπποτάδης.] Αἰόλοι δὲ δύο· ὅτε μὲ Ἱππότου, ὃς Μίμαντος ἦν ὄρος δὲ Ἕλλην, ὃς Διὸς, ὃ ἐν Ἡσιόδου μέμνηται.

Notæ.

V. 1. Αἰολίην δ' ἐς νῆσον) De *Allegoriâ* hujus loci, præter *Br. Schol.* Vid. *Eustath.* fol. 376. lin. 42. &c. *Palaphatum*, c. 18. *Heraclid. Ponticum*.

Notæ in Scholia.

V. 1. Αἰολίην δ' ἐς νῆσον) *Scholiast. Apollonii*, ad Argonaut. l. 3. v. 41. Ἐστὶ δὲ αἱ δ' Αἰόλου νῆσοι Ἐπὶ αὗται· Στρογγύλη, Εὐώνυμος, Ἱέρα, Λιπάρα, Διδύμη, Ἐρικώδης, Φοινικώδης, περὶ Σικελίαν. *Steph.* περὶ πόλεων, Ἐρικοῦσσαι, ἢ Φοινικοῦσσαι, melius vocat ultimas Duas. Confer *Diodor. Sicul.* l. 5. *Plin.* l. 3. *Eustath.* ad *Dionys.* Perieg. v. 461. & ad hunc locum, fol. 377. lin. 32.

2. *Ἕλλην, ὃς Διὸς) Ità pro *Corrupto*, Ἕλλη, ὃς ἦν Διὸς, *Eustathio* præeunte, fol. 1644. lin. 6.

Variæ Lectiones.

V. 1. Ἐνθάδ') γρ. ἔνθα δ'. Priores Codd.

Πλωτῇ σὺν νήσῳ· πᾶσαν δέ τέ μιν πέρι τεῖχος
Χάλκεον, ἄῤῥηκτον· λιστὴ δ' ἀναδέδρομε πέτρη·
Τῇ γε δώδεκα παῖδες ἐν μεγάροις γεγάασιν·
Ἓξ μὲν θυγατέρες, ἓξ δ' ἡβώοντες ἀκοῖται.
Οἵ δ' αἰεὶ ὧδε πατρὶ φίλῳ καὶ μητέρι κεδνῇ
Δαίνυνθ'· ὧδε δέ σφιν ὀνείατα μυία κεῖται.
Κνισσῆεν δέ τε δῶμα θεοπεσιαχίζεται αὐλὴ
Ἤματα, νύκτας δ' αὖτε παρ' αἰδοίῃς ἀλόχοισιν
Εὕδουσ', ἔν τε τάπησι καὶ ἐν πεπτοῖς λεχέεσσι·
Καὶ μὲν τοὺς ἱκόμεθα πόλιν καὶ δώματα καλά.
Μῆνα δὲ πάντα φίλῃ μὲ, καὶ ἐξερέεινεν ἕκαστα,

Natatili in insulâ; totam tamen ipsam circumdat murus
Ferreus, infrangibilis; lævique praterea surrigitur petra.
Hujus duodecim liberi in regiâ nati sunt;
Sex quidem filiæ, sex autem filii pubescentes:
Ibi ille filias conjunxit filiis, ut essent uxores.
Hi semper juxta patrem charum & matrem venerandam
Convivantur; juxtaque iis cibaria varia apponuntur:
Odorata autem domus circum personat Aulæ
Die; nocte verò rursus apud pudices uxores
Dormiunt, intraque tapetas & in tessellatis lectis.
Et ad horum quidem pervenimus urbem & domos eximias.
Mensem vero totum amicè excipiebat me, & interrogabat singula,

Σ Χ Ο Λ Ι Α.

3. Πλωτῇ.] Ἐνίοτε μὲ τὸ πλειρθίλω, οἷον τῷ σὺ πλειρθέος τόπους κειρθίλω νῆσον· ὁ δὲ Ἀρίσταρχος Πλωτῇ, φορητῇ, οἷον παραφορεμβῇ, ὥστε ποτὲ μὲ σὺ τοῖς δεξιοῖς μέρεσι, αὐτὸ δὲ σὺ τοῖς ἀριστεροῖς ὁρᾶς· οἷον δή τε καὶ τῷ Δῆλον ἐπερεῖ Πίνδαρος, λέγων ὅτως, * ἣν δὲ τὸ πάροιθε φορητὸς κυματώσαις Δῆλος· πανθδικῶν ἀνέμων ῥιπαῖσιν. εἰ δὲ ἄπλῳ, ὡσπλειρθέῃ ὑπ' ἀνθρώπων, ἢ ἐφερομένη ὑπὸ τῶν ῥιπαλῶν ἀμείνων δὲ τὸ ἀφ' ἑτέρου· οἱ γὰρ ἐπίπλοι τῇ θαλάσσῃ, οὐκ ἂν εὖ ἐπὶ τῆς γῆς ἔχοιεν οὕτω 'Οδυσσεύς· ἢ ἐφερομένῃ. Τεῖχος χάλκεον.] Ἰσχυρόν· ἀσφαθὲς γάρ ἐστι τὸ ἐκ χαλκοῦ.

4. Λιστὴ.] Λεία, ὁμαλὴ, ἢ ἀσφαθὲς. Ἀναδέδρομε.] Εἰς ὕψος ἀνέβη μέ.

6. Ἡβώοντες.] Ἀκμαζοντες.

8. Κεδνῇ.] Σώφρονι, σωστῇ.

10. Κνισσῆεν.] Ἥτοι εὐοσμον, ἢ κνίσσης μεστόν. Θεοπεσιαχίζεται.] Περιηχεῖται.

12. Εὕδουσι.] Καθεύδουσι.

14. Φίλῃ.] Φιλικῶς ὑπεδέχετο. Ἐξερέεινεν.] Ἀκριβῶς ἠρώτα.

N O T Æ.

ὁπλομαχοί· εἶτα ὁ Κρηθέως, ἐκ Αἰολίμαστος, ἐκ Σισύφου πατὴρ, Ἕλληνος παῖς· ὁ Ἕλληνος, γόνος μὲν φασι Διὸς εἶναι· λόγῳ δὲ, Δευκαλίωνος· ἴστε δὲ Αἰολον, ὁ ἐκ Μελανίππης, καὶ Ἱππότου, ὁ Αἰολὸς τοῦτο τὸν, Ἱπποτάδης· τελευτῶν δὲ ὁ ἐκ Ποσειδῶνος καὶ Ἄρνης· Ἀσκληπιάδης δὲ, ἐπὶ τὸ τελευταῖον τοῦτο φησι τὸ Ὀδυσσέα ἐλθεῖν.

3. Πλωτῇ σὺν νήσῳ· πᾶσαν δὲ πέρι εἶχε τεῖχος χάλκεον) Hinc Monachorum commentum illud de fratre *Bacone*, nobili Mathematico, *Britanniam* nostram aheneo Muro cincturo: Nec enim illorum Ignorantia *Homeri* detrahit Ingenio; nec his Ille authoritatem conciliat. Stulti, cùm sapientes imitantur, semper id ridiculè faciunt, at sapientiæ suus interim honos debetur. Vid. *Eustath.* in locum & *Br. Schol.*

N O T Æ I N S C H O L I A.

3. * Πλωτῇ) In hoc *Scholio* laudatur elegans *Pindari* Fragmentum, ut & *Eustath.* fol. 378. lin. 1. quod plenius profert *Strabo*, l. x. fol. 743. Sed nec *Isaac. Casaubonus*, nec *Andreas Schottus*, nec *Oxonienses* Editores satis corrigere valuerunt; quare Nos nunc emendatissimum exhibemus. Ἦν δὲ τὸ πάροιθε φορητὸς Κυμάτεσσι Δᾶλος, Παυσδικᾶν ἀνέμων ῥιπαῖς ἐν Ἀλλὰ * Κεῖθι γένος, ὅπως Ὀλύμπιοι θνατοὶ ἐπέβαινον. Ὅτε τότε τέσσαρες ὀρθαὶ Πρύμνων ἀπάρσιον χθονίων, Ἂν δὲ ἐπὶ κεφαλᾶ χθὼν πέσσα Ἀδαμαντοπέδιλοι κίονες· Ἔνθα τεκοῖσ' εὐδαίμων Ἐπώπεως γένεα. Olim Θ ὁ γένος, quod *Andreas Schottus* sicco pede præterit, *Casaubonus*, ὁ γένος removendum duxit. Tu mecum, ex κεῖθ' γένος, fac Κεῖθι γένος. Omnia erunt in tuto: *Latona* enim Φοίβης καὶ Κοίου γένος. Vid. *Etymolog.* M. v. Δᾶλος ἡ ἱερεια, &c.

V A R I Æ L E C T I O N E S.

7. Ἀκοῖτας) *Ms.* ἀκοίτης, pro ἀκοίτας, optimè, *Eustath.* fol. 378. lin. 22. Vid. *Etymolog.* M. v. Ἀκοίτης.

12. Τρηπτοῖς λεχέεσσι) *Ms.* τρηπτοῖσι λέχεσσιν, *H. Steph.*

14. Πάντα φίλῃ) *Ms.* πασὶ φίλῃ.

Ἴλιον, Ἀργείων τε νέας, καὶ νόστον Ἀχαιῶν·
Αὐτὰρ ἐγὼ τοῦ πάντα κατὰ μοῖραν κατέλεξα.
Ἀλλ' ὅτε δὴ καὶ ἐγὼν ὁδὸν ἤιτεον, ἠδ' ἐνέλθων
Πεμπέμεν, οὐδέ τι κεῖνος ἀνήνατο, τεῦχε δὲ πομπήν·
Δῶκε δέ μοι δείρας ἀσκὸν βοὸς ἐννεώροιο,
Ἔνθά δε βυκτάων ἀνέμων κατέδησε κέλευθα·
Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων,
Ἠμὲν παυέμεναι, ἠδ' ὀρνύμεν, ὅν κ' ἐθέλησι.
Νηῒ δ' ἔνι γλαφυρῇ κατέδησε μέρμιθι φαεινῇ
Ἀργυρέῃ, ἵνα μήτι τοῦ ἀπόπνευσή ὀλίγον πέρ.
Αὐτὰρ ἐμοὶ πνοιὴν Ζεφύρου προέηκεν ἀῆναι,
Ὄφρα φέροι νῆάς τε καὶ αὐτούς· οὐδ' ἄρ' ἔμελλεν
Ἐκτελέειν· αὐτοὶ γὰρ ἀπωλόμεθ' ἀφραδίῃσιν.
Ἐννῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
Τῇ δεκάτῃ δ' ἤδη ἀνεφαίνετο πατρὶς ἄρουρα·
Καὶ δὴ πυρπολέοντας ἐλαύνομεν, ἐγγὺς ἐόντας.
Ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα·
Αἰεὶ γὰρ πόδα νηὸς ἐνώμων· οὐδέ τῳ ἄλλῳ
Δῶκ' ἑτάρων, ἵνα θᾶσσον ἱκοίμεθα πατρίδα γαῖαν.
Οἱ δ' ἕταροι ἐπέεσσι πρὸς ἀλλήλους ἀγόρευον,
Καί μ' ἔφασαν χρυσόν τε καὶ ἄργυρον οἴκαδ' ἄγεσθαι,
Δῶρα παρ' Αἰόλεω μεγαλήτορος Ἱπποτάδαο.

Ilium, Argivorumque naves & reditum Græcorum;
Cæterùm ego huic omnia, ut decebat, enarravi.
Sed quando jam ego iter postulabam, atque admonebam
Dimittere, nihil quicquam ille abnuit, paravit autem deductionem.
Deditque mihi excoriatum utrem bovis novennis;
In quo procellosorum ventorum ligavit flatus:
Illum enim promum ventorum fecit Saturnius,
Tam mulcere, quàm tollere, quemcunque velit.
Nave itaque in cavâ alligavit funiculo splendido,
Argenteo, ut nequid præter-flaret nè paululum quidem:
Cæterùm mihi flatum Zephyri immisit ad flandum,
Ut ferret navesque & nos: non quidem id erat
Perfecturus: propriâ nostrâ enim periimus insipientiâ.
Per novem tamen dies continuò navigabamus noctesque & dies:
Decimâ verò jam apparebat patria tellus:
Et jam qui faces præferrent vidimus, propè existentes.
Ibi me quidem somnus occupavit defessum;
Semper enim pedem, *i. e. clavum*, navis movebam; neque cuiquam alii
Dedi sociorum, ut celeriùs perveniremus in patriam terram.
Socii intereà verbis ad se invicem loquebantur,
Et me dixerunt auromque & argentum domum reducere,
Dona ab Æolo magnanimo Hippotadâ.

ΣΧΟΛΙΑ.

17. Ἤιτεον.] Ἤτουν, παρεκάλουν.
18. Ἀνήνατο.] Ἠρνεῖτο.
19. Ἐννεώροιο.] Ἐνιαυτοῦ.
20. Βυκτάων.] Ἀθρόως πνεόντων, εὐφυσήτων, πλεγέντων τὰ ἰσία. Κέλευθα.] Πνεύματα.
21. Ταμίην.] Διοικητὴν, φύλακα, ἢ ταμιευτήν.
23. Κατέδησε.] Καταδήσασθαι. Μέρμιθι φαεινῇ.] Περιηνιόμησεν, ἵνα τῇ δεσμῷ ἀπατηθῶσιν οἱ ἑταῖροι· καὶ ἦδει ὅτι τὰ κυφότητος ἦν γνωρίσματα· ταμιεύεται γάρ. Μίρμιθι.] Σχοινίῳ.
27. Ἐκτελέειν.] Πληρώσειν.
30. Πυρπολέοντας.] Πυρσεύοντας, πῦρ καίοντας, ἢ ἀπὸ τοῦ πῦρ ἀναφερομένους. Ἐλαύνομεν.] Ἐβλίπομεν.
32. Πόδα νηός.] Τὸν μοχλαγωγὸν ἢ κίρκον καλοῦσι, ἢ τὸ πηδάλιον. Ἐνώμων.] Ἐκύβα, μετέφερον. Οὐδέ τῳ.] Οὐδενί.
35. Ἄγεσθαι.] Κομίζειν.

NOTÆ.

19. Ἀσκὸν βοὸς ἐννεώροιο) *Aristot.* Histor. l. 6. c. 21. Ἀκμάζει ὁ μάλιστα ὁ βοῦς πιαινόμενος ὢν· διὸ καὶ Ὁμηρός φησι ποιήσασθαι Ἀρτέμιδι πηλαίτηρον, ἐκ τοῦ, βοὸς ἐννεώροιο· δύναται δὲ ταὐτόν.
36. Δῶρα παρ' Αἰόλου) *Media* ου Αἰόλου producitur, ante *Liquidam*, vique *Tomi*; quâdam denique *Metri* necessitate, quæ & multa alia Poetas cogit facere, ut *Athenæus* ostendit, fol. 632. ubi de *Versibus*, qui *Grammaticis* dicuntur *διέφωνοι, λαχανοὶ, μείγεις*. Nonnulli in hujusmodi casibus λ'. geminant.

VARIÆ LECTIONES.

18. Οὐδέ π) κ. οὐδ' ἔπ.
20. Ἐνθάδε) κ. ἔνθα δέ. Priores Codd.
25. Προέηκεν) κ. προσέηκεν, *H. Steph.*
27. Ἐκτελέειν) κ. ἐκπλέσειν, *Br. Schol.*
31. Ἐπέλυθε) κ. ἐπύλυθε, *H. Steph.*
36. Αἰόλου) κ. Αἰόλω, vid. Not. in *Textum.*

Ὧδε

Ὣδε δέ πῃς εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Ὦ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
Ἀνθρώποις, ὅτεών τε πόλιν καὶ γαῖαν ἵκηται.
Πολλὰ μὲν ἐκ Τροίης ἄγεται κειμήλια καλὰ
Λαΐδος· ἡμεῖς δ' αὖτε ὁμῶς ὁδὸν ἐκτελέσαντες,
Οἴκαδε νισόμεθα κενεὰς σὺν χεῖρας ἔχοντες.
Καὶ νῦν οἱ τάγ' ἔδωκε χαριζόμενος Φιλότητι
Αἴολος· ἀλλ' ἄγε δᾶστον ἰδώμεθα, ὅ, τι τάδ' ἐστίν,
Ὅσσος τις χρυσός τε καὶ ἄργυρος ἀσκῷ ἔνεστιν.
Ὣς ἔφασαν· βουλὴ δὲ κακὴ νίκησεν ἑταίρων·
Ἀσκὸν μὲν λῦσαν, ἄνεμοι δ' ἐκ πάντες ὄρουσαν.
Τοὺς δ' αἶψ' ἁρπάξασα φέρεν πόντονδε θύελλα
Κλαίοντας, γαίης ἄπο πατρίδος· αὐτὰρ ἔγωγε
Ἐγρόμενος, κατὰ θυμὸν ἀμύμονα μερμήριξα,
Ἠὲ πεσὼν ἐκ νηὸς ἀποφθίμην ἠὲ πόντῳ,
Ἦ ἀχέων τλαίην, καὶ ἔπι ζωοῖσι μετείην.
Ἀλλ' ἔτλην καὶ ἔμεινα· καλυψάμενος δ' ἐνὶ νηΐ
Κείμην· αἱ δ' ἐφέροντο κακῇ ἀνέμοιο θυέλλῃ
Αὖτις ἐπ' Αἰολίην νῆσον· στενάχοντο δ' ἑταῖροι.
Ἐνθάδ' ἐπ' ἠπείρου βῆμεν, καὶ ἀφυσσάμεθ' ὕδωρ·
Αἶψα δὲ δεῖπνον ἕλοντο θοῆς παρὰ νηυσὶν ἑταῖροι.
Αὐτὰρ ἐπεὶ σίτοιό τ' ἐπασσάμεθ' ἠδὲ ποτῆτος,
Δὴ τότ' ἐγὼ κήρυκά τ' ὀπάσσάμενος καὶ ἑταῖρον,
Βῶν εἰς Αἰόλου κλυτὰ δώματα· τὸν δ' ἐνίχανον

Atque ità aliquis dicebat conſpicatus
in proximum alium,
" O dii, quàm hic omnibus gratus eſt
& magni precii
" Hominibus, ad quorumcunque ur-
bem & terram veniat:
" Multa quidem ex Trojâ ducit cime-
lia pulchra,
" Ex præda: nos rurſus eâdem pro-
tectione confecta,
" In patriam redimus vacuas manus
habentes.
" Et nunc ipſi hæc præbuit gratificans
ob amicitiam
" Æolus; verùm age ſtatim videa-
mus, quid hæc ſint,
" Quantum quid aurique & argenti
utri inſit.
Sic dicebant, conſilium autem ma-
lum vicit ſociorum:
Utrem quidem ſolverunt, ventique
omnes eruperunt.
Hos ſtatim furens ferebat in pontum
procella
Flentes, terrâ à patriâ: cæterùm
ego
Experrectus, in animo ſimplici de-
liberabam,
Utrum lapſus ex navi perirem in
ponto,
An tacitus ſuſtinerem & adhuc vivis
intereſſem:
Sed ſuſtinui & manſi: velatus autem
in navi
Jacebam: illæ interim ferebantur
malo venti turbine
Rurſus ad Æoliam inſulam; lugebantque ſocii.
Ibi in littus conſcendimus, & hauſimus aquam:
Statim etiam prandium ceperunt celeres apud naves ſocii.
Cæterùm poſtquam cibumque cepimus atque potum,
Tum ſane ego præconem comitem eligens & ſocium,
Ivi ad Æoli inclytas ædes: hunc vero inveni

ΣΧΟΛΙΑ.

39. Ὅτεων.] Ὧν πεῶν.
41. Λαΐδος.] Λείας. Ὁμοίην.] Ὁμοίαν.
42. Νισόμεθα.] Ἀπολισόμεθα. Κενεὰς.] Κενὰς, κατειλείας.
47. Ὅσσος.] Αὐτὶ Σ, ξξηλθον.
50. Ἐγρόμενος.] Ἀναστὰς. Μερμήριξα.] Ἔβουλάσμην.
51. Ἀποφθίμην.] Ἀποφλιφείην, ἀναιρεθείην.
52. Ζωοῖσι.] Ζῶσιν. Μετείην.] Συμπαρχοίμην.
59. Παασσάμεθα.] Ἐγευσάμεθα.
60. Βῶν.] Ἔβην, ἐπορεύθην. Ἐνίχανον.] Κατέλαβον.

NOTÆ.

Idem dicendum de hujus *Rhapſodiæ* Argumento Metrico, Κάπετ' ἴχθ' Αἰόλε, Λαομεγόντος, ἔργα τὰ Κίρκης, ut Ego quidem lego. Idem notandum infrà, ad v. 60. Βῶν εἰς Αἰόλου κλυτὰ δώματα.

42. Οἴκαδε νισόμεθα κενεὰς) *Ultima* Σ νισόμεθα producitur, in *Caſurâ*, & vi Σ κ'. ἐπιζευγνῦσι. De voce νίσεσθαι, vid. ad δ'. v. 701. *Var. Lect.*

47. Ἀσκὸν μὲν λῦσαν· ἄνεμοι) *Ultima* Σ λῦσαν producitur, in *Caſurâ*, vi *Liquidæ*, & antè στγμὴν, necnon ob *Acutum* ſequentem. Vid. ad *Var. Lect.*

51. Ἀποφθίμην) Vid. de hac Voce, ad λ'. v. 329.

60. Αἰόλου) Vid. ad v. 36.

VARIÆ LECTIONES.

42. Νισόμεθα) χρ. νεισόμεθα κενεὰς, νισόμεθα, & νεισόμεθα. Vid. Not. in *Textum*.
47. Λῦσαν) χρ. λύσαν.
51. Ἀποφθίμην) χρ. ἀπόφθιμον.
58. Σίτοιό τ' ἐπασσάμεθα) χρ. σίτοιό τι πασσάμεθα.
60. Αἰόλου) γρ. Αἰόλου, vid. suprà, v. 36.

Δαιτυ-

Δαιτύμονι, ὥδε ἥ τ' ἀλόχῳ ἠδ' οἴσι τέκεσσιν.
Ἐλθόντες δ' ἐς δῶμα, καθιζόμεσθα ἔπ' ὀδοῦ
Ἐξόμενοι· οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον, ἔκ τ' ἐρέοντο·
Πῶς ἦλθες, Ὀδυσεῦ; τίς τοι κακὸς ἔσχεο δαίμων;
Ἦ μέν σ' εὐδυκέως ἀπεπέμπομεν, ὄφρ' ἀφίκοιο
Πατρίδα σὴν, ἠδ' οἶκον, ἠδ' εἴ πῃ τοι φίλον ἐστίν.
Ὣς φάσαν· αὐτὰρ ἐγὼ μετεφώνεον, ἀχνύμενος κῆρ,
Ἄασάν μ' ἕταροί τε κακοὶ, ἅμα δὲ τοῖσί τε ὕπνος
Σχέτλιος· ἀλλ' ἀκέσασθε, φίλοι· δύναμις γὰρ ἐν ὑμῖν.
Ὣς ἐφάμην, μαλακοῖσι καθαπλόμενος ἐπέεσσιν·
Οἱ δ' ἄνεῳ ἐγένοντο· πατὴρ δ' ἠμείβετο μύθῳ,
Εἰ ῥ' ἐν νήσῳ θᾶσσον, ἐλέγχιστε ζωόντων·
Οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν οὐδ' ἀποπέμπειν
Ἄνδρα τ', ὅς κε θεοῖσιν ἀπέχθηται μακάρεσσιν.
Εἰ ῥ', ἐπεὶ ῥα θεοῖσιν ἀπεχθόμενος τόδ' ἱκάνεις.
Ὣς εἰπὼν, ἀπέπεμπε δόμων βαρέα στενάχοντα.
Ἔνθεν ἴμεν τέρεω πλέομεν, ἀκαχήμενοι ἦτορ.
Τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' εἰρεσίης ἀλεγεινῆς,
Ἡμετέρῃ ματίῃ· ἐπεὶ οὐκέτι φαίνετο πομπή.
Ἐξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·

Convivantem juxta ſuam uxorem & ſuos liberos.
Ut venimus autem in domum ad fores in limine
Sedebamus: illi verò in animo obſtupeſcebant interrogabantque,
" Quomodo veniſti, Ulyſſes? quis tibi malus ingruit dæmon?
" Certe quidem te accuratè dimiſimus, ut pervenires
" In patriam terram & ædes, & ubicunque tibi gratum eſſet.
Sic dicebant; cæterùm ego alloquebar, triſtatus corde,
" Læſerunt me ſocii mali, & ad hæc ſomnus
" Infelix; ſed medemini, amici: poteſtas enim penes vos.
Sic loquutus ſum blandis demulcens verbis:
Illi verò muti facti ſunt; at Pater excipiebat ſermone,
" Abi ocyùs ex inſulâ, peſſime viventium;
" Neque enim mihi fas eſt excipere neque dimittere
" Virum illum, qui diis inviſus eſt beatis.
" Abi; quoniam certè diis inviſus huc veniſti.
Sic loquutus; dimiſit ex ædibus gra..er ſuſpirantem.
Hinc itaque ulterius navigavimus, afflicti corde.
Fatigabatur autem virorum animus à mole tà remigatione,
Noſtrâ ſolidatate; quoniam non amplius apparuit deductio.
Per ſex tamen continuò navigavimus noctesque & dies:

Σ Χ Ο Λ Ι Α.

63. Ἐξόμεθα.] Ἐκαθίζομεθα.
64. Ἔσχεο.] Μανικῶς * ἐπίθητο.
65. Ἐυδυκέως.] Φιλοφρόνως.
67. Μετεφώνεον.] Ἐν αὐτοῖς ἔλεγον.
68. Ἄασαν.] Ἔβλαψαν.
69. Ἀκέσασθε.] Ἰάσασθε.
72. *Εἰ ῥ'.] Μετὰ φθορᾶς ἄπιθι. Ἐλέγχιστε.] Ἐπονειδίστε.
74. Ἀπέχθηται.] Μισεῖται.
78. Εἰρεσίης.] Κωπηλασίας.
79. Ματίῃ.] Μαζιόπλῃ, φρενοβλαβείᾳ. Πομπή.] Παράπεμψις.

N O T Æ.

64. Πῶς ἦλθες, Ὀδυσεῦ;) *Ultima* Σ ἦλθες producitur, ante Literam αὐτοδύναμον, in *Ceſurâ* &c.
66. Εἴ πῃ τοι φίλον ἐστὶν) Ità legendum, pro εἴπῃ τι, probo ad η'. v. 320.
72. Εἰ ῥ', ἐν νήσῳ θᾶσσον) Huc refer *Joh. Tzetzæ* Chiliad. l. 9. v. 283.
75. Εἰ ῥ', ἐπεὶ ῥα θεοῖσιν ἀπεχθόμενος τόδ' ἱκάνεις) *Florentina, Aldina, Lovaniana Reſcii, Romana* & *Baſileenſis Euſtathii, Hervagiana, Caſtelliana, Can-*

N O T Æ I N S C H O L I A.

64. *Ἐπίθι) Ità, pro corrupto ἐπίτι, ex *Aloyſii* MS.

V A R I Æ L E C T I O N E S.

65. Ἀφίκοιο) γρ. ἀφίκηαι.
66. Εἴπῃ τοι φίλον ἐστὶν) γρ. εἴπῃ τί φίλον &c. Vid. Not. in *Textum*.
73. Οὐδ' ἀποπίμπειν) γρ. ἢ ἰλαύειν, *Julian.* Epiſt. 49. fol. 433. Edit. *Spanheim.*

tabrigienſis, Schreveliana, Εἰ ῥ', ἐπεὶ ἄρα legunt, pro quo, εἰ ῥ', ἐπεί ῥα legendum pronuntio; quòd ἐπεὶ maximè ſit congruum huic loco, ἄρα autem priorem corripiat; ita *Odyſſ. τ'.* v. 556. ἐπεί ῥά τοι αὐτὸν Ὀδυσῆα, &c. *H. Steph.* & illius ſequaces legunt εἰ ῥ', ἐπεὶ ἄρα θεοῖσιν, ut θεοῖσιν διουλοβόσας ſonet, potuit & legi εἰ ῥ', ἐπὶ ἦρα θεοῖσιν, & εἰ ῥ', ἐπεί ῥα θεοῖσιν. At prior Lectio ſenior, & *Homero* convenientior.

*72. *Εἰ ῥ') Μετὰ φθορᾶς ἄπιθι, ex *Euſtathio.*

Ἑβδο-

Ἑβδομάτῃ δ' ἱκόμεσθα Λάμου αἰπὺ πολίεθρον,
Τηλέπυλον Λαιστρυγονίην, ὅθι ποιμένα ποιμὴν
Ἠπύει εἰσελάων, ὁδὸς τ' ἐξελάων ὑπακούει.
Ἔνθα κ' ἄϋπνος ἀνὴρ δοιὼς ἐξήρατο μισθούς,
Τὸν μέν, βουκολέοντα, τὸ δ', ἄργυφα μῆλα νομεύοντ'·
Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματος εἰσὶ κέλευθοι.
Ἔνθ' ἐπεὶ ἐς λιμένα κλυτὸν ἤλυθομεν, ὃν πέρι πέτρη
Ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν·
Ἀκταὶ δ' ἠδὲ προβλῆτες ὑπαπὸ ἀλλήλῃσιν
Ἐν δόμαι' ἠδὲ θύρῃσιν· ἀραιὴ δ' εἴσοδός ἐστιν.

Septimâ verò venimus Lami ad excelsam urbem
Telepylum Læstrygoniam, ubi pastorem pastor
Evocat impellens, alter verò exigens audit.
Ibi utique insomnis vir pastor duplicem capit mercedem,
Unam pascendis bobus, alteram pascendis nitidis pecoribus:
Propè enim noctisque & diei sunt viæ.
Ibi postquam ad portum inclytum venimus, quem circum petra
Excelsa erat, perpetuo utrinque;
Littoraque prominentia contraria sibi invicem
In ostia procurrunt; angustus autem introitus est.

Σ Χ Ο Λ Ι Α.

81. Λάμου αἰπὺ πτολίεθρον.] Ἀπὸ δὲ βασιλεύσαντος Λαιστρυγόνος, Λάμου, ἢ Ποσειδῶνος παιδὸς, ἢ ὀνόματος Λαιστρυγόνος.

82. Τηλέπυλον.] Μεζάλην· τὴν γὰρ πολὺ διαφοῦσιν αἱ πύλαι τινὲς ἢ τὸ κύκλου Τηλέπυλον ἐξειδέχασι· οἱ δὲ τηλέπυλον φασι, μακρόπυλον· ἀπὸ τοῦ ἀφεστήκασι, ἀπὸ τοῦ πλάτους τὸ πύλης, ἢ τοῦ μήκους. Λαιστρυγονίην.] Τὴν τῶν Λαιστρυγόνων. Λαιστρυγόνες δὲ οἱ τὸν Λάμου οἰκοῦντες. Ὅθι ποιμένα ποιμήν.] Ὅπου οἱ νομεῖς ἀλλήλους ἀποστρέφουσιν· ἀφ' ὃ τὸ σύνεγγυς εἶναι τοὺς νομεύς· ἢ μᾶλλον δὲ ἀφεστήκασι τὸ ἀπανταῖον τῶν πυλῶν μίσγειν ἀπέχειν, καὶ ὅτε τὸν φωνὸν ἐξακούειν δύνασθε εἰσελαύνοντος, καὶ δὲ ἐξελαύνοντος. Ποιμένα.] Καθαχρηστικῶς εἴρηκε ποιμένα καὶ τὸ βουκόλον.

83. Ἠπύει.] Φωνεῖ. Εἰσελάων.] Εἰσελαύνων. Ἐξελάων.] Ἐξελαύνων.

84. Ἐξήρατο.] Ἀπηύρα.

85. Ἄργυφα.] Λευκὰ, ἢ λαμπρά.

86. Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.] Αἱ νυκτερειναὶ καὶ ἡμεριναὶ νομαὶ ἐγγύς εἰσι τοῦ πόλεως. φασὶ δὲ τὸν Λαιστρυγόνας καταχρήσαι τῷ τοῦ Λεοντίνων ἔθει Σικελίας χώρας, ὃ δὴ χθονὸς πολλὴν μόνοπα, καὶ τὸ εἶσορον. ὥστε τοὺς μὲν λέσπε τὴν ἡμέρας νέμεσθαι, τοὺς δὲ ψιλὰ τῇ νυκτὶ, καὶ ὅτας τὸ διωκόμενον ἀρχυτείῃ δύο μισθὸς ἀποφέρεσθαι. Κρήτης δέ φησι καὶ τῶν δ' ἑφεξῆς αὐτὸν καταπειρᾶσθαι κεφαλῇ· ἔθει γὰρ Ἄρεσι λέγει, Κείνῃ τὸ κεφαλὴ τῇ νείσῃ· ἤχπερ ἄκραι Μίσγῃ δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν· ὥστε πλείω μὲν εἶναι τὴν ἡμέραν, ὀλίγῳ δὲ τὴν νύκτα· ὡς ἀνάπαλιν παρὰ τοῖς Κιμμερίοις· ἔνθα δὲ δύνασθαι ἀφεγγυσίην, διπλὰς κομίζεσθαι μισθούς.

88. Ἠλίβατος.] Ὑψηλή. Τετύχηκεν.] Ἐστὶν, ὑπάρχει. Διαμπερὲς.] Ἀντὶ δὲ, ἐπίμηκες.

89. Ἀκταὶ δὲ προβλῆτες.] Αἱ προβεβλημέναι εἰς τὴν θαλάσσης πέτραι, καὶ προέχουσαι ἀπὸ τοῦ αἰγιαλοῦ, καὶ στενὸν ποιοῦσι τὸ εἴσπλουν.

90. Πρόσχουσι.] Προέχουσιν, ὅ ἐστι προβέβληνται. Ἀραιή.] Λεπτὴ καὶ στενή.

N O T Æ.

81. Τηλέπυλον Λαιστρυγονίην) Quanquam ego Τηλέπυλον hic, ut proprium accipio, quoniam nonnulli scrupulos hinc sibi faciunt, dicendum, Etiamsi Portæ urbis quam maximè à se invicem distarent, posse tamen *Pastores*, aut potius *Bubulcos*, sibi satis attendere: dum Unus enim redit in urbem, alius per eandem Portam exit, & nihil hìc aliud juxta literam velle *Homerum* puto, quam Urbem totam rei *Pastoritiæ* deditam. De cæteris adeas *Eustath.* fol. 383. lin. 2. &c. *Br. Schol.* etiam *Spondan.* in hunc locum fol. 135. *Cal. Rhodigin.* l. 7. c. 10. fol. 339. *Lycophron.* v. 956. & *Scholia* in locum; *Hyginum* l. iv. Titulo *Æquinoctialis*, Quicunque ad ipsius caput *Draconis* habitant, ità longo die utuntur, ut eis nè tertia quidem horæ pars in unaquâque nocte obtingat. Itaque *Aratus* ait, Κείνῃ τὸ κεφαλὴ τῇ νήχεται, ἤχι σφε ἄκραι Μίσγῃ δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν. *Cicero* vertit, Quod Caput hic paulum sese subitoque recondit, Ortus ubi atque Obitus parte admiscentur in una. De hoc *Homerus* quoque in *Odyssea*, qui ità brevem Noctem esse dicit, ut Pastores cùm alii exigant, alii reducant pecus, possint alius alium audire, cum unus propter Noctem pecus reducat, alter propter Lucem exigat.

84. Δοιὼς ἐξήρατο μισθούς) *Ælian.* Animal. l. 14. c. 29. Δάσσ' ἢ Ὅμηρος εἰπὼν μοι, ὅτι ἐπὶ διπλῶν αἰρῶν μισθὸν οἴδε οἱ ἄνδρες, τὸ μὲν ἐκ τοῦ πωλεῖν, τὸ δὲ ἐκ τοῦ γῆς· οἷς τοὺς αὐτοὺς εἶναι καὶ ναύπας καὶ γεωργούς.

85. Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματος) *Crates* dicit *Lestrygonas* sub *Draconis* Capite positos, ut ad v. 82. ex *Hygino* & *Arato*. Huc refer *Hesiod.* Theogon. à v. 743. —ὅθι Νὺξ τε καὶ Ἡμέρα ἄσσον ἰοῦσαι; &c. ad v. 758. *Crepusculum* fit, Nocte deficiente, De oriente, vel contrà.

Variæ Lectiones.

90. Πρὸς ἔχουσιν) γρ. στοὺς ἔχουσαι, *H. Steph.*

Ἔνθ'

Ενθ' οἵγ' εἵστω πάντες ἔχον νέας ἀμφιελίσσας.
Αὐτὰρ ἐπὶ μὲν ἄρ' ἔντοσθεν λιμένος κοίλοιο δέδεντο
Πλησίαι· ὃ μὲν γάρ τοι ἀέξετο κῦμά γ' ἐπ' αὐτῷ,
Οὔτε μέγ', οὔτ' ὀλίγον· λευκὴ δ' ἦν ἀμφὶ γαλήνη.
Αὐτὰρ ἐγὼν οἶος σχέθον ἔξω νῆα μέλαιναν,
Αὐτῷ ἐπ' ἐσχατιῇ, πέτρης ἐν πείσματα δήσας.
Ἔσκον ἔπ', σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών·
Ἔνθα μὲν οὔτε βοῶν, οὔτ' ἀνδρῶν φαίνετο ἔργα,
Καπνὸν δ' οἶον ὁρῶμεν ἀπὸ χθονὸς αἰσσοντα.
Δὴ τότ' ἐγὼν ἑτάρους τρεῖς πέμψαι πεύθεσθαι ἰόντας,
Οἵτινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες,
Ἄνδρε δύω κέλομαι, τρίτατον κήρυκ' ἅμ' ὀπάσσας.
Οἳ δ' ἴσαν ἐκβάντες λείην ὁδόν, ἦπερ ἅμαξαι
Ἄσυδ' ἀφ' ὑπνλῶν ὀρέων καταγίνεον ὕλιν.
Κέρην δ' ξύμβλητο τρηχὺ ἄστυ ὑρθυόσην,
Θυγατρὶ ἰφθίμῃ Λαιστρυγόνος Ἀντιφάταο.
Ἡ μὲν ἄρ' ἐς κρήνην κατεβήσετο καλλιρέεθρον
Ἀρτακίην, ἔνθεν γὰρ ὕδωρ τρηχεῖ ἄστυ φέρεσκον.
Οἱ δ' παριτάμενοι τρηχυστεφέος, ἔκ τ' ἐρέοντο,
Ὅστις τῶν εἴη βασιλεὺς, ἠδ' οἵοισιν ἀνάσσοι.

Ibi illi intus omnes tenebant naves utrinque agitabiles;
Quæ quidem intra portum concavum ligabantur
Propinquæ; nunquam enim attollitur fluctus in ipso,
Neq; magnus, neque parvus; candida enim erat circum tranquillitas.
Cæterùm ego solus tenui extra navem nigram,
Illic in extremâ parte, petræ funes alligans.
Stabamque, speculâ excelsâ conscensâ;
Ibi quidem neque boum neque virorum apparebant opera,
Fumum tantum videbamus à terrâ erumpentem.
Cæterùm tunc ego socios præmisi scisciturum protectos,
Quinam viri essent supra terram panem vescentes;
Viris duobus electis, tertium præconem unà comitem tradens.
Illi iverunt egressi in planam viam,
qua plaustra utique
Ad urbem ab excelsis montibus deducunt lignum.
Puellæ verò obvii-facti-sunt ante urbem aquam-petenti,
Filiæ proceræ Læstrygonis Antiphatæ.
Hæc quidem ad fontem descenderat limpidum
Artaciam, hinc enim aquam ad urbem ferebant.
Illi verò astantes alloquebantur interrogabantque,
Quisnam eorum esset rex, & quibus imperaret.

Σ Χ Ο Λ Ι Α.

97. Σκοπιὴν.] Ὑψηλὸν τόπον. Παιπαλόεσσαν.] Τραχεῖαν. Ἔνθεν καὶ τῇ σωνηθείᾳ παιπάλιμον λέγομεν ἄνδρα τὸ τραχὺν, καὶ μὴ ἁπλοῦν.

99. Αἰσσοντα.] Ἀνιόντα.

100. Πρεῖεν.] Πρεσβύτερον.

103. Λείην.] Λείαν, ὁμαλήν.

104. Καταγίνεον.] Κατέφερον.

105. Ξύμβλητο.] * Συνήρχετο.

107. Καλλιρέεθρον.] Καλὰ ῥεύματα ἔχοντα.

108. Ἀρτακίην.] Ὄνομα κρήνης. * Εἶπεν δὲ τὸ ὄνομα * παρὰ τὴν Κίρκης μεμαθηκώς· λέγει γὰρ, Οἶδα καὶ αὐτὸ Ἤ μὲν ὅσ' ἐν πόντῳ πάθεν ἄλγεα· ἃ κατὰ τὸ σωτήριον, παρὰ τὴν φυγόντων, μαθόντων παρὰ τῆς κόρης, * ἐπύθετο.

N O T Æ.

100. Πρεῖεν) Olim hoc in loco πρεῖεν, verùm quùm aliàs in omnibus Exemplaribus πρεῖεν legeretur, *viz.* ι'. v. 88. & μ'. v. 9. & *Eustathius* ità legat, hoc etiam in loco, ità scribo; nam à πρείσσω venit, & πρεῖεν, ad *Var. Lect.* relego.

106. Ἀντιφάταο) Ab Ἀντιφάτης· mox, v. 114. Ἀντιφατᾶο, quasi ab Ἀντιφατεὺς, quomodò Γηρυόνης & Γηρυονεὺς, & similia. Plures Rectos habet, Τυφὼν, Τυφάων, Τυφὼς, Τυφωεὺς, quod notat *Eustathius*, ut Αἴδης, Ἀΐδης, Ἄϊς, Ἄϊδος, &c. Ἀϊδωνεύς.

NOTÆ IN SCHOLIA.

105. * Συνήρχετο) Ità pro corrupto, ἤρχετο, legendum.

108. * Εἶπεν δὲ τὸ ὄνομα παρὰ τὴν Κίρκης μεμαθηκώς) ità pro Corrupto εἶπεν, &c. παρ' αὐτῆς μεμαθηκότες, & mox, * ἐπύθετο, pro ἐπύθοντο, nam *Ulysses* solus hic loquitur, & de eo solo hoc *Scholion*, quod alludit ad *Circæ* dictum, infrà, v. 457. Οἶδα καὶ αὐτὸ, &c. Per κόρης autem intellige θυγατρὸς Ἀντιφάτου.

VARIÆ LECTIONES.

100. Πρεῖεν) κ. πρεῖεν, *Br. Schol.* vid. N. in *Text.*

103. Ἅμαξαι) κ. ἄμαξαι, ut *Iliad.* η'. v. 426.

107. Κατεβήσετο) γρ. κατεβήσετο, *H. Steph.* vid. ad θ'. v. 417.

Ἡ δ'

Ἡ ἦ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψιφαὲς δῶ.
Οἳδ' ἐπεὶ εἰσῆλθον κλυτὰ δώματα, τλῶδε γυναῖκα
Εὗρον, ὅσιν τ' ὄρεος κορυφὴν, τὴ δ' ἔφυγον αὐτήν.
Ἡ δ' αἶψ' ἐξ ἀγορῆς ἐκάλει κλυτὸν Ἀντιφατῆα,
Ὃν πόσιν, ὃς δὴ τοῖσιν ἐμήσατο λυγρὸν ὄλεθρον·
Αὐτίχ' ἕνα μάρψας ἑτάρων, ὡπλίσατο δόρπον·
Τὼ ἦ δὺ' ἀίξαντε φυγῇ ἔβη νῆας ἰκέσθην.
Αὐτὰρ ὁ τεῦχε βοὴν ἀγορὴ ἄρα· οἱ δ' ἀίοντες
Φοίτων ἴφθιμοι Λαιστρυγόνες ἄλλοθεν ἄλλος,
Μυρίοι, οὐκ ἀνδράσιν ἐοικότες, ἀλλὰ Γίγασιν.
Οἵ ῥ' ἀπὸ πέτρεάων ἀνδραχθέσι χερμαδίοισι
Βάλλον· ἄφαρ δ' ἀνὰ νῆας ὀρώρει κακὸς ὀνάρων
Ἀνδρῶν ὀλλυμένων, νηῶν θ' ἅμα ἀγνυμένάων·
Ἰχθῦς δ' ὡς, περόωντες, ἀτερπέα δαῖτα φέρουσι.
Ὄφρ' οἱ τοὺς ὄλεκον λιμένος πολυβενθέος ἐντὸς,
Τοφρά δ' ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Τῇ ἀπὸ πείσματ' ἔκοψα νεὸς κυανοπρῴροιο.
Αἶψα δ' ἑμοῖς ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
Ἐμβαλέειν κώπῃσ', ἵν' ὑπ' ἐκ κακότητα φύγοιμεν.
Οἱ δ' ἅμα πάντες ἀνέρριψαν, δείσαντες ὄλεθρον.
Ἀσπασίως δ' ἐς πόντον ἐπηρεφέας φύγε πέτρας
Νηῦς ἐμή· αὐτὰρ αἱ ἄλλαι ἀολλέες αὐτόθ' ὄλοντο.
Ἔνθεν ἦ τοσσέρω πλέομεν, ἀκαχήμενοι ἦτορ,
Ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους·

Illa valdè statim patris ostendit excelsam domum.
Hi postquam ingressi sunt inclytam domum, ipsam quidem mulierem
Invenerunt, velut montis verticem, & abominati sunt illam.
Illa verò continuò è foro evocabat inclytum Antiphatem
Suum maritum, qui jam illis intendebat sævam mortem;
Statim uno correpto sociorum, apparavit cœnam:
Duo verò ruentes fugâ ad naves pervenerunt.
Cæterum is clamorem excitavit per urbem, atque illi audientes
Ibant fortes Læstrygones alundè alius,
Innumeri, non hominibus similes, sed Gigantibus;
Qui à petris ponderosis saxis
Jaciebant; statim autem malus strepitus per naves excitatus est,
Virorum pereuntium, naviumque fractarum;
Tanquam pisces verò, transfigentes tristes epulas ferebant.
Dum illi hos perdebant profundum portum intrà,
Interea ego gladium acutum extrahens à fœmore,
Eo funes abscidi navis nigrâ-prorâ.
Statimque meos socios excitatos jussi
Incumbere remis; ut calamitatem subterfugeremus.
Hi simul omnes incumbunt timentes mortem.
Libenter autem in pontum altas effugit petras
Navis mea: cæterùm reliquæ densæ illic perierunt.
Hinc igitur ulteriùs navigavimus tristes corde,
Læti ex morte *evitatâ*, postquam dilectos amisimus socios.

ΣΧΟΛΙΑ.

111. Ἐπέφραδεν.] Ἐσήμανεν, ἔδειξεν.
113. Κατὰ δ' ἔσυγον.] Κατεπλάγησαν.
119. Φοίτων.] Περιῆλθον.
121. Ἀνδραχθέσι.] Τοῖς δυναμένοις ἄνδρα καταβαρύνειν· ἢ μέγα βάρος παρέχουσι τοῖς βασταζουσι.
122. Κόναβος.] Ἦχος.
123. Ἀγνυμένάων.] Συντριβομένων.
124. Ἰχθῦς δ' ὡς περόωντες.] Ἀντὶ τοῦ, ταχόμενοι καὶ πτερῶντες, ὥσπερ ἰχθύες, ἢ ἀλλαπερόωντες, ὡς ἰχθύας· χάριν δὲ καὶ σταίρουσα. πείρουσι γὰρ, ἐκ αὐτοῦ τὸ διείρουσι. Φέρουσι.] Περιφέρουσι.
130. Ἀπέρριψαν.] Ἐκατεπλάγησαν.
131. Ἐπηρεφέας.] Ἤτοι ἄνωθεν ἐπηρμένας, ἢ ἐπικαλυμμένας πέτρας.
132. Ἀολλέες.] Ὁμοῦ πᾶσαι.

NOTÆ.

120. Οὐκ ἀνδράσιν ἐοικότες, ἀλλὰ Γίγασιν) Hinc νὸκ ἀνδρογίγας facta *Callimacho*, Hymn. *Cereris*, v. 35. Et Nos, *Esther*. v. 1087. Ὦγαί τε καὶ Σιμῶνα κατὰλιτον ἀνδρογίγαντας. De Gigantibus diximus ad γ'. v. 59.

VARIÆ LECTIONES.

116 Ἕνα μαρψας) γρ. ἓν' ἁμαρψας, rectissimè, pro ἀναμαρψας. *Ibid.* Δόρπον) γρ. δεῖπνον, *H. Steph.*
124. Περόωντες) γρ. σταίρουσι, *Br. Schol.*

135 Αἰαίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιε
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεός, αὐδήεσσα,
Αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο.
Ἄμφω δ' ἐκγεγάτην φαεσιμβρότου Ἠελίοιο,
Μητρός τ' ἐκ Πέρσης, τὴν Ὠκεανὸς τέκε παῖδα.
140 Ἔνθάδ' ἐπ' ἀκτῆς νηῒ κατηγαγόμεσθα σιωπῇ
Ναύλοχον ἐς λιμένα, καί τις θεὸς ἡγεμόνευεν.
Ἔνθα τότ' ἐκβάντες, δύο τ' ἤματα καὶ δύο νύκτας
Κείμεθ', ὁμῶς καμάτῳ τε, καὶ ἄλγεσι θυμὸν ἔδοντες.
Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
145 Καὶ τότ' ἐγὼν ἐμὸν ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ,
Καρπαλίμως νηὸς ἀνήϊον ἐς θεοπιλὴν,
Εἴπως ἔργα ἴδοιμι βροτῶν, σκοπιήν τε πυθοίμην.
Ἔσχον δ', σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθὼν,

Æam autem ad insulam pervenimus: ubi habitabat
Circe pulchricoma, veneranda dea, eloquens,
Germana soror prudentis Æetæ:
Ambo enim natæ sunt ex illustrante nomine Sole,
Et matre ex Perse, quam Oceanus genuit filiam.
Hic in littore nave devenimus clàm
Navium-capacem in portum, & Deus aliquis dux erat.
Ibi tum exeuntes, duos dies & duas noctes
Jacebamus, pariter & labore, & dolore animum macerantes,
Sed quando jam tertiam diem pulchricoma perfecit aurora,
Et tum ego meam hastam capiens & gladium acutum,
Celeriter ab nave recessi in speculam,
Sicubi opera viderem mortalium, vocemque audirem.
Stabam igitur, speculam in præruptam ubi conscendissem,

Σ Χ Ο Λ Ι Α.

135. Αἰαίην.] *Ταύτην ἔνιοί φασι, τὴν τῶν Κίρκαιον ὡσὰς τῇ Ἰταλίᾳ.

136. Αὐδήεσσα.] Ἤτοι θεοειδῆ, ἢ εἰς ἀφελξιν καὶ προσαγόρευσιν ἀνθρώπους ἐρχομένη· ἢ καθὸ ἐπίγειός ἐστι.

137. Ὀλοόφρονος.] Τῇ σωτείρᾳ καὶ ὀλόκληρα φρονούσῃ. Αἰήτεω.] Κόλχων βασιλέως, πατρὸς Μηδείας, Κίρκης ἀδελφῆς.

138. Ἐκγεγάτην.] Ὑπάρχουσιν. Φαεσιμβρότου.] Τὸ φῶς τοῖς ἀνθρώποις φαίνοντος.

139. Πέρσης.] Πέρση, Ὠκεανῆϊ μὲ ἐκ θυγατρὶ, Ἡλίῳ ἢ γυνή. *Ἠλίῳ ἢ, καὶ Πέρσης, ἢ Ὠκεανῆϊ, Αἰήτης καὶ Κίρκη. Ἡσίοδος ἢ καὶ τὴν Ἐκάτην Περσηΐδα λέγει.

140. Ἀκτῆς.] Παραθαλασσίᾳ τόπῳ.

141. Ναύλοχον.] Τὸν εἰς φυλακὴν τῶν νεῶν ἐπιτήδειον τόπον· ἢ τὰς ναῦς κρύπτοντα. ἢ ὑποδεχόμενον.

146. Ἀνήϊον.] Ἀνῆλθον. Περιωπὴν.] Τόπον ὑψηλὸν· ἀφ' ἧς ἐπισκέψασθαι ἐδύνατο τὰ ἐπιπολάζοντα.

N O T Æ.

136. Θεὸς αὐδήεσσα) Cùm nulla subsit ratio, quare *Circe* θεὸς αὐδήεσσα potius dicatur, quàm quævis alia Cœlestium Dearum, quibus vocem certè *Homerus* minimè negat; quidni alia Antiqua *Lectio* hic præferenda videatur, ἀδήεσσα, de quâ re fusius ad ι'. v. 334. Certè *Br. Schol.* & hìc eam *Lectionem* alludunt in ipso fine, Καθὸ ἐπίγειός ἐστι.

137. Αὐτοκασιγνήτη Αἰήταο) *Æetes*, Rex *Colchorum*, filius *Solis* & *Perseidos*, vel *Persæ*, *Oceanina*; sororem habuit *Circen*, filiam *Medeam*, filium *Absyrtum*.

138. Ἐκγεγάτην) Non hoc *Contractum*, pro ἐκγέγαστην, tum enim *Penultima* produceretur; verùm a *Simplici* ἔκγαα, pro ἐκγέγαα. Fit enim γέγαα, ut γεγαὼς, γεγὼς, *Hesychio*. Sic μεμαὼς, μεμὼς, minimè per *Contractionem*. Γεγάτην autem legitur in *Tertiâ* Duali; quâ γέγαα æquè dicitur atque γεγάασι. Nam ut *Tertia* Dualis definit in ον, ubi *Tertia* Pluralis exeat in ασι, ασι, ασι, vel αρ· Sic è contrà semper definit in ην, ubi *Tertia* Plurali exeat in ον, αν, ασι, vel τ· quod *Observanti* patebit. Quòd autem γέγαα, æquè atque γεγάασι dicatur, id sine Exemplo non fit; nam ità *Bœoticè* πίφευκα, pro πεφεύγασι, *Lycophron*. v. 252. Ἔοργα, *Homer*. Batrachom. v. 178. Ἔγνωκα, *D. Johan.* c. 17. v. 8. Εἰρήκαν, *Apocalyps.* c. 19. v. 3.

NOTÆ IN SCHOLIA.

135. *Ταύτην, pro αὐτὴν, lego ex *Aloysii* MS. Hunc locum explicat *Theophrastus* περὶ φυτῶν, l. 5. c. 9. Τὸ ἢ Κιρκαῖον καλούμενον, εἶναι μὲ ἄκανθαι ὑψηλαὶ, δασεῖαι ἢ σφόδρα, καὶ ἔχειν δρῦν ἐ δάφνην πολλαχοῦ, καὶ μυρρίνην· λέγειν ἢ τοὺς ἐγχωρίους, ὡς σπανίζῃ ἡ Κίρκη κατοικοῦσα, ἐ δεικνύειν τὸ ἕδος Ἑλπήνορος πάφον. — Καὶ πρότερον μὲ ἦν, νῆσον εἶναι τὸ Κιρκαῖον· νῦν ἢ ὑπὸ πολέμων τινῶν ἐστενοχωρῆσθαι, καὶ εἶναι ἡπείρου· τὸ ἢ μῆκος τὸ μεταξὺ πρὸς ὀγδοήκοντα σταδίους. Vid. *Munck.* in *Hyginum*, p. 194.

139. *Ἠλίῳ ἢ] Has voculas, Sensui planè necessarias, ex *Aloysii* MSto addendas curavi. Huc refer *Spondan.* in locum, fol. 135. ubi ex *Hesiodo* & *Diodoro Siculo*, multa in hanc rem.

VARIÆ LECTIONES.

135. Ἔνθάδ' ἐπ'] κ. ἔνθα δ'.

136. Αὐδήεσσα) ζ. ἀδήεσσα, *H. Steph.* Vid. Not. in τρίτον.

Καὶ

Καί μοι ἐείσατο καπνὸς ὑπὸ χθονὸς ἠϋγενείης,
Κίρκης ἐν μεγάροισι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλλα.
Μερμήριξα δ' ἔπειτα κατ' φρένα καὶ κατὰ θυμόν
Ἐλθεῖν, ἠδὲ πυθέσθαι, ἐπεὶ ἴδον αἴθοπα καπνόν.
Ὡδε δέ μοι φρονέοντι δοάσατο κέρδιον εἶναι,
Πρῶτ' ἐλθόντ' ἐπὶ νῆα θοὴν καὶ ἕταρα θαλάσσης,
Δεῖπνον ἐταίροισιν δόμεναι, πεφέρμεν τε πυθέσθαι.
Ἀλλ' ὅτε δὴ σχεδὸν ἦα νεὸς ἀμφιελίσσης,
Καί τότε τίς με θεῶν ὀλοφύσατο μοῦνον ἐόντα,
Ὅς ῥά μοι ὑψίκερων ἔλαφον μέγαν εἰς ὁδὸν αὐτὴν
Ἦκεν· ὁ μὲν ποταμόνδε κατήιεν ἐκ νομοῦ ὕλης,
Πιόμενον, δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο·
Τόνδ' ἐγὼ ἐκβαίνοντα κατ' ἄκνηστιν μέσα νῶτα
Πλῆξα· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε·
Κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ὑπὸ δ' ἔπτατο θυμός·
Τῷδ' ἐγὼ ἐμβαίνων, δόρυ χάλκεον ἐξ ὠτειλῆς
Εἰρυσάμην· τὸ μὲν αὖθι κατακλίνας ἐπὶ γαίῃ
Εἴασα· αὐτὰρ ἐγὼ σπασάμην ῥῶπάς τε λύγους τε.
Πεῖσμα δ', ὅσον τ' ὄργυιαν, ἐϋστρεφὲς ἀμφοτέρωθεν
Πλεξάμενος, συνέδησα πόδας δεινοῖο πελώρου.

Et mihi apparebat fumus à terrâ latâ,
Circes in ædibus, per arbores densas & sylvam.
Deliberabam itaque deinde in mente & in animo
Proficisci, atque scisciari; postquam vidi fuligineosum fumum.
Sic verò mihi reputanti visum est satiùs esse,
Primùm profectum ad navem celerem & littus maris
Prandium sociis dare, præmittereque ad inquirendum.
Sed quando jam propè eram vadens ad navem utrinque agitatam,
Certe tum aliquis me deorum misertus est solum exulantem
Qui mihi excelsis cornibus cervum magnum in viam ipsam
Misit; is quidem ad flumen descendebat ad pascua sylvæ
Potaturus, jamdudum enim ipsum ceperat vis Solis.
Hunc ego egredientem per spinam medio tergo
Percussi, ipsum verò penitùs hastile ferreum transiit:
Decidit itaque in pulveres vociferans, & evolavit animus.
In hunc ego irruens, hastam ferream ex vulnere
Extraxi, illam quidem illic reclinans in terrâ
Reliqui; cæterùm ego avulsi virgultaque viminaque;
Funeque ad ulnæ longitudinem benè torto undique
Complicato, colligavi pedes ingentis monstri.

ΣΧΟΛΙΑ.

149. Ἐείσατο.] * Ἐφάνη.

150. Διὰ δρυμά.] Διὰ τῶν δρυμαδῶν, καὶ σκιωδῶν τόπων.

152. Αἴθοπα καπνόν.] Τὸν ἐκ τῆς αἴθης, * ἤτοι καπνὸς, κτόμενον.

155. Πεφέρμεν.] * Προπέμψαι.

156. Ἀμφιελίσσης.] Ἐκατέρωθεν ἐλαυνομένης.

157. Ὀλοφύσατο.] Ἠλέησεν.

158. Ὑψίκερων.] Ὑψηλὰ κέρατα ἔχοντα.

159. Κατήιεν.] Κατήρχετο.

160. Δὴ γάρ μιν ἔχε μένος ἠελίοιο.] Τὸν *Ἴλαφον φησὶν ἐπὶ τῆς Ἠλίου σκηπτικῆς, καὶ ὡς ἐν πυρὶ γεγενῆσθαι· διὸ καὶ ἐπὶ τὸ ποταμὸν καλύναι, ἵνα πίῃ ἕνεκα.

161. Κατὰ ἄκνηστιν.] Ἐπιξηράσαι μέσα νῶτα, τὴν ῥάχιν· ἢ τὰ μέσα τῶν τετραπόδων, παρὰ τὸ μὴ δύνασθαι κινήσασθαι.

163. Μακών.] Ὠνομασθαπτοίηκε τῇ λέξει, οἷον πωλεῖν φωνῇ καὶ ἀσημῳ ἀκατασκέπτως.

164. Ἐμβαίνων.] Ἐπιβαίνων, ὡς λάξ.

165. Εἰρυσάμην.] Εἵλκυσα.

166. Σπασάμην.] Ἀπέσπασα. Λύγους.] Γένη ῥάβδων. Ῥῶπάς τε λύγους τε.] Ἱμαντώδη φυτὰ, ἐπιμήκεις καὶ εὐκάμπτους ῥάβδους ἔχοντα.

167. Πεῖσμα.] Σχοινίον. Ὄργυιαν.] Τῶν ἐν χερσὶν ἐχόντων. Ἐϋστρεφὲς.] Καλῶς ἠσκημένον.

168. Πελώρου.] Τέρατος, θηρίου.

* Vid. *Psalm.* 42. v. 1.

NOTÆ.

160. Πίομεν) Ut πῶ, pro πίνω, *Priorem* haud rarò producit, ità πίω, pro πίνω, non semel; de quâ re Nos plura, ad π'. v. 143.

NOTÆ IN SCHOLIA.

149. * Ἐφάνη) Ità, pro Corrupto ἐφώτ, nihil hîc à MSto adjutus.

152. * Ὃ ἐπ καπνὸς κτόμενον, ex *Aloysii* MSto.

155. * Προπέμψαι) Ità pro προπέμψαμεν, quod προέμεν sit Modi *Infinit.* MS. προπέμψαι, mihi πρὸ ε'. admisso.

VARIÆ LECTIONES.

158. Ὑψίκερων) γρ ὑψίκερον.

160. Πιόμεν) γρ. πινόμενον.

Βὰς ὑ καζαλοφάδια φέρων ἐπὶ νῆα μέλαιναν,
Ἔσχε ἐρειδόμενος, ἐπεὶ οὔπως ἦεν ἐπ' ὤμῳ
Χειρὶ φέρειν ἑτέρῃ· μάλα γὰρ μέγα θηρίον ἦεν.
Κὰδ δ' ἔβαλον προπάροιθε νεὸς· ἀνέγειρα δ' ἑταίρους
Μειλιχίοις ἐπέεσσι, παραστὰς ἄνδρα ἕκαστον,
Ὦ φίλοι, ἢ γάρ πως καζαδυσόμεθ', ἀχνύμενοί περ,
Εἰς Ἀΐδαο δόμους, πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ.
Ἀλλ' ἄγετ', ὄφρ' ἐν νηῒ θοῇ βρωτύς τε, πόσις τέ,
Μνησόμεθα βρώμης, μηδὲ τρυχώμεθα λιμῷ.
Ὣς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο·
Ἐκ δὴ καλυψάμενοι πρὸ θῖν' ἁλὸς ἀτρυγέτοιο
Θηήσαντ' ἔλαφον· μάλα γὰρ μέγα θηρίον ἦεν.
Αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν,
Χεῖρας νιψάμενοι τεύχοντ' ἐρικυδέα δαῖτα.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καζαδύντα
Ἤμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ.
Ἡμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότ' ἐκοιμήθημεν ἐπὶ ῥηϊμῖνι θαλάσσης.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,

Descendi itaque in cervice gerens ad navem nigram,
Hastâ innixus, quoniam nullo pacto poteram in humero
Manu ferre altera; valdè enim magnum animal erat.
Dejeci autem ante navem, excitavique socios
Blandis verbis, astando viros singulos,
" O Amici, nequaquam certè descendemus, quantumvis afflicti,
" In Plutonis ædes, antequam fatalis dies advenerit.
" Sed agitè, quamdiu ea in navi celeri cibusque potusque,
" Memores simus escæ; neque vexemur fame.
Sic dicebam; hi celeriter meis verbis parebant:
Egressi autem è latebris ad littus maris irrequieti
Admirabantur cervum; valdè enim magna fera erat.
Cæterùm postquam oblectati sunt videntes oculis,
Manibus lotis apparabant eximium convivium.
Sic tum quidem totum diem ad Solis occasum
Sedebamus, convivantes carnes multas & vinum dulce:
Quando autem Sol descendit & tenebræ advenerunt,
Certè tum dormivimus in littore maris.
Quando autem manè-genita apparuit roseis-digitis aurora,

Σ Χ Ο Λ Ι Α.

169. Καζαλοφάδια.] Καζὰ λόφα ἢ αὐχένος, καζὰ τραχήλου.

170. Ἐρειδόμενος.] Ἐπερειδόμενος. Οὔπως εἶχεν.] Οὐκ εὐδέχετο ἴσχειν.

173. Παραστὰς.] Παρεστὼς πλησίον.

174. Καζαδυσόμεθα.] Καπλαδυσόμεθα, καπίλλομεν. Ἀχνύμενοί περ.] Καὶ σὺ λυπούμενοι.

175. Εἰς Ἀΐδαο.] Εἰς ᾅδης. Μόρσιμον ἦμαρ.] Τὴν εἱμαρμένην ἡμέραν.

177. Βρώμης.] Βρώσεως. Τρυχώμεθα.] Καταπονώμεθα.

179. Ἐκ δὴ καλυψάμενοι.] Ἐκκαλύψαντες, λάσιοι πάσαντες.

182. Τεύχοντο.] Κατασκεύαζον. Ἐρικυδέα.] Τὴν ποιοῦσαν χαυνότητα, ἢ μεγάλως * ἐνδοξον.

184. Ἄσπετα.] Πολλά.

N O T Æ.

169. Βὰς ὑ καζαλοφάδια φέρων) Olim καζαλοφάδια, at *H. Steph.* καζαλοφάδια legit rectius. Ita & *Seberus*, MS. *Aloysii*, *Br. Schol.* vid. supra ad ι'. v. 490. *Eustath.* fol. 389. lin. 31. Καζαλοφάδια ὑ, ἀντὶ τοῦ, καζὰ λόφα, ἤγουν αὐχένος, καζὰ τραχήλου· λόφος ὑ κυρίως, ἐπὶ ἀλόγων ζώων, τὸ μὴ τῷ κεφαλῇ· ἔνθα τινὲς ζυγυγημένους ἐπιλέγεται ὁ ζυγός. Et alias, Ὁ λόφος, ὁ ἄνω τόνου, ὅτι ὁ ὦμος τραχήλου· ὅθεν καὶ τὸ καζαλοφάδια· καὶ παρὰ Σοφοκλεῖ, τὸ, — τοῦ ζυγοῦ ὑπὲρ αὐλόφως φέρειν· ὡς λόφος ὅτος ὁ καζὰ τὸ τραχήλου μέρος, ᾧ ἐπίκειται ὁ ζυγός.

174. Ὦ φίλοι, ἢ γάρ πως) Si quod faveret Exempl. ar, σὺν ἄρ πως legerem; nihil enim τὸ ἦ videtur huc pertinere. Facilis autem *Amanuensium* Error, ex similitudine soni, inter ἢ ἦ & σὺν ἄρ, unde sæpe idem ortus Error. Τὸ ἦ tamen haud rarò circa initium.

177. Μνησόμεθα) Aperte ponitur, pro μνησώμεθα, ut ex τρυχώμεθα constat. Vid. ad α'. v. 41.

N O T Æ I N S C H O L I A.

182. * Ἔνδοξον) Ita pro ἔνδοξα scribo, nam ad δαῖτα refertur.

V A R I Æ L E C T I O N E S.

169. Καζαλοφάδια) γρ. καζαλοφάδια, vid. Not. in *Textum*.

170. Οὔπως ἦεν ἐπ' ὤμῳ) γρ. ὕπως ἦν ἐπὶ ὤμῳ, *H. Steph.* & ὕπως εἶχεν (an εἶχον) ἐπ' ὤμῳ, *Br. Schol.*

174. Οὐ γάρ πως) γρ. ἢ γάρ πω & πω, *H. Steph.* & σὺν ἄρ πω, vid. Not. in *Textum*.

175. Ἐπέλθῃ) γρ. ἐπιλθεῖν, *H. Steph.*

Καὶ

Καὶ τότ' ἐγὼν ἀγορὴν θέμην μετὰ πᾶσιν ἔειπον,
Κέκλυτέ μοι μύθων, κακὰ πολλὰ πάσχοντες ἑταῖροι,
Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν, ὅπη ζόφος, οὐδ' ὅπη ἠώς,
Οὐδ' ὅπη ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
Οὐδ' ὅπη ἀνήεται· ἀλλὰ φραζώμεθα θᾶσσον,
Εἴπης ἔτ' ἔστι μῆτις· ἐγὼ δ' οὐκ οἴομαι εἶναι.
Εἶδον γάρ, σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,
Νῆσον, τὴν πέρι πόντος ἀπείρισος ἐστεφάνωται·
Αὐτὴ δὲ χθαμαλὴ κεῖται, καπνὸν δ' ἐν μέσῃ
Εἰσάκουσ' ὀφθαλμοῖσι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
Ὡς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ,
Μνησαμένοις ἔργων Λαιστρυγόνος Ἀντιφάταο,
Κύκλωπός τε βίης μεγαλήτορος ἀνδροφάγοιο.
Κλαῖον δὲ λιγέως, θαλερὸν χύτ' δάκρυ χέοντες·
Ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίνετο μυρομένοισιν.
Αὐτὰρ ἐγὼ δίχα πάντας ἐϋκνήμιδας ἑταίρους

Et tum ego concione coactâ omnes alloquutus sum,
" Audite meos sermones, mala etsi passi, socii,
" O amici, non enim scimus, ubi Septentrio, neque ubi Meridies,
" Neque ubi sol hominibus lucem præstans vadit sub terram,
" Neque ubi resurgit; quare consilium ineamus celeriter,
" Si quid adhuc fuerit consilii; ego quidem non existimo esse.
" Vidi enim, speculam ubi ad excelsam ascendi,
" Insulam, quam pontus infinitus circumdat;
" Ipsa verò humilis jacet, fumumque in medio
" Vidi oculis, per arbores densas & sylvam.
Sic dicebam, his verò perculsum est amicum cor,
Recordatis facinorum Læstrygonis Antiphatæ,
Cyclopisque violentiæ, magnanimi, viros-devorantis.
Flebant itaque valdè uberes lacrymas profundentes:
Sed nullum erat emolumentum, *quod accurreret*, lugentibus.
Cæterùm ego bifariam omnes beneocreatos socios

ΣΧΟΛΙΑ.

188. Μετὰ πᾶσιν.] Ἔνιοι, μοῦθον.

190. Οὐ γάρ τ' ἴδμεν ὅπη.] Οὐ γὰρ ἴσμεν, ὅπου δύσις, ἢ ὅπου ἀνατολή· ταῦτα δὲ λέγει οὐκ ἀπειρῶν, ἀλλὰ διεσπαθῶν τοῖς παροῦσιν.

192. Ἀνείτην.] Ἀναπλᾷ, ἀνίσχει, ἀναφέρει.

195. Ἀπείρισος.] Πολύς. Ἐστεφάνωται.] Κύκλῳ ἀπείληπται.

196. Χθαμαλή.] Ταπεινή.

197. Ἐδρακον.] Ἐθεασάμην.

199. Μνησαμένοις.] Ὑπομνησθεῖσιν.

NOTÆ.

190. Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν.) Et hic, οὐκ ἄρ τ' ἴδμεν, ob eandem rationem legerem, & infrà, v. 202. De hoc autem loco videsis *Meric. Casaubon.* De Nuperâ *Homeri* Editione, §. 1. p. 44, &c. quod tamen paulò ante obsérvárat *Spondanus*, in locum, fol. 137. qui & *Strabonem* laudat, quod *Casaubono* dissimulâsse vix erat ingenuum: licet ante utrumque *Eustathius* fol. 1654. lin. 11. *Basil.* Edit. fol. 391. lin. 8. digitum tenderet ad *Strabonem*, l. x.

192. Ἀνείτην.) Pro ἀνανείτην, ab ἀνὰ & νέομαι, recte itaque duplicatur τὸ ν'. Ità *Eustath.* fol. 391. lin. 2. Ἀνίᾳ, τοῦτο γάρ ἐστι τὸ ἀνείτην, ἀντὶ δ'. ἀναπείχῃ, ἀνατείνῃ), ἀνίσχει), ἀναπέλᾳ. Male itaque *Br. Schol. Florentin. Aldin. Lovanian. Suidas*, &c. quicunque ἀνείτην hic legunt.

202. Ἀλλ' οὐ γάρ τις πρῆξις.) Et hic videtur legendum, Ἀλλ' οὐκ ἄρ τις. Vid. supra, ad v. 174. & v. 190. Πρῆξις) Ἄνυσις, *Hesych.*

NOTÆ IN SCHOLIA.

190. Οὐ γάρ τ' ἴδμεν.) Ad explicandum hoc *Scholion* & *Versionem*, pariter nostram, De Quatuor Mundi plagis, eadem faciunt *Br. Schol.* ad Ε'. v. 1. & Not. in *Schol.* & locum ibi notatum *Strabonis*, Ἐσὶ μὲν δὴ δίχα τὴ τέτταρα κλίματα τὴν ἡὼ διχομένους τὸ Νότον μέρος. & *Casaubon.* in dictum *Strabonis* locum. *Eustath* fol. 391. lin. 10. Τῶν τινὲς δὲ Παλαιῶν, οὐκ ἀπείρους, διεσπαθῆσθαι δέ, τὸ Ὁδυσσέως πᾶσι λέγει φασί. Vid. Not. in *Textum* & *Spondan.* in locum.

VARIÆ LECTIONES.

188. Μετὰ πᾶσιν) γρ. μοῦθον, *Florent. Lovan. Aldin. Br. Schol. H. Steph.*

191. Εἶσ' ὑπὸ γαῖαν) γρ. εἶσιν ὑπὸ γῆν, *H. Steph.* non benè.

192. Ἀνείτην) γρ. ἀνεῖτην, *Suidas*; vid. Not. in *Textum.*

193. Ἔστι) γρ. ἔσιν.

200. Ἀνδροφάγοιο) γρ. ἀνδροβόροιο, & ἀνδροφόνοιο, *H. Steph.*

201. Καὶ δάκρυ χέοντες) γρ. καὶ δακρυχέοντες, *H. Steph.* Vid. infrà, ad v. 409.

202. Οὐ γάρ τις) γρ. οὐκ ἄρ τις, vid. suprà ad v. 174.

Ἠέλ-

Ἠείθμεον· ἦρχον δὲ μετ' ἀμφοτέροισιν ὄπασσα·
Τῶν μὲν ἐγὼν ἦρχον, τοῖς δ' Εὐρύλοχος θεοειδής.
Κλῆρος δ' ὠκὺν χαλκῆρει πάλλετο μῶκα,
Ἐκ δ' ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο.
Βῆ δ' ἰέναι, ἅμα τῷ γε δύω καὶ εἴκοσ' ἑταῖροι
Κλαίοντες· κατὰ δ' ἄμμε λίπον γοόωντας ὄπιθεν.
Εὗρον δ' ἐν βήσῃσι τετυγμένα δώματα Κίρκης
Ξεστοῖσι λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.
Ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι, ἠδὲ λέοντες,
Τοὺς αὐτὴ κατέθελξεν, ἐπεὶ κακὰ φάρμακ' ἔδωκεν.
Οὐδ' οἵγ' ὁρμήθησαν ἐπ' ἀνδράσιν, ἀλλ' ἄρα τοίγε
Οὐρῇσιν μακρῇσι περισσαίνοντες ἀνέσταν.
Ὡς δ' ὅταν ἀμφὶ ἄνακτα κύνες δαίτηθεν ἰόντα
Σαίνωσ'· αἰεὶ γάρ τε φέρ' μειλίγματα θυμῷ·

Numerabam; principemque utriſque præbui:
Alterorum ego dux eram, alterorum Eurylochus deo ſimilis.
Sortes vero in galeâ ferreâ concuſſimus celeriter;
Et exiliit ſors magnanimi Eurylochi.
Feſtinabat igitur ire; unaque cum eo duo & viginti ſocii
Flentes; & nos reliquerunt lugentes poſt eos.
Inveniebant itaque in convalle ædificatas ædes Circes
Politis lapidibus conſpicuo in loco.
Circa ipſam verò lupi erant montani atque leones,
Quos illa circumraverat, poſtquam mala pharmaca dediſſet.
Neque illi irruerunt in viros, ſed utique ipſi
Caudis longis adblandientes aſſurgebant:
Quemadmodum quoties dominum canes è convivio proficiſcentem
Circumblandiuntur, ſemper enim adfert lenimenta furoris;

ΣΧΟΛΙΑ.

204. Ὄπασσα.] Ἔδωκα.
206. Κυνέῃ.] Περικεφαλαίᾳ. Πάλλομεν.] Ἐσείομεν.
207. Ἔθορεν.] Ἐξεπήδησεν.
210. Ἐν βήσῃσιν.] Ἐν ταῖς προβάσεσι καὶ ὀρεσταῖς κοιλάσιν.
212. Ὀρέστεροι.] Ἄγελοι.
213. Κατήλυθον.] Πρᾶοι καὶ ἥμεροι ἐποίησεν.
215. Περισσαίνοντες.] Κολακεύοντες.
216. Δαίτηθεν.] Ἀπὸ εὐωχίας.
217. Σαίνασι.] Κολακεύουσι. Μειλίγματα.] Περὶ ἡδονὴν δωρήματα, ἢ κρέα πινὰ, ἢ τοῦ ὀπτηματοδαλιοῦ, ὃν ὡσεὶ δεῖχνυσι οἱ τὰς κύνας ἐρεθίζοντες.

NOTÆ.

204. Ἠείθμεον· ἦρχον δ') Duæ poſteriores ἠείθμεον Syllabæ, in *Scanſione* ſunt contrahendæ in unam, quaſi ἠείθμευν ſcriberetur. De quâ re moneo, ad *Iliad.* σ'. v. 493.

205. Κλῆρος δ' ὠκὺν κυνέῃ) Hunc morem ſortes in Galeâ movendi tangit *Homerus, Iliad.* γ'. v. 316. ubi de *Paride* & *Menelao* congreſſuris; item *Iliad.* η'. v. 175. ubi de *Hectore* & *Ajace*, de quâ re etiam *Sophocles*, Ajac. v. 1301. Vid. *Spondan.* in locum fol. 122.

211. Ξεστοῖσι λάεσσι) In multis hactenus, ξεστοῖσι λάεσσιν, ut & mox, v. 215. Οὐρῇσι μακρῇσιν, ubi τὸ λ'. & τὸ μ'. poſſunt ob vim ectaticam ſufficere, infrà tamen, v. 253. ξεστοῖσιν λάεσσιν & olim rectè ſcriptum, quod & haud rarò in Vetuſtiſſimis Codicibus; quare nunc in omnibus, ad vitandam *Tyronum* offenſionem & Scriptoris incertitudinem, ità ſcribendum curavi. Vid. infrà, v. 450.

212. Ἀμφὶ δέ μιν λύκοι ἦσαν) Huc refer *Spondanum*, multis probantem tales fieri mutationes, à fol. 137. ad fol. 139. *inclusivè*. De λυκανθρωπίᾳ, *Camerarius*, Ds. de *Montaigne*, & alii. Vid. *Euſtath.* fol. 392. lin. 39 & mox, lin 43. Εἶτε ἡ ἐγχώριος λέοντες οἱ ῥηθέντες καὶ λύκοι, εἴτε ἐξ ἄλλοθι ποθὲν μεταπεμφθέντες, σιωπᾷ ὁ Ποιητὴς, ὡς μὴ ἀναγκαῖον ὂν παρασημαίνεσθαι.

215. Οὐρῇσιν μακρῇσι) Vid. ſuprà, ad v. 211. Περισσαίνοντες) Licet à σαίνω, in *Compoſitione* tamen, σ'. duplicatur, *Metri* cauſâ; ut in vocibus ἐύσσελμος, ὑποσσείω, ἐπισσείησιν, *Iliad.* δ'. v. 167. &c. ità in ἐννέπω, πολυσσήνησος, παρράλιος, & *Euſtathius*, *Henricuſque Stephanus* in hoc loco Duplicant σίγμα. Vid. ad π'. v. 4.

NOTÆ IN SCHOLIA.

217. Ad hujus *Scholii* explicationem, & quid ſit ὀπτηματοδαλιὰ, facit illud *Pollucis* Onomaſtic. l. 6. c. 14. Οἱ παλαιοὶ ταῖς καλυμμέναις ὀπτηματοδαλιαῖς ἐχρῶντο, αἱ ἦσαν ἐν τῷ ἄρτῳ μαλακοὶ καὶ στεατώδεις, οἷς ὁ ὀπτησάμενος τοὺς κυνὰς αὐτὸ παρέβαλον· ὅθεν καὶ Λακεδαιμόνιοι κυνιδίοις τοῖς ὀπτηματοδαλιοῖς καλοῦσιν· ὑπο-

VARIÆ LECTIONES.

204. Ἠείθμεον) γρ. ἠείθμευν, vid. Not. in *Textum*.

211. Ξεστοῖσιν λάεσσι) γρ. ξεστοῖσι λάεσσι, vid. Not. in *Textum*.

215. Οὐρῇσιν μακρῇσι) γρ. οὐρῇσι μακρῇσι. *Ibid.* Περισσαίνοντες) γρ. περισσαίνοντες, vid. Not. in *Textum*.

Ὡς

Ὡς τὼς ἀμφὶ λύκοι κρατερώνυχες, ἠδὲ λέοντες,
Σαῖνον· τοὶ δ' ἔδδεισαν, ἐπεὶ ἴδον αἰνὰ πέλωρα.
Ἔσαν δ' εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο·
Κίρκης δ' ἔνδον ἄκουον ἀειδούσης ὀπὶ καλῇ,
Ἱστὸν ἐποιχομένης μέγαν, ἄμβροτον· οἷα θεάων
Λεπτά τε, καὶ χαρίεντα, καὶ ἀγλαὰ ἔργα πέλονται·
Τοῖσι δ' μύθων ἦρχε Πολίτης, ὄρχαμος ἀνδρῶν,
Ὅς μοι κήδιστος ἑτάρων ἦν, κεδνότατός τε,
Ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν,
Καλὸν ἀοιδιάᾳ, δάπεδον δ' ἅπαν ἀμφιμέμυκεν,
Ἦ θεός, ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.
Ὣς ἄρ' ἐφώνησεν· τοὶ δ' ἐφθέγγοντο καλεῦντες·
Ἣ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς,
Καὶ κάλει· οἳ δ' ἅμα πάντες ἀϊδρείῃσιν ἕποντο·
Εὐρύλοχος δ' ὑπέμεινεν, ὀϊσάμενος δόλον εἶναι.
Εἷσεν δ' εἰσαγαγοῦσα κτλ. κλισμούς τε, θρόνους τέ.
Ἐν δέ σφιν τυρόν τε, καὶ ἄλφιτα, καὶ μέλι χλωρὸν,
Οἴνῳ Πραμνείῳ ἐκύκα· ἀνέμισγε δ' ὄσίτῳ
Φάρμακα λύγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.
Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα
Ῥάβδῳ πεπληγυῖα, κτλ. συφεοῖσιν ἔέργνυ.
Οἱ δ' συῶν μὲν ἔχον κεφαλὰς, φωνήν τε, δέμας τε,

Sic circa hos lupi fortibus unguibus atque leones
Geſtu-blandiebantur: hi verò timuerunt, ut viderunt gravia monſtra.
Stabant nihilominùs in januis deæ pulchricomæ:
Circen autem intùs audiebant cantillantem voce pulchrâ,
Telam percurrentem ingentem, divinam, qualia dearum
Subtilia & gratioſa & ſplendida opera ſunt,
Inter hos verba cœpit Polites princeps virorum,
Qui mihi chariſſimus ſociorum erat, maximeque venerandus,
" O ſocii, intus ſanè aliqua percurrens ingentem telam
" Pulchrè canit, pavimentum autem totum reſonat,
" Aut dea, aut fœmina; quare clamemus ocyus.
Sic ſanè dixit; illi verò clamabant vocantes.
Illa continuò egreſſa januas aperuit pulchras,
Et invitabat: illi unà omnes imprudenter ſequebantur:
Eurylochus verò remanſit, ſuſpicatus fraudem eſſe.
Sedere itaque fecit introductos per ſediliaque, thronoſque,
Ipſis interèa caſeumque & farinam & mel flavum,
Vino Pramnio immiſcuit; commiſcuitque pani
Venena nocentia, ut prorſus oblivi-ſcerentur patriæ terræ.
Cæterùm poſtquam porrexitque & ebiberunt, ſtatim deinde
Virgulâ percutiens intra haras concluſit.
Illi ſuum habebant capita, voceſque, corporaque,

ΣΧΟΛΙΑ.

218. Κρατερώνυχες.] Ἰσχυρόποδες.

219. Αἰνὰ.] Δεινὰ, χαλεπά. Πέλωρα.] Τέρατα. Θηρία.

225. Κηδ.] Συγγενικώτατος, φρονιμώτατος. Κεδνότατος.] Τιμιώτατος, κηδεμονικώτατος.

227. Ἀοιδιάᾳ.] Ἀϊδῇ Δάπεδον.] Τὸ ἔδαφος. Ἀμφιμέμυκεν.] Ἠχεῖ, σεσήχε.

230. Ὤϊξεν.] Ἀνέῳξεν.

231. Ἀϊδρείῃσι.] Ἀπειρίαις, ἀνοίαις.

232. Ὀϊσάμενος δόλον.] Ἀπὸ τοῦ μόνον ὅσοι φιλοφρόνως αὐτὸς καλεῖν, καὶ ἀπὸ τοῦ ἡμερόπους τὸ θηρίον.

234. Μέλι χλωρόν.] Νέον.

235. Πραμνείῳ.] Ἔνιοι μὲν τὸν ἐκ Πραμνείας ἀμπέλου οἶνον λέγεσθαι ἠθέλησαν· ὡς καὶ Θασία· ἔνιοι δὲ πραμνείαν, τὸν πραίνοντα τὸ μέθυσμα, οἷον τὸν ψυχρὸν εἰς πραότητα ἄγοντα· οἱ δὲ, ὅτι τὸ οἶνον ἔνιοι καυστικόν. ἔνιοι δὲ ἡδύν· πινὸς δὲ πραμνείσιοι καὶ παραμύθιοι εἰς πολλάκωσιν, καὶ μὴ μισοβάλλοντες. Ἐκύκα.] Ἔσπευδε, ἐπέφερεν, ἐμίσγετο, ἀνέδυεν.

236. Λαθοίατο.] Ἐπιλάθωνται.

238. Πεπληγυῖα.] Κρούσασα. Σκληξασα. Συφεοῖσι.] Ταῖς τῶν χοίρων μάνδραις. Ἔεργνυ.] Συνέκλεισεν.

NOTÆ.

234. Ἐν δέ σφιν τυρόν τε, καὶ ἄλφιτα) Habes hujuſmodi κυκεῶνα, in *Neſtoris* tentorio ſa-rum. *Iliad.* λ'. v. 629. ὅτε. quod etiam τυρὸς pro *Placentâ* po-natur, diximus ad ὁ. *v.* 69.

NOTÆ IN SCHOLIA.

ἁλοῖ δὲ καὶ Ὁμηρ. Ὡς δ' ὅταν ἀμφὶ ἄνακτα, κλ. Vid. *Euſtath. Heſych.* & *Suidam*, v. Ἀπαλαλιαί, *Spondanum*, &c.

235. Πραμνείῳ) *Athene.* l. 1. c. 24. fol. 30. Δίδυμος δὲ Πραμνείου φησὶν οἶνον, ἀπὸ Πραμνείας ἀμπέλου τινὸς καλουμένης, hunc locum reſpiciens.

VARIÆ LECTIONES.

225. Ὅς μοι κήδιστος ἑτάρων ἦν) γρ. Ὅς μοι ἑταίρων ἦν κήδιστος.

Καὶ.

Καὶ τείχας· αὐτὰρ νῆς ἦν ἔμπεδος, ὡς τοπάρος πέρ.
Ὡς οἱ μὲν κλαίοντες ἐέρχαλο· τοῖσι δ' Κίρκη
Πάρ ῥ' ἄκυλον, βάλανόν τ' ἔβαλεν, καρπόν τε κραneίης,
Ἔδμεναι, οἷα σύες χαμαιβληνάδες αἰὲν ἔδουσιν.
Εὐρύλοχος δ' ἀψ ἦλθε θοὴν ἐπὶ νῆα μέλαιναν,
Ἀγγελίην ἑτάρων ἐρέων ἠδ' ἀδευκέα πότμον.
Οὐδέ π ἐκφάσθαι δύνατο ἔπος, ἱέμενός περ,
Κῆρ ἄχεϊ μεγάλῳ βεβολημένος· ὀφρα δέ οἱ ὄσσε
Δακρυόφιν πίμπλαντο, γόον δ' ὠΐετο θυμός.
Ἀλλ' ὅτε δή μιν πάντες ἀγασσάμεθ' ἐξερέοντες,
Καὶ τότε δὴ ἄλλων ἑτάρων κατέλεξεν ὄλεθρον,
Ἤϊομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, Φαίδιμ' Ὀδυσσεῦ·
Εὕρομεν ἐν βήσῃσι τετυγμένα δώματα καλὰ
Ξεστοῖσι λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.
Ἔνθά τις μέγαν ἰστὸν ἐποιχομένη λίγ' ἄειδεν,
Ἢ θεός, ἠὲ γυνή· τοὶ δ' ἐφθέγξαντο καλεῦντες.
Ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ἄϊξε φαεινὰς,

Et fetas; cæterùm mens erat firma, ut antea.
Sic hi quidem flentes concluſi ſunt: his autem Circe
Glandem juglandemque appoſuit, fructumque corni arboris,
Edere, perinde ac ſues humi cubantes ſemper edunt.
Eurylochus autem continuo venit celerem ad navem nigram,
Nuncium de ſocijs relaturus, & amarum fatum.
Sed neque proloqui quibat verbum, cupidus licet,
Cor dolore ingenti perculſus: ipſius verò oculi
Lacrymis implebantur; luctumque arguebat animus.
Sed cum tandem omnes inſtabamus interrogantes,
Tum alterum ſociorum commemoravit exitium,
" Ivimus, ut juſſeras, per ſylvas, inclyte Ulyſſes,
" Invenimus in vallibus fabricatas ædes pulchras
" Politis lapidibus, conſpicuo in loco.
" Illic quidem magnam telam percurrens eleganter canebat,
" Seu dea, ſeu mulier: hi verò clamabant vocantes.
" Illa continuò egreſſa januam aperuit pulchram,

Σ Χ Ο Λ Ι Α.

240. Αὐτὰρ νῆς ἦν.] Οὐχ ὁ σύμπας, ἀλλὰ ἐ καλὸ τὸ φιλάνθρωπον μόνον· διὸ καὶ σαίνουσιν, ὥσπερ ἡμεροῦσι φιλάνθρωπα ἢ ἐκ ἄλλων βιοτῶν, καθὰ ὁ Πίνδαρος. Ἐμπεδὸς.] Βέβαιος.

241. Ἐέρχατο.] Συνεκλείσθησαν ἦσαν.

242. Ἄκυλον.] Τὸν ἐ πεῖνα καρπόν. Βάλανον.] Δρυὸς καρπόν. Καρπόν τε κραneίης.] Ὁ ἐ κραneίας καρπὸς πίτυλλος λέγεται.

243. Χαμαιβληνάδες.] Ἐπὶ βόθρου ἐρύσσοντες ἐ κυμαίνοντες.

245. Ἀδευκέα.] Ἀνιαρόν.

247. Κῆρ.] Τὴν ψυχήν. Βεβολημένος.] Τετρωμένος.

248. Ὠΐετο.] Προσδέχετο, ἐνόσει τε.

249. Ἀγασσάμεθα.] Ἐμιμνῄσκεσθε. Ἀγαζόμεθα.] Ὀρχιζόμεθα.

251. Ἤϊομεν.] Ἐπορεύθημεν.

N O T Æ.

244. Εὐρύλοχος δ' ἀψ ἦλθε) Omninò hìc, pro αἶψ', legendum ἀψ, nam de *Eurylochi* Reditu loquitur; qui & ipſe poſtea fatetur, non ſe ſtatim rediiſſe, verùm diu ibidem præſtolatum eſſe, ut v. 260. ἠμὲν ὁ καθήμενος ἰσχέπαζον. Quare ἀψ in *Textu* lego, αἶψ', inter *Var. Lect.* aſſervandum pono.

246. Οὐδέ π ἐκφάσθαι δύνατο ἔπος) *Ultima* Ε δύνατο producitur, in *Cæſurâ*, τριχικῶς, ad *Eurylochi* horrorem exprimendum, per *Hiatum* Carminis. Vid. *Chriſtophori Waſii* Senarium, in *Hiatu*.

252. Δώματα καλὰ) Malè in nonnullis, δώματα Κίρκης. Non quod reverà non eſſet *Circæ* domus; at quod illius Nomen nondum potuerit *Eurylocho* innoteſcere, & paulò poſt, 254. Ἔνθά τις, ἢ θεὸς, ἠὲ γυνή. Vid. Not. *Fabri* & *Tollii*, ad *Longinum* περὶ ὕψους, §. 19. l. 4. p. 133.

N O T Æ I N S C H O L I A.

ἐκ. *Euſtath.* fol. 395. lin. 21. Φασὶ ἢ οἱ Παλαμοὶ ἐ ὡς ὐχ ὁ σύμπας τῆς τοιούτης φιλοτιμίας, ἀλλ' ὁ καθὰ μόνον τὸ φιλάνθρωπον· διὸ ἐ σαίνουσιν, ὥσπερ ἥμερόν τι οἱ διλφῖνες, ἐξ ἀνθρώπων ἡμέρωσιν, Φιλάνθρωπα ὐκ ἄλλων βιοτῶν, καθὰ Πίνδαρος.

V A R I Æ L E C T I O N E S.

244. Ἄψ) γρ. αἶψ', vid. Not. in *Textum*.

246. Οὐδέ π) γρ. οὐδ' ἔτι, οὐδέτι. *Ibid.* Ἐκφάσθαι) γρ. ἐκφᾶσθαι, & ἐκφαῖσθαι.

249. Ἀγασσάμεθα) γρ. ἀγαζόμεθα, *Br. Schol.*

251. Ἐκέλευες) γρ. ἐκέλευσας, *Suidas*, v. Ἤϊομεν.

252. Δώματα καλὰ) γρ. δώματα Κίρκης, vid. Not. in *Textum*.

Καὶ

Καὶ κάλεϕ· οἱ δ' ἅμα πάντες ἀϊδρείησιν ἕποντο·
Αὐτὰρ ἐγὼν ὑπέμυθα, δόλον δ' ἐνοσάμυνον.
Οἱ δ' ἄμ' ἀϊγώθησαν ἀολλέες, οὐδέ τις αὐτῆϕι
Ἐξεφάνη· δηρὸν δὲ καθήμενον ἐσκοπίαζον.
Ὡς ἔφαν· αὐτὰρ ἐγὼ περὶ μὲν ξίφος ἀργυρόηλον
Ὤμοιϊν βαλόμην, μέγα, χάλκεον· ἀμφὶ δὲ τόξα.
Τὸν δ' αἶψ' ἡνώγεα αὐτὸν ὁδὸν ἡγήσασθαι.
Αὐτὰρ ὅγ' ἀμφοτέρῃσι λαβὼν ἐλλίσσετο γούνων,
Καί μ' ὀλοφυρόμενον ἔπεα πτερόεντα προσηύδα,
Μή μ' ἄγε κεῖσ' ἀέκοντα, διοτρεφές, ἀλλὰ λίπ' αὐτοῦ·
Οἶδα γάρ, ὡς οὔτ' αὐτὸς ἐλεύσεαι, οὔτε τιν' ἄλλον
Ἄξεις σῶν ἑτάρων· ἀλλὰ ξὺν τοῖσδεσι θᾶσσον
Φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ.
Ὡς ἔφαν· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον,
Εὐρύλοχ', ἦτοι μὲν σὺ μεθ' αὐτοῦ τῶνδ' ὀΐω χώρῳ,
Ἔδων καὶ πίνων, κοίλην περὶ νηῒ μελαίνῃ·
Αὐτὰρ ἐγὼν εἶμι· κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη.
Ὡς εἰπὼν ἀπὸ νηὸς ἀνήϊον, οὐδὲ θαλάσσης.
Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλον, ἰὼν ἱερὰς ἀνὰ βήσας,
Κίρκης ἴξεσθαι πολυφαρμάκου ἐς μέγα δῶμα,
Ἔνθα μοὶ Ἑρμείας χρυσόῤῥαπις ἀντεβόλησεν
Ἐρχομένῳ προτὶ δῶμα, νεμεσσήτῃ ἀνδρὶ ἐοικώς,
Πρῶτον ὑπηνήτῃ· τῷπερ χαριεστάτη ἥβη·
Ἓν τ' ἄρα μοὶ φῦ χειρὶ, ἕπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε,

" Et invitabat; Illi simul omnes illum imperitiâ sequebantur:
" Cæterùm ego subitùm, existimans dolum esse.
" Illi igitur simul evanuerunt conferti, neque quisquam eorum
" Apparuit: diù autem delidens animadvertebam.
Sic ait, cæterùm ego quidem gladium argenteis clavis-confixum
Humeris circumjeci ingentem, ferreum, arcumque similiter.
Illumque continuò justi eandem viam monstrare.
Cæterùm illic utrâque prehensis precabatur genibus,
Et me lugens verbis alatis alloquebatur,
" Ne me duc illuc invitum, ô generose, sed relinquas hic:
" Novi enim, quòd neque ipse redibis, neque quenquam aliorum
" Abduces tuorum sociorum: sed cum hisce ocyus
" Fugiamus: adhuc enim forsan effugere poterimus malum fatum.
Sic ait, cæterùm ego ipsum excipiens alloquebar,
" Euryloche, ideo quidem tu mane hic, hoc in loco,
" Edens & bibens, cavam apud navem nigram;
" Cæterùm ego vadam: ingens enim mihi adest necessitas.
Sic fatus ab nave ego ascendebam, atque mari:
Sed cùm jamjam, pergens sacras per valles,
Circes accedebam veneficæ ad magnam domum,
Ibi mihi Mercurius aureâ virgulâ obviam-venit
Incedenti ad domum, adolescenti viro similis.
Primùm pubescenti; cujus gratiosissima est pubertas.
Manuque mihi inhæsit, verbumque dixit & proloquutus est,

ΣΧΟΛΙΑ.

259. Αἰσώθησαν.] Ἠφανίσθησαν.
260. Ἐσκοπίαζον.] Κατεσκόπευον.
266. Ἄγε.] Ἄπαγε. Λίπ'.] Κατάλιπεν.
267. Ἐλεύσεαι.] Ἐλεύσῃ.
268. Ἄξεις.] Κομίσεις.
269. Ἀλύξαιμεν.] Ἐκφύγοιμεν.
272. Ἔδων.] Ἐδίων.
273. Εἶμι.] Πορεύομαι. Κραπερή.] Ἰσχυρά.
275. Ἱερὰς ἀνὰ βήσας.] Τὰς ἀτριβήτους.
277. Χρυσόῤῥαπις.] Χρυσῶν ῥάβδον ἔχων. Ἀντεβόλησεν.] Συνίντησεν.
278. Νεμεσσήτῃ.] Νεοτέρῳ.
279. Πρῶτον ὑπηνήτῃ.] Ἄρτι * χνοιοῦσθαι. Ὑπηνήτης δέ ἐστι, τὸ ἐπίνωτον χιλὸν, ἀφ' ᾧ πρῶτον χνοῦται χνοῦς, ὅ ἐστιν, ἡ πρώτη δασύτης χνοώδης ἔκφυσις. Ἥβη.] Ἀκμὴ, ἡλικία.

NOTÆ.

263. Τόνδ' αἶψ' ἡνώγεα) Et hìc suspicor legendum ἄψ. pro αἶψ', ob easdem rationes, quas suprà, ad v. 244. ut sit, Ἐγὼ ἦ τοῦτον ἠνώγεα ἄψ ἡγήσασθαι αὐτὸν ὁδόν. Οὐ γὰρ αἶψ' ἠνώγει τοῦτο ποιεῖν· ὥστε ἦν γὰρ ἀφίστορ, ὡς εἰκὸς, ἐπιζημιώσων. Judicent *Docti*.

264. Ἐλλίσσετο) In hujusmodi vocibus Duplicabant *Liquidam* Veteres Codices, ut infrà, v. 481. ἐλλιλίζουσα, & suprà, v. 215.

269. Φεύγωμεν) *Ultima* producitur, in *Cæsurâ*, vi *Finalis*, ante *Punctum*, & ob *Acutum* sequentem.

VARIÆ LECTIONES.

263. Τόνδ' ἄψ') γρ. τόνδ' αἶψ', vid. suprà, ad v. 244. *Ibid.* Ἠνώγεα) γρ. ἠνώγει & ἠνώγεον.

264. Ἐλίσσετο) γρ. ἐλίσσετο, vid. Not. in *Textum*.

Πῆ δ' αὖτως, δύστηνε, δι' ἄκεας ἔρχεαι οἶος,
Χώρῳ ἄϊδρις ἐών; ἕταροι δέ τοι οἷδ' ἐνὶ Κίρκης
Ἔρχαϊ, ὥστε σύες πυκινὰς κεκαδμῶτας ἔχουσες.
Ἦ τὰς λυσόμενος δεῦρ' ἔρχεαι; οὐδέ σε φημὶ
Αὐτὸν νοστήσειν, μενέεις δ' οὐ, ἔνθα περ ἄλλοι.
Ἀλλ' ἄγε δή σε κακῶν ἐκλύσομαι, ἠδὲ σαώσω·
Τῆ τόδε Φάρμακον ἐσθλόν, ἔχων δ' ἐς δώματα Κίρκης
Ἔρχευ, ὅ κέν τοι κεφαλὸς ἀλαλκήσῃ κακὸν ἦμαρ.
Πάντα δέ τοι ἐρέω ὀλοφώϊα δήνεα Κίρκης·
Τεύξει τοι κυκεῶ, βαλέει δ' ἐνὶ φάρμακα σίτῳ·
Ἀλλ' οὐδ' ὡς θέλξαι σε δυνήσεται· ἠὺ γὰρ ἐόντι
Φάρμακον ἐσθλόν, ὅ τοι δώσω· ἐρέω δ' ἔπος αὖτις·
Ὁππότε κέν Κίρκη σ' ἐλάσῃ τανυσιπλῆγι ῥάβδῳ,
Δὴ τότε σὺ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Κίρκῃ ἐπαΐξας, ὥστε κτάμεναι μενεαίνων.
Ἡ δέ σ' ὑποδδείσασα κελήσεται εὐνηθῆναι·
Ἔνθα σὺ μηκέτ' ἔπειτ' ἀπανήνασθαι θεὸν εὐνὴν,
Ὄφρα κέ τοι λύσῃ θ' ἑτάρους, αὐτόν τε κομίσσῃ·
Ἀλλὰ κέλευθά μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι,

" Quorsum, ô infelix, per tesqua incedis solus,
" Locorum ignarus? socii autem tibi illi in Circes *aedibus*
" Clauduntur, ut sues densa latibula inhabitantes.
" An hos liberaturus huc venis? neque te puto
" Ipsum rediturum esse: manebis verò tu, ubi utique alii.
" Sed, agè jam te ex malis solvam, atque servabo;
" Accipe hoc remedium bonum, habensque ad ædes Circes;
" Vade, quod sanè à capite avertet malum diem.
" Omnia etiam tibi dicam perniciosa consilia Circes.
" Apparabit tibi cinnum, mittet verò venena in panem:
" Sed neque sic incantare te poterit; non enim permittet
" Remedium eximium, quod tibi dabo: dicam verò singula.
" Quando Circe te percutiet prælongâ virgâ,
" Tum sanè tu gladio acuto extracto à femore,
" In Circen irrue, perinde atque interficere cupiens.
" Illa te subtimescens invitabit ad concubitum;
" Ibi tu neutiquam deinde abnega deæ cubile,
" Ut tibi solvatque socios, *te* que ipsum benignè excipiat:
" Sed jube ipsam beatorum magnum juramentum jurare,

ΣΧΟΛΙΑ.

281. Αὖτως.] Ἔνιοι, αὖτ' ὦ. Δι' ἄκεας.] Ἄκρας ἔχοντας τόπους, τραχεῖς καὶ ὀλοίους.
282. Ἄϊδρις.] Ἄπειρος.
283. Ἔρχαϊ.] Συγκέκλεινται. Σύες.] Χοῖροι. Πυκινὰς.] Πυκνὰς, στενοχώρους. Κεκαδμῶτας.] Νῦν τὰς τόπους, ὅπου κρύπτονται, καὶ συγκεκλεισμένοι εἰσίν.
286. Ἐκλύσομαι.] Ἐλευθερώσομαι, λυτρώσομαι. Σαώσω.] Σώσω.
288. Ἀλαλκήσῃ.] Βοηθήσῃ.
289. Ὀλοφώϊα.] Ὀλέθρια. Δήνεα.] Βουλεύματα.
290. Τεύξει.] Καθασκεύσει.] Κυκεῶ.] Κυκεῶνα καλεῖ ὑπερβατῶς. Κυκεὼν ἡ λέξις τὸ ἐξ οἴνου καὶ μελίτης καὶ ἀλφίτων καὶ ὕδατος καὶ τυροῦ ἀναμεμιγμένον πόμα.
291. Θέλξαι.] Κακῶσαι. * Τὸν νῦν ἀλοιῶσαι.
293. Ἐλάσῃ.] Τύψῃ, κρούσῃ.
296. Ὑποδδείσασα.] Φοβηθεῖσα.
297. Ἀπανήνασθαι.] Ἀπαρνήσασθαι, ἀντὶ τοῦ ἀπαρνήσῃ.
298. Κομίσσῃ.] Κομιδῆς καὶ ἐπιμελείας ἀξιώσῃ.
299. Κελεύθους.] Κελεῦσαι, ἀντὶ τοῦ κέλσαι.

NOTÆ.

290. Τεύξει τοι κυκεῶ) Non *Dandi*, sed *Accusandi* casu, pro κυκεῶνα, per *Apocopen*; ut Ἀπόλλω, pro Ἀπόλλωνα· ἰδρῶ, *Iliad.* χ'. v. 2. pro ἰδρῶτα· ἰχῶ, pro ἰχῶρα. De Cinno, sive Κυκεῶνι, *Eustath. Etymolog. M. Br. Schol. Turneb.* Adversar. l. 12. c. 8. fol. 386.

291. Ἐάσσῃ) Ità, pro ἐᾷς, ob *Metrum*, ut aliàs.

296. Κελήσεται) A κέλω, κέλομαι, κελήσομαι· ut à θέλω, μέλω, θελήσω, μελήσω. Alii legunt κεκλήσεται, ut *Seberus* in *Indice*, & καλήσεται vel καλέσεται aut καλέσσεται.

NOTÆ IN SCHOLIA.

291. * Τὸν νῦν ἀλοιῶσαι) Ità, pro τὸ τὸν ἀλοιῶσαι, ex *Aloysii* MSto.

VARIÆ LECTIONES.

281. Πῆ δ' αὖτως, δύστηνε) γρ. πῆ δ' αὖτ', ὦ δύστηνε, *Br. Schol. H. Steph.*

287. Τῆ—ἴχω δ' ἰς) γρ. τῆ··ἴχων ἰς, *Eustath.* fol. 396. lin. 43.

288. Ἀλαλκήσῃ) γρ. ἀλαλκησιν, *Aldin.* & ἀπαλάλκῃ, *H. Steph.* expositio potius, quam *Var. Lect.*

291. Ἐάσσῃ) γρ. ἐᾷς, vid. Not. in *Textum.*

296. Κελήσεται) γρ. κεκλήσεται, &c. vid. in *Textum.*

298. Κομίσσῃ) γρ. κομισῃ, vid. supra, ad v. 291.

Μή τί τοι αὐτῷ πῆμα κακὸν βυλθυσέμῳ ἄλλο,
Μή σ' ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θείη.
Ὡς ἄρα φωνήσας πόρε Φάρμακον Ἀργιφόντης,
Ἐκ γαίης ἐρύσας, καί μοι φύσιν αὐτῆς ἔδειξεν.
Ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δ' εἴκελον ἄνθος·
Μῶλυ δέ μιν καλέουσι θεοί· χαλεπὸν δέ τ' ὀρύσσειν
Ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα δύνανται.
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,
Νῆσον ἀν' ὑλήεσσαν· ἐγὼ δ' ἐς δώματα Κίρκης
Ἤια· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
Ἔστην δ' εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο·
Ἔνθα στᾶς ἐβόησα, θεὰ δέ μευ ἔκλυεν αὐδῆς.
Ἣ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς,
Καὶ κάλει· αὐτὰρ ἐγὼν ἐπόμην, ἀκαχήμενος ἦτορ.
Εἶσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυρόηλου,
Καλοῦ, δαιδαλέου· ὑπὸ δ' ὑποδήμους ποσὶν ἦεν.

" Nè ullum tibiipsi detrimentum malum paret aliud,
" Ne te nudatum imbellem & invirilem faciat,
Sic utique loquutus præbuit remedium Mercurius,
Ex terrâ evullum, & mihi naturam ejus commonstravit.
Radice quidem nigrum erat, lacti autem simile flore;
Et Moly ipsum vocant Dii; difficile vero effossu
Viris utique mortalibus; dii autem omnia possunt.
Mercurius quidem tum discessit ad magnum Olympum,
Insulam per sylvosam; ego autem ad domum Circes
Ibam; multaque mihi cor cogitabat eunti.
Constiti itaque in portis deæ pulchricomæ;
Ibi stans vocavi; dea autem meam exaudivit vocem.
Illa statim egressa januas aperuit splendidas,
Et invitabat; cæterùm ego sequutus sum, tristatus corde.
Collocavit igitur me introductum in throno argenteis clavis,
Pulchro, fabrefacto; scabellum verò sub pedibus erat.

Σ Χ Ο Λ Ι Α.

301. Ἀπογυμνωθέντα.] Τὸ ξίφος ἀποθήκευον. Ἀνήνορα.] Ἀνανόρατον. Θείη.] Ποιήσῃ.

303. Ἐρύσας.] Ἕλκυσας. Φύσιν.] Νῦν τὸ εἶδος.

305. Μῶλυ.] Βοτάνης εἶδος, παρὰ τὸ μωλύειν, ὅ ἐστιν ἀφαιρεῖσθαι τὰ φάρμακα· φασὶ δ', τοῦτο ἐλκόμενον τῆς ῥίζης, τῇ πλὴ γάλακτι ἐπιφέρειν τῷ ἀπατωμένῳ. Χαλεπὸν.] Μοχθηρὸν, δυσχερές.

309. Πόρφυρε.] Διετύπου.

N O T Æ.

305. Μῶλυ δέ μιν καλέουσι θεοί) De herba *Moly*, quòd *Eruditionem* & *Doctrinam* significet, vide *Eustath.* fol 397. lin. 8. Ἡ δὲ Ἀλληγορία ἐν τούτοις, Ἑρμῆν μὲν οἶδε συνήθως τὸν λόγον· Μῶλυ δὲ, τὴν παιδείαν, ὡς ἐκ μώλυ, τουτέστι κακοπαθείας, ὠφελιμωμένου· ἢ Μῶλυν μὲν ῥίζαν μέλαιναν, ἀφ' ἧς τὸ εἶδος σκοτεινὸν ἐν δυσφραίνει δὲ τὴν εὐαρμοστίαν τῶν παιδιῶν, ἐν ἀφ' οὗτος δυσεύρετόν τε, καὶ ὑδὲ ἡδύ κλ. Ità *Theocritus*, Idyll. 9. v. 35. ——— ἰμὶν Μῶσαι φίλαι· ὃς κεν ἐρῶσαν Γαθῆσιν, τὰς οὔπω ποτὶ δαλήσαθ' Κίρκη, quod nec *Eustathium* fugit, Ὅτι δὲ εἰς αἰλοφίαν πνὰ ἡ Κίρκη ἀπηγορεύθη, δηλοῖ φαιεφᾶς ἐν ὁ γράψας, ὅτι δὲ ἐφοσφῶσιν αἱ Μῶσαι, τούτου ποτὶ δηλήσαθ' Κίρκη. Quin *Eloquentiam*, per *Moly* denotatam credas, παρὰ λόγῳ Ἑρμῇ nempè traditam. Tum sanè facile referas ad *Hebraicum* MALAL, *Verba fecit, locutus est.* Hæc Deorum Lingua: Et *Homerum* Vocis *Hebræa*, Rituumque, expertissimum agnoscunt Plurimi. Et huic sententiæ favet *Philostratus* in *Heroicis*, fol. 637. Ὀδυσσεῖ μὲν δὴ, ὁπότε πόρρω κεῖ τὸ νεὼς ἤλυθεν, σύτυχὼν ὁ Ἑρμῆς, ἢ τις τῶν παρὰ Διὸς Ἑρμῆ σοφῶν ἐς κοινωνίαν λόγου τὸν ἐν ἀσυδῆς ἀφίκετο· τοῦτο δὴ ἡκίστα φασὶν τὸ Μῶλυ. Vid. *Photii* Biblioth. fol. 482. *Duport.* Gnomolog. *Homeric. Natal. Comit.* Mytholog. l. 6. c. 6. p. 572. *Anthology.* fol. 103. Τὴν Κίρκην δέ φησι, καθὼς εἴρηκεν Ὅμηρος, &c. *Cassus*, De Antiqu. *Cassabr.* Academ. l. 1. p. 198. *Mel* recusat, propter *Apes*, & *Moly* florem lacteum, propter Radicem nigram; hoc est, Animi tranquillitatem, Virtutis absolutæ præmium, propter *Laboris* levem molestiam; ut *Homerus* innuit. *Plinius Cynocephaleam* putat, vel Oïritin, l. 30. quem vid. etiam, l. 25. c. 4. Item *Ptolem. Hephastion.* l. 4. collat. cum *Scholiis* Lycophron. v. 679. —ἀμὰ τιν βλάβης Μῶλυ κοινοῦ ῥίζα. Vid. in Not. ad *Scholia. Maximus Tyrius*, §. 19. quid sit Μῶλυ, explicat.

NOTÆ IN SCHOLIA.

305. Μῶλυ) Hoc *Scholion* etiam alludit & laudat *Eustath.* fol. 397. lin. 30. Φασὶ δὲ οἱ Παλαιοὶ τὸ Μῶλυ λέγεσθαι παρὰ τὸ μωλύειν, ὅ ἐστιν ἀφαιρεῖν τὰ φάρμακα. *Ptolemæus Hephastion*, l. 4. Περὶ δὲ παρ' Ὁμήρῳ Μώλυος, τοῦ βοτάνης, ἣν οἱ δὲ αἱμαίου, δὲ ἀναιρεθέντος, ὁ τῇ Κίρκης νήπιος, γελασθέντος, λέγεται φῦναι ἐκ τῶν ἀνθρώπων ἔχειν λευκόν· ὅτι ὁ συμμαχῶν τῇ Κίρκῃ τὸν γελασθέντα, ὁ Ἥλιος ἦν, μῶλος δὲ, ἡ μάχη· ἐξ οὗ καὶ ἡ βοτάνη. Vid. Not. in *Textum*.

Τεῦξε δέ μοι κυκεῶ χρυσείῳ δέπα', ὄφρα πίοιμι·
Ἐν δέ τε Φάρμακον ἧκε, κακὰ φρονέουσ' ἐνὶ θυμῷ.
Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, οὐδέ μ' ἔθελξεν,
Ῥάβδῳ πεπληγυῖα, ἔπος τ' ἔφαι', ἔκ τ' ὀνόμαζεν,
Ἔρχεο νῦν συφεόνδε, μετ' ἄλλων λέξαι ἑταίρων.
Ὡς φάτ'· ἐγὼ δ' ἄορ ὀξὺ ἐρυσάμμος παρὰ μηροῦ,
Κίρκῃ ἐπήϊξα, ὥστε κταμένην μνησαίμαν.
Ἡ δ' ὑπέδραμε, καὶ λάβε γούνων,
Καί μ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Θαυμά μ' ἔχει, ὡς οὔπι πιὼν τάδε φάρμακ' ἐθέλχθης.
Οὐδὲ γὰρ ὧδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη,
Ὅς κε πίῃ, καὶ πρῶτον ἀμείψῃ ἕρκος ὀδόντων·
Σοὶ δέ τις ἐν στήθεσιν ἀκήλητος νόος ἐστίν.
Ἦ σύ γ' Ὀδυσσεύς ἐσσι πολύτροπος, ὅν τέ μοι αἰεὶ
Φάσκεν ἐλεύσεσθαι χρυσόῤῥαπις Ἀργειφόντης,
Ἐκ Τροίης ἀνιόντα θοῇ σὺν νηῒ μελαίνῃ;
Ἀλλ' ἄγε δὴ κολεῷ μὲν ἄορ θέο, νῶϊ δ' ἔπειτα

Adornavitque mihi cinnum aureo poculo, ut biberem,
Intulsque pharmacum misit, mala meditans in animo.
Cæterùm postquam dedit & ebibi, neque me domuit,
Virgulâ feriens, verbumque dixit & proloquuta est,
" Abi nunc in haram, cum aliis cuba sociis.
Sic ait, ego verò gladio acuto stricto, à fœmore
In Circen irrui, tanquam occidere moliens:
Illa verò magnum exclamans subtercurrit & prendit genua,
Et mihi plorabunda verba volatilia dixit,
" Quis? cujas es hominum? ubi tibi urbs atque parentes?
" Stupor me tenet, quod nè bibens hæc venena mutatus es.
" Minimè enim quisque alius vir hæc venena sustinuit,
" Quicunque hauserit, & primùm transmiserit septum dentium.
" Tibi verò quædam in pectoribus impermulcibilis mens est.
" Nimirum tu Ulysses es versutus, quem mihi semper
" Prædixit venturum aureâ-virgâ utens Mercurius,
" Ex Troiâ reversum celeri cum nave nigrâ?
" Sed agè nunc in vaginam gladium pone; & nos deinde

Σ Χ Ο Δ Ι Α.

318. Ἔθελξεν.] Ἠλλοίωσεν.

320. Συφεόνδε.] Εἰς τὸν τῶν χοίρων μάνδραν. Λέξαι.] Κοιμηθῆναι, ἢ ἀναπαύσασθαι.

322. Ἐπήϊξα.] Ἐφώρμησα.

323. Μίσα ἰάχουσα.] Διὰ τὸ φοβεῖσθαι πανθάμα, οὐκ ἀποβαίνειν.

326. Ἐθέλχθης.] Ἠλλοιώθης.

327. Ἀνίστη.] Ὑπέμενεν.

328. Ἀμείψῃ.] Παρέλθῃ.

329. Ἀκήλητος.] * Ἄθελκτος, ἀκαταπόητος, ἀνεξαπάτητος.

331. Φάσκεν.] Ἔλεγεν.

333. Θέο.] Ἀπόθες, ἔμβαλε.

N O T Æ.

316. Τεῦξε δέ μοι κυκεῶ) Qui κυκεῶ scribunt, malè ad χρυσείῳ referunt, quod cum δέπα congruit, pro quo δέπα, vel δέπας, ut hic scribi possit, quomodò, *Odyss.* λ'. v. 135. γηρᾳ, & ψ'. v. 283. potest & δέπας, sine *Diæresi*, aut *Subjunctione*, ἀρχαϊκῶς legi. Vid suprà, ad v. 290. De voce κυκεῶ.

320. Λέξαι) Olim in *Eustath.* fol. 399. lin. 1. παρεκβολαῖς. & in *Textu*, λεξαι. ut & in *Florentinâ*; à quibus malè desciverunt *Lovaniana Rescii*, *Aldina*, & *H. Stephanus*, λεξον legentes. *Schol. Aldina*, λέξαι) κοιμηθῶ, ἢ ἀναπαήσω, quæ verto, in λέξον) κοιμηθῆναι, ἢ ἀναπαύσθαι, quod istius sint Modi. Λέξαι

N O T Æ I N S C H O L I A.

320. Λέξαι) Vid. Not. in *Textum*.

329. * Ἄθελκτος) Ita, pro *Corrupto* ἄθελκτος, ex *Aloysii* MSto.

V A R I Æ L E C T I O N E S.

316. Δέπα) χ. δέπαϊ, δέπας, δέπαν, vid Not. in *Textum*.

320. Λέξαι) χ. λεξον, λέξο, *Br. Schol.* &c. vid. ad *Textum*.

Εὐῆς

Εὐνῆς ἡμετέρης ἐπιβήσομεν, ὄφρα μιγέντε
Εὐνῇ καὶ φιλότητι, πεποίθομεν ἀλλήλοισιν.
Ὣς ἔφαθ', αὐτὰρ ἐγὼ μιν ἀμείβομενος προσέειπον,
Ὦ Κίρκη, πῶς γάρ με κέλῃ σοὶ ἤπιον εἶναι;
Ἦ μοι σῦς μὲν ἔθηκας ὀνὶ μεγάροισιν ἑταίρους·
Αὐτὸν δ' ἐνθάδ' ἔχουσα, δολοφρονέουσα κελεύεις
Ἐς θάλαμόν τ' ἰέναι, καὶ σῆς ἐπιβήμεναι εὐνῆς,
Ὄφρα μὲ γυμνωθέντα, κακὸν καὶ ἀνήνορα θείης;
Οὐδ' ἂν ἔγωγ' ἐθέλοιμι τεῆς ἐπιβήμεναι εὐνῆς,
Εἰ μή μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι,
Μήπ μοὶ αὐτῷ πῆμα κακὸν βουλεύσεμεν ἄλλο.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀπώμνυεν, ὡς ἐκέλευον.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τ' ὅρκον,
Καὶ τότ' ἐγὼ Κίρκης ἐπέβην εὐπλοκάμοιο λέκτρου.
Ἀμφίπολοι δ' ἄρα κεδναὶ ἐνὶ μεγάροισι πένοντο
Τέσσαρες, αἵ οἱ δῶμα κάτα δρήστειραι ἔασι.
Γίνονται δ' ἄρα ταί γ' ἔκ τε κρηνέων, ἀπό τ' ἀλσέων,
Ἔκ θ' ἱερῶν ποταμῶν, οἵτ' εἰς ἅλαδε προρέουσι.
Τάων ἡ μὲν ἔβαλλε θρόνοις ἔνι ῥήγεα καλὰ,

" Lectulum noſtrum conſcendamus, ut commixti:
" In lecto & amicitiâ confidamus invicem.
Sic ait, cæterùm ego ipſum excipiens alloquebar,
" O Circe, quo pacto me jubes tibi manſuetum eſſe,
" Quæ mihi ſues quidem feciſti in domibus ſocios;
" Ipſum autem hîc detinens dolos agitans jubes
" In thalamumque ire, & tuum conſcendere cubile,
" Ut me nudatum, inutilem & effeminatum facias?
" Non ſanè ego volo tuum conſcendere lectum,
" Niſi mihi ſuſtineas, dea, magnum juramentum jurare,
" Ne ullum mihi detrimentum malum machineris aliud.
Sic dicebam; illa continuò juravit, ut juſſi.
Cæterùm poſtquam juravit & perfecit juſjurandum,
Tum ego Circes conſcendi pulchrum lectum.
Ancillæ autem interea quidem intra domum ſatagebant
Quatuor, quæ ei domi adminiſtræ erant.
Natæ verò hæ erant ex fontibus & à ſylvis,
Et ex ſacris fluminibus, quæ ad mare profluunt:
Harum una quidem injecit thronis ſtragula pulchra,

ΣΧΟΛΙΑ.

335. Πεποίθομεν.] Πιστεύσαμεν, θαῤῥήσαμεν.
337. Κέλῃ.] Κελεύεις.
340. Ἰέναι.] Εἰσιέναι.
341. Γυμνωθέντα.] Τὸ ξίφει ἀπηθμένον. Ἀνήνορα.] Ἄνανδρον. Θείης.] Ποιήσῃς.
348. Πίονες.] Ἐπήρατον.
349. Δρήστειραι.] Ὑπηρέτιδες, διάκονοι.
350. Γίνονται δ' ἄρα ταί γ.] Ὑφίστανται νύμφαι τινὲς ἐξ ὕδατος· τινὲς μέν, ὑποβρύχιον, Ἡ δὲ πόρτις ὕδωρ φησὶ ἐκ τε κρηνῶν. οἱ δὲ ἀλληγορεῖσι, Κίρκην μὲν λεγόντες, τὴν ἑαυτοῦ, τίσασαν δὲ θεραπαινίδας, τὰς ὥρας· Ἔκ τε κρηνῶν, ἀπό τ' ἀλσέων.] Ἔνθα καὶ Ναϊάδες εὔρουσαι, ἐκ αἱ Δρυάδες.
352. Ἔβαλλεν.] Ἐπιῤῥίπτει.

NOTÆ.

335. *Εὐνῇ καὶ φιλότητι πεποίθομεν*) Vid. ſuprà, ad v. 328.
337. *Ὦ Κίρκη, πῶς γάρ με*) Vid. ſuprà, ad v. 202.
347. *Καὶ τότ' ἐγὼ Κίρκης ἐπέβην εὐπλοκάμοιο λέκτρου*) Nequis *Ulyſſem* temerè à Poetâ factum putet, nunc Continentem, nunc Incontinentem, Notandum, *Circen* filiam *Solis*, cæleſtem Influxum innuere, qui *Græcos* reliquos ad Voluptates incitaret, quibus & illi citrò ſuccumbebant. At huic *Ulyſſes* ſe oppoſuit ſtrenuè, nec eodem ſe poculo faſcinari paſſus eſt. Hunc igitur ſuis amoribus excipit; quòd Sapiens Cæleſti Influxui Dominetur & recta innuenti etiam lubens obſequatur, juxtà illud, Sapiens dominabitur Aſtris.
349. *Ἀμφίπολοι δ' ἄρα κεδναὶ ἐνὶ μεγάροισι πένοντο τέσσαρες*) *Apertè* hîc ſe *Mythologum* prodit eſſe *Homerus*. *Circe*, Annum ſonat, quo nempe ſpatio apud eam *Ulyſſes* eſt detentus: Famularum *Prima*, Ver; *Secunda*, Æſtatem; *Tertia*, Autumnum; *Quarta*, Hyemem ſignificat; de quâ re *Euſtathius* adeundus, fol. 400. lin. 43. Τινὲς δέ γε τῶν Παλαιῶν, ἀσυμβιβάστως μὲν πρὸς πλάτος ἀλληγορίας, ὅμως δὲ ὑποτόπως, Ἐνιαυτὸν μέν, Κίρκην· τὰς δὲ ὑπ' αὐτῆς τέσσαρας· αὐτῆς μὲν κόσμους, τὰς Τέσσαρας Ὥρας, κλ. Vid. *Brevia Scholia*, ad v. 350. item ſuprà, ad v. 1. & v. 5.

VARIÆ LECTIONES.

337. Πῶς γάρ μοι) *Al.* πῶς κ' ἄρ μοι, vid. ad *Textum*.
352. Θρόνοις ἔνι) *Al.* Θρόνοις ἐπί.

Πορφύ-

Πορφύρεα καθύπερθ', ὑπένερθε δ' λῖτ' ὑπέβαλλεν·
Ἡ δ' ἑτέρη προπάροιθε θρόνων ἐπίταινε τραπέζας
Ἀργυρέας, ἐπὶ δὲ σφι πίθη χρύσεα κάνεα·
Ἡ δ' τρίτη κρητῆρι μελίφρονα οἶνον ἐκίρνα
Ἡδὺν σὺν ἀργυρέῳ, νέμε δ' χρύσεα κύπελλα·
Ἡ δ' τετάρτη ὕδωρ ἐφόρει, ἀν' πῦρ ἀνέκαιε
Πολλὸν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ' ὕδωρ.
Αὐτὰρ ἐπεὶ ζέσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
Ἐς ῥ' ἀσάμινθον ἔσασα, λό' ἐν τρίποδος μεγάλοιο,
Θυμῆρες κεράσασα κατ' κρατός τε ἀν' ὤμων,
Ὄφρα μοὶ ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων,
Αὐτὰρ ἐπεὶ λοῦσέν τε, ἀν' ἔχρισεν λίπ' ἐλαίῳ,
Ἀμφὶ δέ με χλαῖναν καλὴν βάλεν, ἠδὲ χιτῶνα·
Εἶσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου· ὑπὸ δ' θρῆνυς ποσὶν ἦεν.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθ'· πρὸ δ' ἄρα ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πολλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Ἐσθέμεναι δ' ἐκέλευεν· ἐμὸν δ' οὐκ ἤνδανε θυμῷ·
Ἄλλ' ἦμος ἀλλοφρονέων, κακὰ δ' ὄσσετο θυμός·
Κίρκη δ' ὡς ἐνόησεν ἐμ' ἥμενον, οὐδ' ἐπὶ σίτῳ
Χεῖρας ἰάλλοντα, φυγερὸν δέ με πένθος ἔχοντα,
Ἄλλα παρισταμένη ἔπεα πτερόεντα προσηύδα,
Τίφθ' οὕτως, Ὀδυσεῦ, καὶ ἄρ' ἕζεαι ἶσος ἀναύδῳ,
Θυμὸν ἔδων; βρώμης δ' οὐκ ἅπτεαι, οὐδὲ ποτῆτος;
Ἦ πού πῃ δόλον ἄλλον ὀΐεαι; οὐδ' ἔπι σε χρὴ

Purpurea supernè, infernè lintea tenuia subjecit;
Altera verò ante thoros extendit mensas
Argenteas, & iis imposuit aureas lances.
Tertia quoque in cratere mellifluum vinum miscebat
Dulce argenteo, distribuitque aurata pocula.
Quarta verò aquam ferebat, & succendebat ignem
Magnum sub tripode magno, calefiebatque aqua.
Cæterum postquam efferbuit aqua in splendido aheno,
In labrum me collocatum lavit ex tripode magno,
Suavitèr fusa aquâ per caputque & humeros,
Donec mihi laborem animum-rodentem demeret membris.
Porro postquam lavit & unxit pingui oleo,
Chlænam mihi pulchram circum induit, atque tunicam;
Collocavitque me introductum ad thronum argenteum
Pulchrum, fabrefactum; scabellum verò sub pedibus erat.
Aquam præterea ancilla gutturnio perfundebat ferens,
Pulchro, aurato super argenteo lebete,
Ad lavandum, extulitque politam extenditque mensam
Panem verò venerabilis dispensatrix ferens,
Edulia multa apposuit, gratificans ex præsentibus
Edereque jubebat; meo autem non placuit animo.
Sed sedebam alia cogitans, malaque præsagiebat animus:
Circe verò ut vidit me sedentem, neque ad cibum
Manum extendentem, gravemque me dolorem habentem,
Propè astans verba volatilia dixit,
" Quid sic, Ulysses, sedes similis muto
" Animum macerans? cibumque non attingis, neque potum?
" An aliquem dolum alium times?
Non amplius te oportet

Σ Χ Ο Λ Ι Α.

353. Λῖτ'.] Ἁπλᾶ ἐνεβάλλετο.
354. Ἐπίταινε.] Ἔστησεν, εἶλκεν.
355. Κάνεα.] Κανίσκια.
357. Νέμε.] Διεδίδου.
359. Ἰαίνετο.] Ἐθερμαίνετο.
360. Ἤνοπι.] Διαυγεῖ, ὃ ἐστιν ἰδιῖν αὐτόν.
361. Ἀσάμινθον.] Τὸν πύελον, ἤτοι λουτῆρα, παρὰ τὸ ἄσαι μινύθειν. Ἔσασα.] Καθίσασα, ἐμβιβάσασα.
Λόε.] Ἔλουε.
362. Θυμῆρες.] Καθαρτήριον, ἡδύ.
363. Θυμοφθόρον.] Τὸν ψυχὴν λυμαινόμενον.
374. Ἀλλοφρονέων.] Ἄλλα σκοπῶν, ἄλλα διανοούμενος. Ὄσσετο.] Προσῄσθετο.
376. Ἰάλλοντα.] Ἐπιβάλλοντα.
378. Κατ' ἄρ' ἕζεαι.] Καθήζῃ. Ἀναύδῳ.] Ἀφώνῳ.
379. Ποτῆτος.] Ποτοῦ.

N O T Æ.

362. Θυμῆρες) Vid. ad *Euripid.* Ion. v. 1154. & ad *Iliad. ι'.* v. 336.

Δεῦδ-

Δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρτερὸν ὅρκον.
"Ως ἔφαν· αὐτὰρ ἐγώ μιν ἀμφιβόμβιος προσέειπον,
Ὦ Κίρκη, πῖς γάρ κεν ἀνὴρ, ὃς ἐναίσιμος εἴη,
Πρὶν τλαίη πάσασθαι ἐδητύος, ἠδὲ ποτῆτος,
Πρὶν λύσασθ' ἑτάρους τε καὶ ὀφθαλμοῖσιν ἰδέσθαι;
Ἀλλ' εἰ δὴ προέφρασσα πιεῖν, φαγέμεν τε κελεύεις,
Λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω ἑρίηρας ἑταίρους.
"Ως ἐφάμην· Κίρκη δ' ἰδὰ μεγάροιο βεβήκει,
Ῥάβδον ἔχουσ' ἐν χερσὶ, θύρας δ' ἀνέῳξε συφειοῦ·
Ἐκ δ' ἔλασεν σιάλοισιν ἐοικότας ἐννεώροισιν.
Οἱ μὲν ἔπειτ' ἔστησαν ἐναντίοι· ἡ δ' ἄρα τοῖσιν
Ἐρχομένη προσάλφεν ἑκάστῳ φάρμακον ἄλλο.
Τῶν δ' ἐκ μὲν μελέων τρίχες ἔρρεον, ἃς πρὶν ἔφυσε
Φάρμακον ἀλόμενον, τό σφιν πόρε πότνια Κίρκη·
Ἄνδρες δ' αὖθ' ἑνένοντο νεώτεροι, ἢ πάρος ἦσαν,
Καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι·
Ἔγνωσαν δέ μ' ἔπειτα, ἔφυν τ' ἐν χερσὶν ἕκαστος.
Πᾶσιν δ' ἱμερόεις ὑπέδυ γόος, ἀμφὶ δὲ δῶμα
Σμερδαλέον κονάβιζε· θεὰ δ' ἐλέαιρε καὶ αὐτή.
Ἡ δέ μιν ἄγχι στᾶσα προσηύδα δῖα θεάων·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ δῖαν θάλασσαν·
Νῆα μὲν ἀρ πάμπρωτον ἐρύσσατε ἠπειρόνδε,
Κτήματα δ' ἐν σπήεσι πελάσσατε, ὅπλα τε πάντα·

" Timere: jam enim juravi forte juramentum.
Sic ait, cæterùm ego ipſam excipiens dixi,
" O Circe, quis etenim vir, qui æquus & juſtus ſit,
" Prius audeat guſtare cibum, atque potum,
" Antequam redemerit ſocios & in oculis viderit?
" Sed ſi jam benigna bibere, edereque jubes,
" Solve; ut palàm videam dilectos ſocios.
Sic dicebam. Circe itaque ex ædibus ibat,
Virgam tenens in manu, januaſque aperuit haræ, &
Exegit porcis ſimiles novennibus.
Illi quidem tum ſtabant contrarii: hæc verò per eos
Incedens admixit unicuique pharmacum aliud.
Horum igitur è membris pili defluebant, quos antè produxerat
Pharmacum pernicioſum, quod ipſis dederat honoranda Circe.
Virique iterum redintegrantur ſtirpentiores, quam antea fuerunt,
Et multò pulchriores & majores aſpectu:
Agnoverunt verò me illi, inque hæſerunt in manibus ſinguli.
Omnibus itaque jucundus ortus eſt luctus, perque domum
Horrendum reſonabat, dea verò miſerta eſt & ipſa.
Illa igitur prope me ſtans loquuta eſt diva dearum.
" Generoſe Laertiade, multiſcie Ulyſſes,
" Vade nunc ad navem celerem & ad littus maris,
" Navem quidem omnium primùm ſubducite ad continentem;
" Facultates verò in ſpeluncis abſcondite, armaque omnia;

ΣΧΟΛΙΑ.

381. Δειδίμεν.] Φοβεῖσθ.
383. Ἐναίσιμος.] Δίκαιος.
384. Πάσασθαι.] Γεύσασθαι.
386. Προέφρασσα.] Προῆμος.
389. Συφειοῦ.] Τῆ συφεῶνος.
390. Σιάλοισιν.] Συγκαθεῖπε Ἐννεώροισιν.] * Ἐννέα ἐτῶν ἐστιν.
393. Ἔφυσε.] Ἐποίησε φυτήν.
394. Οὐλόμενον.] Ὀλέθριον.
397. Ἔγνωσαν.] Ἐγνώρισαν. Ἔφαν.] Προσφυῶς· ἐπλαμβάνοντο.
398. Ἱμερόεις.] Ἐράσμιος, ἡδύς. Ὑπέδυ.] Ὑπεισῆλθεν.
403. Ἐρύσσατε.] Ἑλκύσατε.
404. Σπήεσσι.] Σπηλαίοις. Πελάσσατε.] Νῦν, ἀντὶ τοῦ λάβητε.

NOTÆ.

389. Συφειῶ) *Euſtath.* fol. 403. lin. 34 Πλεονασμὸν ἔπαθεν, ὁποῖον καὶ τὸ, ἀδελφεὸς, ἀδελφιός.
390. Ἐννεώροισι) *Euſtath.* fol. 403. lin. 35. Ἐννεώροι δὲ σύες, ἤτοι σύναπτοι· ἢ ἐπ' ἄκρως ἴσως, οἱ σύνεσθ' ὡραῖοι, ἤγουν ἐκ τῶν δύο καὶ ἑνὸς μηνός· χρεῖττον δὲ τὸ πρῶτον, καθὰ τὸ, Ἐννέωρος δ' ποίμνη ἐ σύναπτος ἔχεται, ὡς λέγει· ἔστι δὲ, ὡρῶν, συναυτὸς· ἐς ὁμώνυμον ὥρην, ἤλιον, ἐστὶν· τὸ δὲ, ἐννεώροισι, συνίζησιν ἔπαθε, τοῦ ἐ. κῶμα. εἰς ἓν πάντα μακρόν.

VARIÆ LECTIONES.

393. Ἔφυσε) γρ. ἔφυσε.
395. Αἶψ) γρ. ἄψ, ut ſupra, v. 263.
397. Μὲ κεῖνοι) γρ. μ' ἐκεῖνοι, *H. Steph.*
399. Κοναβίζει) γρ. καναχίζε, *Euſtath.* fol. 404. lin. 1.

Αὐτὰρ ἐγὼ

Αὐτὸς δ' ἂψ ἴέναι, καὶ ἄγειν ἑρίηρας ἑταίρους.
Ὡς ἔφαθ'· αὐτὰρ ἐμοιγ' ἐπεπείθετο θυμὸς ἀγήνωρ·
Βὰν δ' ἴέναι ἐπὶ νῆα θοὴν καὶ ἐπὶ θῖνα θαλάσσης.
Εὗρον ἔπειθ' ἐπὶ νηῒ θοῇ ἑρίηρας ἑταίρους
Οἴκτῳ ὀλοφυρομένους, θαλερὸν κατὰ δάκρυ χέοντας.
Ὡς δ' ὅταν ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας
Ἐλθοῦσας ἐς κόπρον, ἐπὶ βοτάνης κορέσασαι,
Πᾶσαι ἅμα σκαίρουσιν ὀχαπίαι· οὐδέ σφιν αὐτοὶ
Ἴσχουσ', ἀλλ' ἀδινὸν μυκώμεναι ἀμφὶ θέουσι
Μητέρας· ὡς ἐμὲ κεῖνοι, ἐπεὶ ἴδον ὀφθαλμοῖσι,
Δακρυόεντες ἔχυντο· δύκησε δ' ἄρα σφίσι θυμὸς
Ὡς ἔμμεν, ὡς εἰ πατρίδ' ἱκοίατο καὶ πόλιν αὐτὴν
Τρηχείης Ἰθάκης, ἵνα τ' ἐτράφεν, ἠδ' ἐγένοντο.
Καί μ' ὀλοφυρόμενοι ἔπεα πτερόεντα προσηύδων,

" Ipseque tandem revertere & adduc dilectos socios.
Sic ait, cæterùm mihi persuasus est animus generosus:
Festinabam igitur ire ad navem celerem & littus maris.
Inveni deinde juxta navem celerem dilectos socios,
Miserabiliter lugentes, teneilas lacrymas profundentes.
Ut cum in agro degentes buculæ circa vaccas armentarias
Venientes ad mandram, postquam herbâ saturæ sunt,
Omnes simul ludunt oppositæ, neque ipsa stabula
Detinent, sed indesinenter mugientes circum currunt
Matres; sic circum me illi, postquam viderunt oculis,
Lacrymantes fundebantur; videbaturque ipsorum animus
Sic esse, veluti in patriam venissent & urbem suam
Asperæ Ithacæ, ubi & nutriti sunt, atque nati.
Et me lugentes verbis volatilibus alloquebantur,

Σ Χ Ο Λ Ι Α.

405. Ἴέναι.] Νῦν, ἀντὶ τοῦ ἀποστρέφειν.
409. Οἴκτῳ ὀλοφυρομένους.] Οἰκτεῖως ὀδυρομένους.
410. Ἄγραυλοι.] Ἐν ἀγροῖς αὐλιζόμενοι. Πόριες.] Νέαι βόες, μόχοι. *Ἀγελαίας] Νομαίας, ἀζεύκτους.
411. Κόπρον.] Τῶν βοῶν. Βοτάνης.] Τῆς νομῆς. Κορέσασαι.] Κορεσθῶσι.
412. Σκαίρουσι.] Σκιρτῶσι, σκιρτῶσι. Ἐναντίαι.] Ἀπεναντίας. Σημεῖ.] Ἐπαύλεις.
413. Ἴσχουσι.] Κατέχουσι. Ἀδινόν.] Οἰκτρῶς. Μυκώμεναι.] Βοῶσαι. Μυκηθμὸς γὰρ ἡ φωνὴ τῶν βοῶν. Ἀμφιθέουσι.] Περιτρέχουσιν.
415. Ἔχυντο.] Ἐπίδραμον. Δύκησεν.] Ὑπέλαβεν.
416. Ὡς ἔμμεν.] Οὕτως εἶναι. Ἔμμεν.] Εἶναι.
417. Ἵνα.] Ὅπου. Ἔτραφεν.] Ἐτράφησαν. Ἐγένοντο.] Ἐγενήθησαν.

N O T Æ.

405. Αὐτὸς δ' ἂψ ἴέναι) Hic iterum ἂψ legendum moneo, & αὖψ' ad *Var. Lect.* relegandum, ut suprà, v. 244. & v. 263.

410. Πόριες) *Florentina* Editio, ità legit, pro πόρπες; & ità MSS. *Scholia* ad illius oram adscripta, Codicem *Etonensem* volo; ità *Aldina* Editio *Scholiorum*, & *Parisiensis*; ita *Hervagiana* in *Textu* & in *Scholiis*; ità *Aldina* & *Rescii Lovaniana*, in *Textu*; ita *Seberus*, *Scapula*, & *Eustathius*, hoc certè in loco, videtur hanc Lectionem agnoscere: probat enim πόριες pro πόρπιες vel πόρδακες, dici; &, hoc in loco ut dicatur, *Versûs* ratio postulat. *Euripid.* Bacch. v. 736. Καὶ τὸν μὲν ἀν' ποδοῖδες εὔθηλοι πόριν, in quem locum, vid. quæ nos. *H. Steph.* primus πόρλιες hìc legit, nè *Lectione* τοῦ πόριες notatâ; hunc secuti Moderni omnes; non sine ignaviæ notâ: at Nos meliori auctoritate moti, πόριες hìc scribimus, & πόρλιες ad *Var. Lect.* remittimus.

413. Ἀμφὶ θέουσι) Disjunctim potius lego, quoniam Vox ἀμφὶ referenda est non tantum ad μητέρας, verùm etiam ad ἰμὼ proximè sequens.

417. Ἵνα τ' ἐτράφεν) De ἵνα, pro ὅπου, dicimus aliàs, *Pindar.* Prælect. fol. 180. Vox ἐτράφεν, pro ἐτράφησαν, παροξυτόνως scribenda; ut Scholiastes *Theocriti*, ad Idyll. 7. v. 60. ex *Callimacho* Grammatico, quomodò κόσμηθεν, pro ἐκοσμήθησαν, *Æolicè*, aut *Bœoticè*. Vid. *Etymolog.* M. v. Κοσμῶσαι.

NOTÆ IN SCHOLIA.

410. *Ἀγελαίας) Hoc *Scholion* laudat *Eustathius*, ὡς τῶν Παλαιῶν, fol. 404. lin. 8.

Variæ Lectiones.

405. Ἂψ) γρ. αὖψ', vid. in *Textum*.
409. Καθ' ἁκρυ χιοντως) γρ. καθαδακρυχιοντως, vid. ad v. 201, & λ'. v. 5.
410. Πόριες) γρ. πόρπες, vid. Not. ad *Textum*.
412. Σκαίρουσιν) γρ. σπαίρουσιν, *Eustath.* fol. 404. lin. 9.
413. Ἀμφὶ θέουσι) γρ. ἀμφιθέουσι, vid. Not. in *Textum*.
416. Αὐτῶν) γρ. αὐτῶν, in *Prioribus*, non æquè bene.
417. Ἐτράφεν) γρ. ἔτραφεν, & τέτραφεν. Vid. in *Textum*.

Σοὶ

Σοὶ μὲν νοστήσαντι, διοτρεφὲς, ὡς ἐχάρημεν,
Ὡς εἴτ' εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν·
Ἀλλ' ἄγε, τὴν ἄλλων ἑτάρων κατάλεξον ὄλεθρον.
Ὣς ἔφαν· αὐτὰρ ἐγὼ τοῖσιν φάτο μείλια εἰπών,
Νῆα μὲν ἀν πάμπρωτον ἐρύσσομεν ἠπειρόνδε,
Κτήματά τ' ἐν σπέεσι πελάσσομεν, ὅπλα τε πάντα·
Αὐτοὶ δ' ὀτρύνεσθε ἐμοὶ ἅμα πάντες ἕπεσθαι,
Ὅφρα ἴδηθ' ἑτάρους, ἱεροῖς ἐν δώμασι Κίρκης
Πίνοντας καὶ ἔδοντας· ἐπιστεμένως γὰρ ἔχουσιν.
Ὣς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσι πίθοντο·
Εὐρύλοχος δέ μοι οἶος ἐρύκανε πάντας ἑταίρους,
Καί σφεας φωνήσας, ἔπεα πτερόεντα προσηύδα,
Ἆ δειλοὶ, πόσ' ἴμεν; τί κακῶν ἱμείρετε τύπτειν,
Κίρκης ἐς μέγαρον καταβήμεναι; ἤ κεν ἅπαντας
Ἢ σῦς, ἠὲ λύκους ποιήσει, ἠὲ λέοντας·
Οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκῃ.
Ὣσπερ Κύκλωψ ἔρξε, ὅτε οἱ μέσαυλον ἵκοντο
Ἡμέτεροι ἕταροι, σὺν δ' ὁ θρασὺς εἵπετ' Ὀδυσσεύς·
Τύτθ γὰρ καὶ κεῖνοι ἀταθαλίῃσιν ὄλοντο.
Ὣς ἔφαν· αὐτὰρ ἔγωγε μὴ φρεσὶ μερμήριξα,
Σπασσάμενος ταυσίκες ἄορ παχέος παρὰ μηροῦ,
Τῷ οἱ ἀποτμήξας κεφαλὴν θυσάνδε πέλασσα,

"Tibi quidem redeunti, generose, ſic gratulamur.
"Perinde atque ſi in Ithacam veniſſemus patriam terram:
"Sed age, aliorum ſociorum narra interitum.
Sic dicebant; cæterùm ego alloquebar blandis verbis,
" Navem quidem omnium primùm ſubducamus in littus,
" Bonaque in ſpeluncis recondamus, armamentaque omnia:
" Voſque accelerate me unà univerſi ſequi;
" Ut videatis ſocios ſacris in ædibus Circes,
" Bibentes & comedentes; copioſum enim victum habent.
Sic dicebam; illi celeriter meis verbis credebant:
Eurylochus verò ſolus mihi detinebat omnes ſocios,
Et ipſos alloquutus verba levia proloquutus eſt,
" Ah miſeri, quò ibimus? quid mala deſideratis illa,
" Circes ad ædes deſcendere? quæ omnes
" Aut ſues, aut lupos reddet, aut leones;
" Qui ei magnam domum cuſtodiamus etiam neceſſitate.
" Sic ſane Cyclops fecit, quando ejus ad ſtabulum venerunt
" Noſtri ſocii, cumque his audax ſequutus eſt Ulyſſes;
" Hujus enim etiam illi pervicaciâ perierunt.
Sic ait; cæterùm ego in mente deliberabam,
Extracto gladio oblongo à fœmore,
Cum illo abſciſſum illius caput ad ſolum dejicere,

ΣΧΟΛΙΑ.

420. Ἀφικοίμεθα.] Παραγγοίμεθα.
424. Πελάσσομεν.] Ἀποθώμεθα.
427. Ἐπιστένως.] Δαψιλές.
429. Ἐρύκανε.] Κατῆχεν, ἐκώλυεν.
431. Ἆ δειλοί.] Ἄθλιοι. * Πόσε.] Εἰς τίνα τόπον; Ἱμείρετε.] Ἐπιθυμεῖτε.
432. Καταβήμεναι.] Καταβῆναι * ὑποφωίδην.
434. Φυλάσσοιμεν.] Τηρεῖμεν.
435. Μέσαυλον.] Τὸν ὑπαυλιν.
436. Θρασύς.] Τολμηρός.
439. Σπασσάμενος.] Ἐπιπασσάμενος.
440. Οὐδάσδε πελάσσας.] Εἰς τὸ ἔδαφος ῥίψας.

NOTÆ.

423. Νῆα μὲν ἀν πάμπρωτον ἐρύσσομεν) Pro ἐρύσσομεν, ut v. 424. Πελάσσομεν, pro πελάσσομεν. De quâ re, vid. ſupra ad v. 328. 335, &c.
429. Ἐρύκανε) Suſpicor & hìc legendum ἐρύκακε, rectiſſimâ voce *Homericâ*; cùm hæc vox ἐρυκάνω nuſquam aliàs occurrat, ἐρυκανέω, ſemel quidem; quod moneo tantùm. Omnia enim *Exemplaria* ἐρύκανε præferunt.

NOTÆ IN SCHOLIA.

431. * Πόσε) Addo, ex *Lexicis*.
432. Καταβῆναι, * ὑποφωίδην, monſtrum vocabuli, ὑποφωίδην lego, at ad v. 558. ubi locum habet, pono; hinc, ubi locum non habet, moveo.

VARIÆ LECTIONES.

429. Ἐρύκανε) γρ. ἐρύκακε, vid. Not. in *Textum*.
433. Ἢ λύκους) γρ. ἢ ἐλάφους, *Euſtath.* fol. 405. lin. 19. & lin. 34.
439. Σπασσάμενος) γρ. ἀπασσάμενος.
440. Ἀποτμήξας) γρ. ἀπεπλήξας, *Euſtath.* fol. 405. lin. 42. &c.

Καὶ πηῷ περ ἐόντε μάλα χεδόν· ἀλλά μ' ἑταῖροι
Μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος,
Διογενές, τῦτον μὴν ἐάσομεν, εἰ σὺ κελεύεις,
Αὐτῦ παρ νηί τε μένειν καὶ νῆα ἐρυσθαι.
Ἡμῖν δ' ἡγεμόνευε ἱερὰ πρὸς δώματα Κίρκης.
Ὡς φάμενοι, βῆν δ' αὐτὸς ἀνήϊον ἠδὲ θαλάσσης.
Οὐδὲ μὴν Εὐρύλοχος κοίλη παρὰ νηὶ λέλειπτο,
Ἀλλ' ἕπετ'· ἔδδεισεν γὰρ ἐμὼν ἔκπαγλον ὀνείδος.
Τόφρα δὲ τοὺς ἄλλους ἑτάρους ἐν δώμασι Κίρκη
Ἐνδυκέως λέσσέν τε, καὶ ἔχεσιν λίπ' ἐλαίῳ·
Ἀμφὶ δ' ἄρα χλαίνας ἕλας βάλεν, ἠδὲ χιτῶνας·
Δαινυμένους δ' ἄρα πάντας ἐφεύρομεν ἐν μεγάροισιν.
Οἱ δ' ἐπεὶ ἀλλήλους εἶδον, φράσσαντό τε πάντα,
Κλαῖον ὀδυρόμενοι, περὶ δὲ στοναχίζετο δῶμα.
Ἡ δέ μεν ἄλλοθεν ἦλθε θεὰ ἐπιτερπέα εἰδυῖα,
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτὴ
Ἡμῶν ὅσ' ἐν πόντῳ πάθετ' ἄλγεα ἰχθυόεντα,
Ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσῳ.
Ἀλλ' ἄγετ', ἐδέτε βρῶμα, καὶ πίνετε οἶνον,
Εἰσόκεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
Οἷόν ὅτε πρῶτιστον ἐλείπετε πατρίδα γαῖαν

Etiamsi valdè consanguinitate me attingeret; sed me socii
Mollibus verbis continuerunt aliunde aliis,
" O generose, hunc quidem linquamus, siquidem tu jubes,
' Hic juxta navem manere & navem custodire:
" Nobis autem dux eo esto sacram ad domum Circes.
Sic loquuti, ab nave discedebant atque mari:
Neque quidem Eurylochus cavam apud navem relinquebatur,
Sed sequebatur; timuit enim meas asperas minas.
Interea verò alios socios in ædibus Circe
Studiosè laveratque, unxeratque pingui oleo:
Circumque pulchras chlænas induerat atque tunicas:
Epulantes igitur pulchrè omnes invenimus in ædibus.
Hi verò postquam invicem conspexerunt, reputabantque omnia,
Flebant lugentes, undiquaque autem resonabat domus.
Illa verò propè me fans alloquebatur diva dearum,
" Generose Laertiade, versute Ulysses,
" Nè amplius nunc ubertatem luctum exciteris: scio etiam ipsa
" Et quos in ponto passi estis dolores piscoso,
" Et quæcunque hostiles viri nocuerunt in terrâ.
" Sed agite, comedite cibum & bibite vinum,
" Donec denuò animum intra præcordia recepteritis,
" Qualem quando primùm relinquebatis patriam terram

ΣΧΟΛΙΑ.

441. Πηοῦ.] Συγγενοῦ. * Κλυμένῳ δὲ ἐπιχωριάσαι τὸν Ὀδυσσέως ἀδελφόν.
444. Ἔρυσθαι.] Φυλάττειν.
445. Ἡγεμόνευε.] Ἡγοῦ.
446. Ἀνήϊον.] Ἀνέσχοντο.
448. Ἔκπαγλον.] Ἔσχον, μεγάλων. Ἐνιπὴν.] Ὕβριν, κατηγορίαν, ἐπίπληξιν, ἀπειλήν.
450. Ἐνδυκέως.] Ἐπιμελῶς.
451. Οὗλας.] Ἕνιοι, καλάς.
453. Φρασσαντο.] Ἐπιγνῶσαι.
454. Περὶ δὲ στοναχίζετο.] Περιήχει.
457. Θαλερὸν γόον.] Ἀκμαῖον, τέλειον. Ὄρνυτε.] Διεγείρεσθε.
458. Ἰχθυόεντα.] Ἰχθῦς ἔχοντα.
459. Ἀνάρσιοι.] Πολέμιοι. Ἐδηλήσαντο.] Ἔβλαψαν.

NOTÆ.

444. Αὐτῦ παρ νηί π μίνειν) *Ultima* Υ νηὶ producitur, ut ι. v. 194.

450. Ἔχεσιν λίπ' ἐλαίῳ) Ità scribo, pro ἔχεσι, nec sine Veterum exemplo, ut suprà, v. 211.

NOTÆ IN SCHOLIA.

441. *Κπωλῶν) Ità ex *Aloysii* MS. & *Eustathio* restituo, pro κλωμένων, quod in *Aldin. Herwagian. Lugdun.* &c. malè obtinuerat.

VARIÆ LECTIONES.

443. Ἑλόμεσθ') γρ. ἑλόμεσθα, vid. suprà, ad v. 291.
449. Τόφρα δὲ) γρ. τὸφρά δὲ.
450. Ἔχεσιν λίπ') γρ. ἔχεσι λίπ', vid. Not. in *Textum*.
451. Οὗλας) γρ. καλὰς, *H. Steph.* & *Br. Schol.*
452. Δ' ἄρα) γρ. δ' ἰὼ, *Florentin. Hen. Stephanus*
Ibid. Πάντας) γρ. τόσσα, & τόσσ', *Eustath.*
457. Θαλερὸν γόον) γρ. συχνὸν γόον, *Aristoph.* apud *Eustath.* to. 406. lin. 53. Nec *H. Steph.* vidit.
459. Χέρσῳ) γρ. χόρσῳ.
460. Πίνετε) γρ. πίετε, *Eustath.* fol. 406. lin. 3.

Τρηχείης

Τρηχείης Ἰθάκης· νῦν δ' ἀσκελέες καὶ ἄθυμοι,
Αἰὲν ἄλης χαλεπῆς μεμνημένοι· ἀλλά ποθ' ὑμῖν
Θυμὸς ἐν εὐφροσύνῃ, ἐπεὶ μάλα πολλὰ πέποσθε.
Ὡς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγλαΐσσαι.
Ἔνθα μὲν ἤματα πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
Ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
Ἀλλ' ὅτε δὴ ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
Μηνῶν φθινόντων, περὶ δ' ἤματα μακρὰ τελέθη,
Καὶ τότε μ' ἑταλέσαντες ἔφαν ἐρίηρες ἑταῖροι,
Δαιμόνι', ἤδη νῦν μεμνήσκεο πατρίδος αἴης,
Εἴ τοι θέσφατόν ἐστι σαωθῆναι, καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὡς ἔφαν· αὐτὰρ ἐμοῦ' ἐπεπείθετο θυμὸς ἀγλαΐσσαι.
Ὡς τότε μὲν πρόφατον ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθεν,
Οἱ μὲν κοιμήσαντο κατ' μέγαρα σκιόεντα.
Αὐτὰρ ἐγὼ Κίρκης ἐπιδὰς θείοιο θαλάμου,
Γούνων ἐλλιτάνευτα· θεὰ δέ μευ ἔκλυεν αὐδῆς·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων,
Ὦ Κίρκη, τέλεσόν μοι ὑποσχεσίην, ἣν περ ὑπέσχες,
Οἴκαδε πεμψέμεναι· θυμὸς δέ μοι ἔστυφε ἤδη,

" Asperæ Ithacæ; nunc verò defatigati & tristes sumus,
" Semper erroris duri memores; nec quæ unquam vobis
" Animus est in lætitiâ, quandoquidem valde multa passi estis.
Sic ait; nobis autem continuò paruit animus generosus.
Hic quidem diebus omnibus plenum in annum
Sedebamus, convivantes carnes immensas, & suave vinum;
Sed quando jam annus erat, & circumvertebantur horæ,
Mensibus defluentibus, circumque dies longi exacti sunt;
Et tum me evocatum aloquuti sunt dilecti socii,
" Infelix, nunc tandem memor esto patriæ terræ,
" Si tibi fatale est servari, atque pervenire
" Domum ad excelsam, & tuam in patriam terram.
Sic dicebant; caterum mihi persuasus est animus generosus.
Sic tum quidem toto die ad solis occasum
Sedebamus, convivantes carnes immensas & suave vinum;
Quando verò sol occidit, & crepusculum advenit,
Illi quidem dormierunt per ædes obscuras.
Caterùm ego Circes conscenso splendido lecto
Ad genua supplex rogavi; dea verò meam audivit vocem,
Et ipsam compellando verba volatica dixi,
" O Circe, perfice mihi promissionem, quam promisisti,
" Domum ut mitteres; at animus mihi impellitur jam,

ΣΧΟΛΙΑ.

463. Ἀσκελέες.] Ἄγαν καρτερικότες, σκληροί, σκληροδόμοι, καὶ νεκρωθέντες ἢ ἄκαρν καμπικόπες. Ἄθυμοι.] Κεκακωμένοι· ἤγουν ψυχῇ. οἷον ἄψυχοι.

464. Ἄλης Πλάνης.

465. Πέποσθε.] Κέκτησθε, πεπόθησε.

468. Δαινυμένοι.] Εὐωχούμενοι.

469. Περὶ δ' ἔτραπον ὧραι.] Περιῆλθον ὁ πάλιν οἱ καιροὶ ἐπὶ τὰ ὥραν.

471. Ἐκκαλέσαντες.] Ἐξω καλέσαντες.

472. Μιμνήσκεο.] Ὑπομνήσθητι.

473. Σαωθῆναι.] Σωθῆναι.

481. Γούνων ἐλλιτάνευτα.] Τῶν γονάτων ἁψάμενος παρεκάλεσα.

483. Ἣν ὡς ὑπέσχες.] Ἣν περ ὑπεσχέθης.

484. Ἔστυφ.] Ἐφορμᾷ.

NOTÆ.

465. Πέποσθε) *Etymol.* fol. 403. lin. 48. Οἱ μὲν οὖν ἀπὸ τοῦ πάσχω, τὸ παθεῖν, παράγουσι, κακολογοῦντες Ἡρωδιανόν· λέγοντες, ὅτι καθ' ἑαυτὸν λήγων, τὸ λαγχάνω· ἢ παρακείμενον τρίτου ἢ ἡ. εἰς ὁ. λέλοιπα, καὶ πεπόνθηφ ἢ γ'. λέλοιθα, ἅπερ καὶ ἐκ τῆς μὴ ταῦτα ῥηθήσεται· ἔστω ἐκ πάθω. πέποσθα· ἢ παθητικὸν, περὶ πεπόνθηφ· καὶ πάλιν ἐνεστῶτος, πάσχω, καὶ πεπονθασμαι ἢ σύγμα. πέποσθε· ἐκ ὅτου μὴ οἱ τιθῶσι. Ἀρίσταρχος δὲ, τὸ, κακὰ πολλὰ πέποσθε, τί παίω γράφει ἀπὸ ἐπὶ, κτᾶσθε. Εἰς μόνους τὸ, ἀλλὰ τὸ ὁ. γραφοῦσι, πέπεσθε, κρεῖττον πείθουσιν οἱ συγκοπτοντες αὐτὸ ἐκ τοῦ πεπόνθατε. Eadem Vox, *Iliad.* γ'. v. 99. Vid. *Etymolog.* M. v.

VARIÆ LECTIONES.

464. Αἰὲν ἄλης) γρ. αἰεὶ ἄλης, non æquè benè, ante *Vocalem*.

465. Πέποσθε) γρ. πέπασθε, vid. Not. in *Textum*.

467. Ἔνθα μὲ) γρ. ἔνθα καὶ, *H. Steph.*

470. Μηνῶν φθινόντων) Deest hic Versus. In nonnullis, teste *H. Steph.* Agnoscit *Florent. Aldin. Lovan.*

481. Ἐλλιτάνευσα) γρ. ἐλιζάνευσα. Vid. suprà, v. 264.

Ἠδ' ἄλλων ἑτάρων, οἵ μοι φθιμένοισι φίλον κῆρ,
Ἀμφ' ἐμὶ ὀδυρόμενοι, ὅτε πὴ σύγε νόσφι γένηαι.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων,
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Μηκέτι νῦν ἀέκοντες ἐμοὶ σὺ μίμνετε οἴκῳ.
Ἀλλ' ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι, ἠδὲ ἱκέσθαι
Εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
Ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο,
Μάντηος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσι·
Τῷ καὶ τεθνειῶτι νόον πόρε Περσεφόνεια,
Οἷῳ πεπνύσθαι· τοὶ δ', σκιαὶ ἀΐσσουσιν.
Ὣς ἔφαθ'· αὐτὰρ ἐμοιγε καλεκλάδη φίλον ἦτορ·
Κλαῖον δ' ἐν λεχέεσσι καθήμενος, οὐδέ τι θυμὸς
Ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τε κορέσθην,
Καὶ τότε δή μιν ἔπειτα ἀμειβόμενος προσέειπον,
Ὦ Κίρκη, τίς γὰρ ταύτῃ ὁδὸν ἡγεμονεύσει;
Εἰς Ἄϊδος δ' οὔπω τις ἀφίκετο νηὶ μελαίνῃ.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων,
Διογενὲς Λαερτιάδη, Πολυμήχαν' Ὀδυσσεῦ,
Μή τί τοι ἡγεμόνος γε ποθὴ τῇδε νηὶ μελέσθω·
Ἱστὸν δὲ στήσας, ἀνὰ δ' ἱστία λευκὰ πετάσας,

" Atque aliorum ſociorum, qui mihi affligunt charum cor,
" Circa me lugentes; quando tu ſeorſum abes.
Sic dicebam; illa continuo reſpondebat diva dearum,
" O generoſe Laertiade, verſute Ulyſſes,
" Nè amplius nunc inviti meâ manere in domo.
" Sed aliam oportet primùm viam perficere, & pervenire
" Ad Plutonis domum, & ſeveræ Proſerpinæ,
" Animam conſulturos Thebani Tireſiæ,
" Vatis cæci, cujus Prudentia ſtabilis & confirmata erat.
" Huic etiam mortuo mentem tribuit Proſerpina,
" Solus ut ſaperet; reliqui vero umbræ circumvolitant.
Sic ait; cæterùm mihi fractum eſt amicum cor;
Flebam autem in lectulo deſidens, neque omninò animus
Volunt amplius vivere, & videre lumen ſolis.
Cæterùm poſquam ſiénſque provolutuſque ſatur eram,
Et tum jam ipſam verbis excipiens alloquebar,
" O Circe, quiſnam hanc viam demonſtrabit?
" Ad Plutonem ſanè nemo unquam pervenit nave nigrâ.
Sic dixi; illa continuò reſpondit diva dearum,
" Generoſe Laërtiade, prudens Ulyſſes,
" Minimè tibi ducis deſiderium pro nave curæ ſit:
" Malum verò erigens, velíſque albis extenſis,

ΣΧΟΛΙΑ.

492. Ψυχῇ χρησομένους.] Διατί δὲ οὐκ αὐτὴ μαντεύεται; ὅτι οὐκ ἦν ἐπίσευστος Ὀδυσσεῖ, ἐρῶσα αὐτῆς· ἢ καθὸ μὴ σειρῆσιν, καὶ τὰ τοιαῦτα, ὡς γέγραπται, μυηθεὶς ἦν ὑπὸ τοῦ Τειρεσίου εἶπεν, εἰδὼς ἐρῶσαν τὴν Κίρκην· διὸ καὶ τῶν λοιπῶν ἐπιτυχεῖν τῆς μαντικῆς. Χρησομένους.] Μαντευσομένους.

494. Τῷ καὶ τεθνειῶτι.] Διόπερ ἐδιδάσκετο δύο δρυφακτοὺς ἐν τῷ Κιθαιρῶνι μιγνυμένους, ἃ παρεφύλαττεν ἡ Ἥρα ἀνεῖλεν· καὶ ἐπὰς ἐγένετο γυνὴ, καὶ πάλιν ἄρρεν, καὶ ἀπείλαβε τὴν ἰδίαν φύσιν. Ζεὺς δὲ καὶ Ἥρα, ἐπὶ ἑκατέρων μετέσχεν, κριτὴν αὐτὸν εἰλοῦθ'· εἷς μᾶλλον ἡδὺ] ἐν συνουσίᾳ, ὁ ἀνὴρ, ἢ ἡ γυνή; ὁ δὲ εἶπεν, Οἵην μὲν μοῖραν δέκα μοιρῶν τέρπῃ ἀνήρ· τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα· διὸ ἡ μὲν Ἥρα ὀργισθεῖσα, ἐπήρωσεν αὐτόν· ὁ δὲ Ζεὺς τὴν μαντικὴν ἔδωκεν.

495. Πεπνύσθαι.] Συνετὰ καὶ ἔμφρονα εἶναι. Ἀΐσσουσι.] Κινοῦνται.

505. Ποθὴ.] Ἐπιζήτησις. Μελέσθω.] Ἐν φροντίδι ἔστω.

NOTÆ.

493. Μάντηος ἀλαοῦ) Vox ἀλαὸς, hoc in loco, *Duas* Priores habet *longas*, Primam, ob λ'. *eſtaticum*, *Secundam*, ob *Hiatum*, per quem πυκνικῶς στρωσὶς τις innuitur; aliàs utraſque breves. *Hiſtoriam* Tireſiæ *vid.* ad *Schol.* v. 494. *Ovid.* Metam. l. 3. §. 4. *Tzetzem* ad *Lycoph.* v. 683. *Euſt.* in hunc locum & *Apollodor.*

NOTÆ IN SCHOLIA.

494. Τῷ καὶ τεθνειῶτι) Hoc *Scholion* lucem fert ex *Euſtath.* fol. 407. lin. 22. ex *Apollodoro*, l. 3. §. 7.

VARIÆ LECTIONES.

486. Ἀμφ' ἔμ') γρ. ἀμφί μ'.
499. Κυλινδόμενός τε κορέσθην) γρ. κυλινδόμενός τ' ἀκορέσθην.
502. Ἄϊδος δ') γρ. Ἀΐδόσδ'.

Ἠδ'

Ἦμος· τῷ δέ κέ τοι πνοιὴ Βορέαο φέρησιν.
Ἀλλ' ὁπότ' ἂν δὴ νηῒ δι' ὠκεανοῖο περήσῃς,
Ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης,
Μακραί τ' αἴγειροι, καὶ ἰτέαι ὠλεσίκαρποι,
Νῆα μὲν αὐτοῦ κέλσαι ἐπ' ὠκεανῷ βαθυδίνῃ,
Αὐτὰρ ἐς Ἀΐδεω ἰέναι δόμον εὐρώεντα.
Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι,
Κώκυτός θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ,
Πέτρη τε, ξυνέσις τε δύω ποταμοῖο βοάων.
Ἔνθα δ' ἔπειθ', ἥρως, χειμῴθεις πέλας, ὥς σε κελεύω,

" Sede; illam verò tibi flatus Boreæ ferat.
" Sed cum jam navi per Oceanum transmiseris,
" Ubi littus breve & nemora Proserpinæ,
" Longæque alni, & salices frugiperdæ:
" Navem quidem illic siste in Oceano profundis vorticibus,
" Ipse autem in Plutonis eas domum obscuram.
" Hic quidem in Acherontem Pyriphlegethonque confluunt,
" Cocytusque, qui utique Stygis aquæ est fluxus,
" Petraque est & concursus duorum fluviorum valde-sonantium.
" Hic deinde, heros, accedens propè, ut te jubeo,

Σ Χ Ο Λ Ι Α.

507. Φέρησιν.] Ἀποφέροι.

509. Ἀκτή.] Ἡ ἐσχατιὰ καὶ ἐξέχουσα εἰς θάλασσαν ἄκρα. Λάχεια.] Ἐλαχίση. Ἄλσεα.] Ἱερὰ καὶ σύνδενδρα χωρία.

510. Ὠλεσίκαρποι.] Ἐπειδὴ τὸ ἄνθος ἀποβάλλουσιν· ἢ ἐπὶ οἱ πίνοντες ἄνθος ἰτέας, ἄγονοι ἀφαμβροῦνται. Ὠλεσίκαρποι.] Ἀποβάλλει γὰρ τὸ ἄνθος· οἰκείας δὲ ἀγόνους φυτοῖς ἔχουσιν. * ἱκανὰ γὰρ νεκροῖς τὰ ἄκαρπα. Φησὶ δὲ Θεόφραστος τὸ φυλλοβολεῖν τὰ * χυλὸν τὰ ἰτέας πινόμενον ἀφανίζειν τῷ γάλακτι τὰ ἀνθρώπων.

181. Ὀιζυραὶ δέ οἱ αἰεί.] * Οὐχ ὑπὸ μνηστήρων ὀχλουμένη (καίτοι που καὶ οἱ μνηστῆρες, οἶμαι μὴ πίστεως ἕνεκα ἐπιάσαν) ἀλλά σε ζητοῦσα. Ὀιζυραί.] Ταλαίπωροι.
182. Φθίνουσιν.] Φθείρουσι, φθινύθουσι.

NOTÆ.

165. Ἁμῆς) *Eustath.* fol. 425. lin. 3. Τὸ δὲ ἁμῆς γῆς, καὶ ὁμοιότροπα τούτοις ὑμῆς, ὅπερ ἐστὶν, ὑμετέρας, καὶ δεύτερον ἀντωνυμικὸν σχῆμα.
171. Νῦσος) *Ultimam* producit, in *Cæsurâ*, ante συμφωνῶ, &c. *Ibid.* Ἄρτεμις — οἷς ἀγανοῖς βελέεσσι) De hujus Phraseos mente, vid. ad γ'. v. 279.

NOTÆ IN SCHOLIA.

181. * Οὐχ ὑπὸ μνηστήρων) Hoc *Scholion* emendatius exhibeo, delendo, φθίνουσι, &c. quæ nil huc attinebant, Parenthesεως notam adhibendo, legendoque, pro ζητοῦσιν, ζητοῦσα, &c.

VARIÆ LECTIONES.

168. Εὐπωλον) χρ. εὔπωλον.
171. Ἦ δολιχὴ νῦσος, ἦ) χρ. ἦ δολιχὴ νῦσός γ', ἦ &c.
172. Οἷς ἀγανοῖς βελέεσσι) χρ. οἷς ἀγανοῖσι βέλεσσι, *Seberus*, vid. ad γ'. v. 280.

Σὸν δ' οὔπω τὶς ἔχῃ καλὸν γέρας· ἀλλὰ ἔκηλος
Τηλέμαχος τεμένη νέμῃ, καὶ δαῖτας ἐίσας
Δαίνυῃ, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν·
Πάντες γὰρ καλέουσι· πατὴρ δὲ σὸς αὐτόθι μίμνει
Ἀγρῷ, οὐδὲ πόλινδε κατέρχεται· οὐδέ οἱ εὐναὶ,
Δέμνια, καὶ χλαῖναι, καὶ ῥήγεα σιγαλόεντα·
Ἀλλ' ὅγε χείματα μὲν εὕδῃ, ὅθι δμῶες, σὺς οἰνοπέδοιο
Ἔν κόνι, ἆσχι πυρὸς, κακὰ εἵματα εἵατο·
Αὐτὰρ ἐπὴν ἔλθῃσι θέρος, τεθαλυῖά τ' ὀπώρη,
Πάντη οἱ κτὺ γυνὸν ἀλωῆς οἰνοπέδοιο
Φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί·
Ἔνθ' ὅγε κεῖτ' ἀχέων· μέγα δὲ φρεσὶ πένθος ἀέξει,
Σὸν πότμον γοόων· χαλεπὸν δ' ὅπη γῆρας ἱκάνῃ·
Οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην, καὶ πότμον ἐπέσπον.
Οὔτ' ἔμ' ἐνὶ μεγάροισιν ἐύσκοπος Ἰοχέαιρα
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν·
Οὔτε τὶς ἦν μοι νῆσος ἐπήλυθεν, ἥτε μάλιστα
Τηκεδόνι γυγερῇ μελέων ἐξείλετο θυμόν·
Ἀλλά με σός τε πόθος, σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ,

" Tuum vero nondum quiſquam poſſi-
" det pulchrũ præmium; ſed quietus
" Telemachus poſſeſſionibus utitur, & &
convivia æqualia
" Epulatur, quæ decet principem vi-
rum curare;
" Omnes enim invitant: pater autem
tuus illic manet
" In agro, neque in urbem concedit,
neque illi lectuli,
" Strata & chlænæ, & ſtragula pre-
tioſa.
" Sed ille hyeme quidem dormit, ubi
mancipia, in domo,
" In pulveribus, propè focum, laceras
verò corpori veſtes induit.
" Cæterùm poſtquam venit æſtaſque
vireſcenſque autumnus,
" Undique illi per tertilem partem
vineæ vitiferæ
" Ex foliis decapſis humi ſternitur le-
ctulus.
" Hic ille jacet triſtis, ingentemque
in mente dolorem auget,
" Tuum fatum deflens, moleſtaque ſe-
nectus ſupervenit:
" Sic enim & ego perii, & fatum
contraxi.
" Neque me domi ſagittandi-perita
Diana
" Suis mitibus telis ſuperveniens in-
teremit;
" Neque aliquis me morbus invaſit,
qui maximè
" Tabe horrendâ ex membris tollit
animum:
" Sed me tuique deſiderium, tuæque
curæ, inclyte Ulyſſes,

Σ Χ Ο Λ Ι Α.

184. Τεμένη.] Χωρία.
185. Δαίνυται.] Εὐωχῆται. Ἀλεγύνειν.] Καπηδεύειν.
188. Ῥήγεα.] Βαπτὰ σκεπάσματα. Σιγαλόεντα.] Ποικίλα.
189. Χείματα.] Ἐν τῷ χειμῶνι. Εὕδῃ.] Καθεύδῃ.
190. Ἔν κόνι.] Ἐν τῇ γῇ. Κακά.] Λυπρά. Ἕατο.] Ἐνδύεται.
192. Γυνόν.] Γόνιμον τόπον.
193. Φύλλων κεκλιμένων.] Κεκαλυμμένων, πεπεσόντων. Χθαμαλαί.] Οὐχ αἱ ἐπὶ τῆς γῆς ἀλλ' ἐν τῇ γῇ. ἢ παρὰ γᾶν. Βεβλήαται.] Βέβληνται, κεῖνται.
194. Αἴξῃ.] Αὔξῃ.
195. Γοόων.] Θρηνῶν.
196. Οὕτω γὰρ κ' ἐγὼν ὀλόμην.] Οὐχ ὡς οἱ ναύτορες, ὅτι ἑαυτὸν ἀνήρτησεν, Ναυπλίῳ ψεύδεϊ μαντευσάμενον Ὀδυσσέως. Οὕτω γὰρ κἀγὼν ἐγὼν ὀλόμην.] Ἀπωλόμην, ἀπέθανον.

N O T Æ.

186. Πάντες) Non videtur verum, *Telemachum* ab omnibus Invitari; quare ſatius forſan eſſet, πάντας legere; quoniam ille, præter Procos, & alios quoſvis hoſpitio exceperit, καλέουσι verò ad *Telemachi* ſervos refertur. Πάντες certè *Euſtathius* legit in παρεκβολαῖς, fol. 425. lin. 38. Vid. eundem fol. 426. lin. 49.

190. Εἵατο) Ab ἵω, *Induo*, Præterit. Perfect. *Paſſiv.* εἵμαι, unde εἵμα, *Veſtis*, quod facit etiam εἵσσα, ut in *Pluſquam-Perfecto*, εἵσο, *Poeticè*, & *Ionicè*, ἵστο *Homero*, & ἵεσο, *Iliad.* μ'. v. 464. Certè in *Florentinâ*, *Aldinâ*, *Lovanianâ*, & *Br. Schol* ἵσσατο, apertè legitur; pro quo ἵστο & εἵατο, ut *Euſtath.* fol. 425. lin. 48

195. Σὸν πότμον γοόων) *Euſtathius*, fol. 425. lin. 51. legi etiam ait, Σὸν νόστον πενθέων, minùs accuratè; nam licet *Ulyſſes* reverà non eſſet defunctus, pro deplorato tamen à Patre habitus eſt.

Vᴀʀɪæ Lᴇᴄᴛɪᴏɴᴇs.

186. Πάντες) χρ. πάντως, Vid. Not. in *Textum*.
189. Ἐνὶ οἴκῳ) χρ. καθ' οἶκον.
190. Ἔν κόνι) χρ. ἐν κόνῃ. *Br. Schol.* Ibid. Εἵατο) χρ. ἵστο, vid. Not. in *Textum*.
195. Σὸν πότμον γοόων) γρ. σὸν νόστον πενθέων, vid. Not. in *Textum*.

Σὴ

Σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.
Ὣς ἔφαθ'· αὐτὰρ ἔγωγ' ἔθελον φρεσὶ μερμηρίξας
Μητρὸς ἐμῆς ψυχὴν ἐλέειν καταθνητῆς.
Τρὶς μὲν ἐφορμήθην, ἐλέειν τέ με θυμὸς ἄνωγε,
Τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον, ἢ καὶ ὀνείρῳ,
Ἔπτατ'· ἐμοὶ δ' ἄχος ὀξὺ γενέσκετο κηρόθι μᾶλλον.
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων,
Μῆτερ ἐμή, τί νύ μ' οὐ μίμνῃς ἐλέειν μεμαῶτα,
Ὄφρα καὶ εἰν ἀΐδαο, φίλας περὶ χεῖρε βαλόντε,
Ἀμφοτέρω κρυεροῖο τεταρπώμεσθα γόοιο;
Ἦ τί μοι εἴδωλον τόδ' ἀγαυὴ Περσεφόνεια
Ὤτρυν', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος τεναχίζω;
Ὣς ἐφάμην· ἣ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ,
Ὤ μοι τέκνον ἐμόν, περὶ πάντων κάμμορε φωτῶν,
Οὔτι σὲ Περσεφόνεια, Διὸς θυγάτηρ, ἀπαφίσκει,
Ἀλλ' αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε κέν τε θάνωσιν.
Οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν,
Ἀλλὰ τὰ μὲν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο
Δαμνᾷ, ἐπεί κε πρῶτα λίπῃ λευκὸν ὀστέα θυμός,
Ψυχὴ δ', ἠύτ' ὄνειρος, ἀποπταμένη πεπότηται.
Ἀλλὰ φάωσδε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα
Ἴσθι, ἵνα καὶ μετόπισθε τεῇ εἰπῇσθα γυναικί.

" Tuaque benignitas dulci animo privârunt.
Sic ait; cæterùm ego volui mente deliberans
Matris meæ animam prehendere defunctæ:
Ter quidem irrui, amplectique me animus invitabat;
Ter autem mihi ex manibus, instar umbræ, vel etiam somni,
Avolabat: mihi verò dolor acutus exorieba ex animo magis,
Ita ipsam alloquutus verba velocia dixi,
" Mater mea, cur me non expectas amplecti cupidum;
" Ut etiam apud inferos, charis circa manibus amplectentes,
" Nos ambo sævo saturemur luctu?
" Nunquid mihi idolum hoc illustris Proserpina
" Excitavit, ut adhuc magis lugens ingemiscam?
Sic dicebam; ipsa rursus respondit veneranda mater,
" Eheu, fili mi, super omnes infelix viros,
" Minimè te Proserpina, Jovis filia, eludit,
" Sed ipsa lex est mortalium, cum mortui fuerint:
" Non enim ampliùs carnesque & ossa nervi sustentant,
" Sed ea quidem ignis forte robur arcentis
" Absumit statim, ut primùm reliquit alba ossa anima:
" Anima verò, tanquam somnium, avolitans evolitat.
" Sed in lucem *viventium* celerrimè contende; hæc autem omnia
" Scias, ut etiam in posterum tuæ dicas uxori.

ΣΧΟΛΙΑ.

202. Σή τ' ἀγανοφροσύνη.] Εὐχήμως τὴν ἀψυχίαν ἐπαίνησεν, ὡς ἀπὸ ἐψυχῶν τῶν ἑαυτῶν ἐξαναχθέντων δι' ἀβίαν. Ἀγανοφροσύνη.] * Περαότητι, φρενῶν πραότητα.
204. Ἐλέειν.] Περιπτύξασθαι.
205. Ἐφορμήθην.] Πρὸς μηδὲν.
207. Περὶ χεῖρε.] Περιστάσεις. Κενόν.] Ἐν κεναῖς, ἐν τῇ ψυχῇ.
210. Εἰν ἀΐδαο.] Ἐν ᾅδου.
211. Κρυεροῖο.] Ψυχρὸς καὶ ῥίγους ποιητικός. Τεταρπώμεσθα.] Κορεσθῶμεν.
212. Εἴδωλον.] Τὴν εἰς τὸ ἰδεῖν μόνον ἐλθοῦσαν, ἢ μή τις καὶ εἰς ἄλλην αἴσθησιν. Ἀγαυή.] Λαμπρά.
215. Κάμμορε.] Δυστυχέστατε.
216. Ἀπαφίσκει.] Ἀπατᾷ.
217. Δίκη.] Νόμος.
218. Ἶνες.] Τὰ νεῦρα. Ἔχουσι.] Συνέχουσι.
220. Δαμνᾷ. Φθείρει. Λίπῃ.] Καταλιμπάνῃ.
221. Πεπότηται.] Ἵπταται.
222. Λιλαίεο.] Πρόθυμος, ἐπείγου.
223. Ἴσθι.] Ἐπίστασο, ἴσαθι. Τεῇ.] Τῇ σῇ.

NOTÆ.

205. Τρὶς μὲν ἐφορμήθην) Hinc *Virgil.* Ter conatus ibi Collo dare brachia circum. Vid. *Macrob.* l. 5. c. 5. & 7.
206. Εἴκελον) Ità semper scribo, ubi *Prior* longa; aliàs ἴκελον.
210. Φίλας περὶ χεῖρε βαλόντε) *Pluralis* hic *Numerus* bis jungitur *Duali*, φίλας χεῖρε & βαλόντε. ἀμφοτέρω τεταρπώμεθα, ut *Iliad.* γ'. v. 435.

NOTÆ IN SCHOLIA.

202. * Περαότητι &c.) Ex *Aldo* restituo, pro περαίτης & περήνεια.

VARIÆ LECTIONES.

206. Εἴκελον) γρ. ἴκελον.
210. Βαλόντε) γρ. βαλόντες.

Νῦν,

Νῶϊ μὲν ὡς ἐπέεσσιν ἀμειβόμεθ'· αἱ δ' ἄρα γυναῖκες
Ἦλυθον, ὅσσαι ἔσαν, ἠδὲ θύγατρες·
Αἵδ' ἀμφ' αἷμα κελαινὸν ἀολλέες ἠγερέθοντο·
Αὐτὰρ ἐγὼ βάλλομον, ὅπως ἐρέοιμι ἑκάστην·
Ἦδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
Σπασσάμενος ταναήκες ἄορ παχέος περὶ μηροῦ,
Οὐκ εἴων πιέειν ἅμα πάσας αἷμα κελαινόν.
Αἱ δ', ὡς μνηστῖνας ἐπήισαν· ἡ δ' ἑκάστην
Ὃν γόνον ἐξαγόρευεν· ἐγὼ δ' ἐρέεινον ἁπάσας.
Ἔνθ' ἤτοι πρώτιστα Τυρὼ ἴδον εὐπατέρειαν,
Ἣ φάτο Σαλμωνῆος ἀμύμονος ἔκγονος εἶναι,
Φῆ δ' Κρηθῆος γυνὴ ἔμμορε Αἰολίδαο.
Ἣ ποταμοῦ ἠράσσατ' Ἐνιπῆος θείοιο,
Ὃς πολὺ κάλλιστος ποταμῶν ἐπὶ γαῖαν ἵησι·
Καί ῥ' ἐπ' Ἐνιπῆος πωλέσκετο καλὰ ῥέεθρα.
Τῷδ' ἄρα εἰσάμενος Γαιήοχος ἐννοσίγαιος,

Nos quidem sic verbis respondebamus: ipsæ autem fœminæ
Accesserunt, egit enim inclyta Proserpina
Quotquot optimatum uxores erant atque filiæ:
Illæ circa sanguinem nigrum frequentes congregabantur.
Cæterum ego consultabam, quo pacto interrogarem singulas.
Illud autem mihi in animo optimum videbatur consilium,
Stricto acuto gladio crassò à fœmore,
Non sinebam bibere simul omnes sanguinem nigrum.
Illæ verò deinceps accedebant, unaquæque autem
Suum genus narrabat: ego enim interrogabam singulas.
Hic videlicet primam Tyro vidi nobili patre natam,
Quæ dicebat Salmonei inculpati se filiam esse;
Dicebatque Cretbei se uxorem esse Æolidæ.
Hæc fluvium amavit Enipeum divinum,
Qui multò pulcherrimus fluviorum per terram labitur;
Et prædi fiderio juxta Enipei versabatur pulchra fluenta.
Hunc ergò assimulatus Neptunus terram quatiens,

Σ Χ Ο Λ Ι Α.

228. Ἐρεοιμι.] Ἐρωτήσω.

232. Πεφνηνῖαι.] Ἤτοι ἐπὶ μίαν ἐξῆς, ἢ ἐπάλληλοι· ἢ ἐπὶ σίχον· ἢ ἔτι καθὰ τὸ ἔτυμον * φονευθείσας, διὸ δὲ περισπᾶται τῷ ἰῶτα.

233. Ἐξαγόρευεν.] Φανερὰς ἔλεγον. Ἐρέεινον.] Ἠρώτων.

234. Τυρώ.] Σαλμωνίως θυγατέρα. Εὐπατέρειαν.] Ἐν ἠθεῖ εἶπεν· δυσιθὲς γὰρ ἦν ὁ Σαλμωνεὺς, ἀνταφρονῶν τῷ Διΐ, καὶ ἀνταστράπτων· διὸ καὶ κεραυνοῖς ἔφθειρεν.

235 Σαλμωνῆος.] Σαλμωνίου. Ἔκγονος.] Θυγάτηρ.

237. Ἐνιπῆος.] Ἐνιπεὺς, Ἥλιδος ποταμὸς καὶ Θεσσαλίας· πῶς ἦν οὖν Ἰλιάδι ὁ Ἀξιός; ἢ δὲ μὴ Ἀξίῳ τὸ ὕδωρ, ἢ δὲ Ἐνιπέως τὸ σῶμα· ὄθεν καὶ ἐρεῖται.

239. Πωλέσκετο.] Ἀντὶ τοῦ ἐπορεύετο.

N O T Æ.

231. Πιέειν) Ità scribo, pro corrupto illo πινέειν, quæ vox est nihili; & ità mecum *Seberus* legit. *Florentina* quidem, *Aldina*, *Rescii Lovaniana*, *Hervagiana*, & *Castellionæa*, cum *Eustathio*, πίνειν legunt; quare inter *Var. Lection.* repono, at πινέειν rejectaneum & *Elzevirianum* delirium.

234. Τυρὼ) De hâc, *Br. Schol.* ad β'. v. 120. *Lucian.* Ver. Histor. l. 2. *Candida Tyro*, Propert. l. 2. §. 28. Laudatissima formâ, *Ovidio.*

237. Ἐνιπῆος) Ità *Scholiastes*, *Propertius*, *Ovidius*, *Lucanus*, *Claudianus*, hunc *Thessaliæ* fluvium, *Enipea* vocant omnes; nè *Herodotum* & alios memorem. *Strabo* tamen, l. 8. fol. 546. Ἐνιπέα nonnullis dictum ait, unde *Eustath.* fol. 431. lin. 16. Τὸν δὲ ῥηθέντα Ἐνιπέα ὁ Γεωγράφος Πελοποννήσιον οἶδε ποταμὸν, ἐμβάλλοντα εἰς τὸν Ἀλφειόν· ὁ γὰρ αὐ Θετταλίαν, Ἐνισεύς, φησι, λέγεται, ἐξ οὗ καὶ Ἐνιπεύς. Vid. *Lud. Carrionis* Scholia, ad *C. Valerii Flacci* Argonaut. p. 195.

N O T Æ I N S C H O L I A.

232. * Πεφνηνῖαι) Ità, pro πεφνείσας, scribo; vid. quæ Nos ad φ'. v. 230. & *Etymolog.* M. in v.

234. * Εὐπατέρειαν) Addo.

V A R I Æ L E C T I O N E S.

231. Πιέειν) γρ. πίνεν, vid. Not. in *Textum.*

232. Ἦδε ἑκάστη) χρ. ἠδὲ ἑκάστη, *H. Steph.*

234. Πρώτιστα) γρ. πρῶτον, *H. Steph.*

237. Ἐνιπῆος) γρ. Ἐνισῆος, vid. Not. in *Textum*, *Br. Schol.*

238. Ἴησι) γρ. ἵησι, *Eustath.* fol. 430. lin. 20.

239. Ἐνιπῆος) γρ. Ἐνισῆος, ut suprà, v. 237.

240. Τῷδ' ἄρα εἰσάμενος) γρ. τῷδ' ἄρ' ἐεισάμενος.

Ἐν

Ἐν προχοῇς ποταμοῦ παρελέξατο δινήεντος·
Πορφύρεον δ' ἄρα κῦμα περιστάθη, οὔρεϊ ἶσον,
Κυρτωθέν, κρύψεν τε θεὸν, θνητήν τε γυναῖκα·
Λῦσε δ' παρθενίην ζώνην, κατὰ δ' ὕπνον ἔχυθεν.
Αὐτὰρ ἐπεί ῥ' ἐτέλεσσε θεὸς φιλοτήσια ἔργα,
Ἕν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἐκ τ' ὀνόμαζε,
Χαῖρε, γύναι, φιλότητι· περιπλομένου δ' ἐνιαυτοῦ,
Τέξῃς ἀγλαὰ τέκνα· ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
Ἀθανάτων· σὺ δὲ τοὺς κομέειν, ἀποτάλλεμέναί τε.
Νῦν δ' ἔρχευ πρὸς δῶμα, κὴ ἴσχεο, μηδ' ὀνομήνῃς·
Αὐτὰρ ἐγώ τοι εἰμὶ Ποσειδάων ἐνοσίχθων.
Ὣς εἰπὼν, ἔσω πόντον ἐδύσατο κυμαίνοντα.
Ἡ δ' ὑποκυσαμένη, Πελίην τέκε κὴ Νηλῆα·
Τὼ κρατερὼ θεράποντε Διὸς μεγάλοιο γενέσθην
Ἀμφοτέρω· Πελίης μὲν ἐν εὐρυχόρῳ Ἰαολκῷ
Ναῖε πολύρρηνος· ὁ δ' ἄρ' ἐν Πύλῳ ἠμαθόεντι.
Τοὺς δ' ἑτέρους Κρηθῆϊ τέκεν βασίλεια γυναικῶν,
Αἴσονά τ', ἠδὲ Φέρητ', Ἀμυθάονά θ' ἱπποχάρμην.
Τληδὲ μέτ', Ἀντιόπην ἴδον, Ἀσωποῖο θύγατρα,
Ἣ δὴ κὴ Διὸς εὔχετ' ἐν ἀγκοίνῃσιν ἰαῦσαι,

In ostiis fluvii accubuit vorticosi.
Cæruleus quidem fluctus circumstitit, monti æqualis,
Curvatus, absconditque deum, mortalemque fœminam;
Solvit itaque virginalem zonam, somnumque superinfudit.
Cæterùm postquam perfecit deus amatoria opera,
Inhæsit sanè manui, verbumque dixit, & prolocutus est,
" Gaude, mulier, ob connubium hoc, circumvoluto enim anno,
" Paries pulchros liberos; quoniam non inanes concubitus
" Immortalium: tu verò hos nutri & educa:
" Nunc autem eas ad domum, & tibi cave, nè nominaveris:
" Cæterùm ego tibi sum Neptunus terræ quassator.
Sic loquutus, pontum subiit fluctuantem.
Illa igitur imprægnata Peliam peperit & Neleum;
Qui inclyti ministri Jovis magni erant
Utrique: Pelias quidem in spaciosâ Iolco
Habitabat pecorosus, hic verò in Pylo arenosâ.
Alios quoque marito Cretheo peperit regina fœminarum,
Æsonemque, atque Pheretem, Amithaonique gaudentem equis.
Post hanc, Antiopem vidi, Asopi filiam;
Quæ utique & Jovis gloriabatur inire ulnis dormiisse;

ΣΧΟΛΙΑ.

241. Ἐν προχοῇς ποταμοῦ παρελέξατο δινήεντος.] Ἐπαφροδίτως ὁμοῦ καὶ φιλοτίμως, τὸ αὐτὸ μίσγων τῷ ποταμῷ, ὃ δὴ ἡ Τυρὼ ἤρα, * τῷ Ποσειδῶνι κοινωνήσαι * ἠθέλησεν, ὥσπερ * ἐπιγελᾶντα. Προχοῇσι δὲ, τοῖς εἰς θάλασσαν τὸ ποταμὸν φέρουσιν.

242. Πορφύρεον.] Μέλαν. Οὔρεϊ.] Τῷ ὄρει.

244. Λῦσε δὲ περὶ ζώνην.] Ἀντὶ δὲ, διεπαρθένευσε.

245. Φιλοτήσια ἔργα.] Ἐρωτικὰ τυτίσι, τοῦ μίξιν.

247. Περιπλομένου.] Περιερχομένου.

248. Ἀποφώλιοι.] Ἀδύκιμοι, ἄγονοι, ἄπαιδες, ἄκαρποι.

249. Κομέειν.] Ἐπιμελείας ἀξιῶν. Ἀποτάλλεμεναί.] Ἐκ παίων ἀναιρέφειν.

250. Ἴσχεο.] Ἡσύχαζε. Ὀνομήνῃς.] Ἐξείπῃς.

253. Ὑποκυσαμένη.] Ἔγκυος γενομένη.

254. Θεράποντε Διὸς.] Βασιλεῖς· καὶ γὰρ οἱ πολέμιοι καὶ θεράποντες Ἄρεως.

255. Εὐρυχόρῳ.] Πλατυχώρῳ, μεγάλῃ. Ἰαολκῷ.] Ἰωλκῷ. Ἰωλκὸς, πόλις Θετταλίας.

257. Πολυρρήνιος.] Πολλὰ πρόβατα ἔχων.

258. Ἱπποχάρμην.] Ἤτοι χαίρουσα ἵπποις· ἢ ἐφ' ἵπποις μαχόμενον.

260. Εὔχετο.] Ἔλεγεν, ὑπεσχάτο. Ἰαῦσαι.] Κοιμηθῆναι.

NOTÆ.

248. Τέξεις ἀγλαὰ τέκνα· ἐπὶ οὐκ ἀποφώλιοι εὐναὶ) Scribo τέκνα, ob *Vocalem* sequentem, & *Metri* causâ. Cùm olim in Omnibus τέκνα pleniùs scriberetur; ut *Ultima* & ἐπὶ & οὐκ coaleteerent.

NOTÆ IN SCHOLIA.

241. * Ἐπιγελᾶντα) Pro ἐπιγελᾶντα, emendando scribo, & * τῷ Ποσειδῶνι, pro ᾧ Ποσειδῶνι, & * ἠθέλησεν, pro ἠθέλησαν, MS. *Alcyssi* præeunte. Vid. *Philostrati* Imag. l. 2. § *Meles*, & lib. 1. § *Neptunus*, vel *Amymone*; nam ab illo confusam utramque Historiam agnoscet, qui hunc *Homeri* locum, cum ultimo illo *Philostrati* conferet.

258. * Ἐφ' ἵπποις) Ità pro ἐφ' ἵπποις, ex *Aldo*.

VARIÆ LECTIONES.

248. Τέξῃς') γρ. τέκνα. vid. Not. in *Textum*.

Καὶ

Καί ῥ' ἔτεκεν δύο παῖδ', Ἀμφίονά τε, Ζῆθόν τε,
Οἵ πρῶτοι Θήβης ἔδος ἔκλισαν ἑπταπύλοιο,
Πύργωσάν τ'· ἐπεὶ ὄ μὴν ἀπύργωτόν γ' ἐδύναντο
Ναιέμεν εὐρύχορον Θήβην, καλλιρόῳ περ ἐόντε.
Τὼ δὲ μέτ', Ἀλκμήνην ἴδον, Ἀμφιτρύωνος ἄκοιτιν,
Ἣ ῥ' Ἡρακλῆα θρασυμέμνονα, θυμολέοντα,
Γείνατ', ὑπ' ἀγκοίνῃσι Διὸς μεγάλοιο μιγεῖσα.
Καὶ Μεγάρην, Κρείοντος ὑπερθύμοιο θύγατρα,
Τὴν ἔχεν Ἀμφιτρύων ὑπὸς, μάλα αἰὲν ἀτειρής.
Μητέρα τ' Οἰδιπόδαο ἴδον, καλὴν Ἐπικάστην,

Et peperit duos filios, Amphionemque Zethumque.
Qui primi Thebarum fundamenta locârunt feptem-portarum,
Turribusque circumdederunt, quoniam non abſq; turribus poterant
Habitare latas Thebas, quamvis fortes eſſent.
Poſt hanc autem, Alcmenam vidi, Amphitryonis uxorem,
Quæ Herculem audacem, animumleonis-habentem,
Peperit, in complexu Jovis magnanimi congreſſa:
Et Megaram, Creontis magnanimi filiam;
Quam habuit *idem* Amphitryonis filius, robore ſemper indomitus.
Matrem jue Oedipodis vidi, pulchram Epicaſtem,

Σ Χ Ο Λ Ι Α.

262. Οἱ πρῶτοι Θήβης.] Μεῖζόν φησι τάφρους, Καὶ ἕρμα.

263. Πύργωσάν τ'.] Καὶ * ἐτείχισαν. Ἐπεὶ ὄ μὴν ἀπύργωτόν.] Διὰ τὰς Φλεγύας μὴ ὢν τοῦ πλούτου αὐτῶν, Εὐρύμαχον * ἠρήμωσε τὰς Θήβας, ὡς φησὶ Φερεκύδης ἐν τῇ * σὺν ἑπτακαιδεκάτῃ.

264. Ναιέμεν.] Οἰκεῖν.

265. Τὼ δὲ μέτ' Ἀλκμήνην ἴδον Ἀμφιτρύωνος ἄκοιτιν.] Τηλεβόαι στρατεύσαντες, κλέψαντι τὰ Ἠλεκτρύωνος παῖδα τοῦ θρασυμέμνονος ἀγωνιζόμενον καὶ Ἀμφιτρύωνα ἀπέκτειναν ἄκοντα Ἠλεκτρύωνα, φεύγει εἰς Θήβας. Ἀλκμήνη δὲ ἡ Ἠλεκτρύωνος, σὺν ἐβούλετο γαμηθῆναι, πολὺ πᾶσι τὰς Τηλεβόας, ὑπὲρ τὸ αὐτῆς ἀδελφῶν ὑπισχνεῖτο ὃ τοῦτο Ἀμφιτρύων, καὶ αὐτὸν εἰς Θήβας μισθοφόρον, πορεύεται ἐπὶ Τηλεβόας. Οὐ τούτῳ Ζεὺς τῇ νυκτὶ ἐφικνεῖται ἐπὶ τὸν Ἀμφιτρύωνος οἰκίαν, ἔχων καρχήσιον ἴσιον Ἀμφιτρύωνι. ὁ δὲ Ἀλκμήνῃ δοκῶν τὸν ἑαυτῆς παῖδα εἶναι, πωλεῖται ὡς τὸ Τηλεβόαι, εἰ κατέκτεινεν αὐτούς. ὁ δὲ Ζεὺς, λέγων αὐτῇ παῖζε, ἵνα μὴ γένηται, δίδωσι καὶ τὸ καρχήσιον. φαμένου δὲ ἀρίστους εἰληφέναι παρὰ τῶν στρατιωτῶν· ὁ δὲ ἀσμένως ἀπτίδησιν. ἐπὶ πολὺ σωφρονοῦσιν Ζεὺς ἀπέρχεται. Ἐν τῇ αὐτῇ παρεγένετο νυκτὶ Ἀμφιτρύων μίσθαι καὶ ἦλθε Ἀλκμήνῃ. ὃν μὲν Διὸς, Ἡράκλεια· ὃν δὲ Ἀμφιτρύωνος, Ἰφικλέα· ὁ δὲ ἱστορεῖ παρὰ Φερεκύδῃ.

266. Θυμολέοντα.] Λεοντόψυχον.

268. Κρείοντος.] Κρέοντος· ὄνομα δὲ κύριον, ὁ Κρέων. Καὶ Μεγάρην Κρείοντος ὑπερθύμοιο θύγατρα. Τὼ ἔχεν Ἀμφιτρύων ὑὸς.] Θυγάτηρ Κρείοντος, ὃς Θηβῶν βασιλεύων χρησμῷ Ἡρακλεῖ, παῖδας ἴσχε Θηρίμαχον καὶ Κρεοντιάδην· βασίζοντος δὲ αὐτῷ εἰς ἄδυ. ἐπὶ τὸ δὲ κωὸς ἄθλου, Λύκος ὁ Θηβῶν βασιλεὺς στάσεις Ἥρα. * καθίστησι τοὺς Ἡρακλέους παῖδας, ἵνα θύσῃ ὑ χαρ αὐτὸν ἐπανήξει φέρει· παρεγένοντο ὃ Ἡρακλῆς, ἀναιρεῖ αὐτὸν, καὶ τοὺς ἑπτὰ παῖδας· μανεὶς ὃ Λύσσῃ τῷ Ἥρᾳ νήπιος τοὺς ἰδίους. ἔμεινε δὲ καὶ τὸ ἀδελφοῦ Ἰφικλέα, εἰ μὴ ἔφασαν Ἀθηνᾶ κωλύσασα. ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ. Μίσος αἰὲν ἀτειρὲς.] Ὀργῆς ἀφορᾶτε μισός.

270. Μητέρα τ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην.] Λάϊος, ὁ Οἰδίποδος πατὴρ, παρὰ Φοίβου μαντεῖον λαβὼν, ὅτι πολεμοῦντος παῖς ἀπ' αὐτοῦ, ἀναιρεῖ αὐτὸν, Ἐπικάστην γήμας, γίνεται Οἰδίποδα, καὶ τοῦτον ἀπῆσαν * Σικυωνίοι ὃ ἱππηφορβοὶ ἀναλαβόντες ἔτρεφον αὐτόν. ἡλικίας δὲ γενόμενος ὁ Οἰδίπους, ἦλθε εἰς Θήβας, ἐπιζητῶν τοὺς γονεῖς· ἀπαλλάσσει δὲ ἀκουσίως τὸ πατέρα λαμβάνει εἰς γάμον, οὐκ εἰδὼς, τὴν μητέρα, ἐπιλυσάμενος τὸ τῆ Σφιγγὸς αἴνιγμα. τὸ λέγει, τί ἐστιν, τέτρεις, τί τετράπους; ἓ λέγομεν, ὅτι τὸ ἐστιν ἐστὶν ὁ ἄνθρωπος, τὸ τέτρεις γέρων βαδίζων βακτηρίαν, καὶ τὸ τετράπους, τὸ νήπιον τὸ συρόμενον. γίνεται δὲ ὁ τόπος

NOTÆ IN SCHOLIA.

262. * Τάφρους) Pro τάφρις, ex *Aldo*.

263. * Ἐτείχισαν) Ex *Aldo* reſtituo, pro ἐτείχισαν— * ἠρήμωσε, pro ἤρμωσε, vel ἥρμοσε, MS. legit, quod confirmat *Euſtath.* fol. 432. lin. 28. Pro δικάτῃ in *Impreſſis*, MS. habuit *ἰδικάτῃ*, hoc eſt * σὺν ἑπτακαιδεκάτῃ, ut nunc ſcribo.

268. 269. Ex Duobus, malè olim diſcretis, *Scholiis*, Unum jam compegi, ex MSti auctoritate, *Senſu* item poſtulante, * καθίστησι autem lego, pro καταστρέφει, ex Hiſtoriâ: Coronati enim ad Aram ſiſtebantur mactandi. Huc refer *Euripidis* Hercul. Fur. quem miror, *Scholiaſten* omiſiſſe, *Aſclepiad* longe priorem. Vid. *Euſtath.* fol. 433. lin. 46.

270. * Σικυώνιοι ὃ ἱππηφορβοί.] Ita diſtinguo & ſcribo, pro Corrupto, ἀπῆσαν Σικυώνιοι οἱ ὃ ἱππηφορβοί. &c. Non enim *Sicyone*, verùm in monte *Cithæronis* erat expoſitus. Pro Πολυύχου, lego * Πολιούχου· ἵππιος ὃ addo, & * βοηδρόμια, pro ἀπατῶν, ex Hiſtoriâ; qua *Sophocli*, in *Oedipo*, ἐπὶ Κολωνῷ, qui & ipſe *Androtione* prior, nec à *Scholiaſtâ* nominatus.

VARIÆ LECTIONES.

261. Ἔτεκεν) γρ. ἔσχεν, *H. Steph.* Εἶδ. Παῖδ') γρ. παῖδας, & παῖδι, non benè.

263. Οὐ μὴν) γρ. ὅ μοι, *H. Steph.* Olim, ὅ μὴν, malè.

Ἡ μέγα

Ἦ μέγα ἔργον ἔρεξεν ἀϊδρείῃσι νόοιο,
Γημαμένη ᾧ υἷϊ· ὁ δ' ὃν πατέρ' ἐξεναρίξας
Γῆμεν· ἄφαρ δ' ἀνάπυσα θεοὶ θέσαν ἀνθρώποισιν.
Αὐτὰρ ὁ μὲν ἐν Θήβῃ πολυηράτῳ ἄλγεα πάσχων,
Καδμείων ἤνασσε, θεῶν ὀλοὰς ἀφὶ βουλάς·
Ἡ δ' ἔβη εἰς Ἀΐδαο πυλάρταο κρατερῆος,
Ἀψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου,
Ὠϊ ἄχεϊ χομένη· τοῖ δ' ἄλγεα κάλλιπ' ὀπίσσω
Πολλὰ μάλ', ὅσα τε μητρὸς Ἐριννύες ἐκτελέσουσι.
Καὶ Χλῶριν εἶδον περικαλλέα· τὴν ποτε Νηλεὺς
Γῆμεν, ἐὸν ἀφὶ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα,
Ὁπλοτάτην κούρην Ἀμφίονος Ἰασίδαο·
Ὅς ποτ' ἐν Ὀρχομενῷ Μινυηΐῳ ἶφι ἄνασσεν,
Ἠδὲ Πύλῳ βασίλευε· τέκεν δέ οἱ ἀγλαὰ τέκνα,

Quæ ingens facinus commisit insipientiâ mentis,
Nupta suo filio; ille item suum patrem ubi interfecit,
Uxorem duxit; statim verò vulgata dii fecerunt hominibus.
Sed ille quidem in Thebe execrabili dolores patiens,
Thebanis imperabat, deorum dira per fata:
Illa autem abiit in Plutonis *domum* validas portas habentis,
Alligato funè longo ab altâ trabe,
Suo dolore correpta; huic autem dolores reliquit post se
Valdè multos, quotquot matris Furiæ efficiunt.
Et Chlorin vidi perpulchram: quam olim Neleus
Uxorem duxit, ejus propter pulchritudinem, postquàm præbuit sponsalia,
Minimam natu puellam Amphionis Jasidæ:
Qui quondam in Orchomeno Minyeo fortiter imperavit;
Atque in Pylo regnavit: peperitque illi pulchros liberos,

Σ Χ Ο Λ Ι Α.

Ἐτεοκλῆς καὶ Πολυνείκης, ἐκ θυγατέρες, Ἀντιγόνη ἐ Ἰσμήνη· ὕστερον ἡ Ἰοκάστη ἐπιγνοῦσα, ὅτι τοῦ παιδὸς παρεμίγη, ἑαυτὴν ἀνήρτησεν· ὁ δὲ Οἰδίπους ἐκπεσὼν ὑπὸ Κρέοντος, ἦλθεν εἰς τὴν Ἀττικήν, καὶ ἄκησεν Ἱππία Κολωνὸν καλούμενον, ἐκ ἐκέτευεν ἐν τῷ ἱερῷ τῶν θεῶν Δήμητρος, ἐκ * πολιοῦχον Ἀθηνᾶς καὶ Διός· * ἔπειθε δὲ ἀγόμενος ὑπὸ Κρέοντος ἔρχε * βοηθὸν τὸν Θησέα. Τελευτῶν δὲ ὁ Οἰδίπους ἀφὶ γῆρας, παρεκάλεσε τὸν Θησέα μηδενὶ τῶν Θηβαίων ἀλλῷ τὸν τάφον· εἰδέναι γὰρ αὐτὸν ἐκ νεκρὸν ἀκίνητον ἔσεσθαι· ἡ ἱστορία παρὰ Ἀνδροτίωνι. Ἐπικάστην.] Παρὰ πᾶσι τραγικοῖς, Ἰοκάστην.

271. Νόοιο.] Τῆς νεᾶς.

272. Ἐξεναρίξας.] Ἀτελῶς, φονεύσας.

273. Ἀνάπυστα.] Ἀντὶ σώματα πᾶσι λέγειν, καὶ πυνθάνεσθαι· ἢ φανερά.

274. Πολυηράτων.] Πολλὰς ἀρὰς καὶ βλασφημίας θεῶν * ὑπομενούσης, ἃ γὰρ ἐρασμίως· ὅπως ἂν ᾖ τοῦ ὑποκειμένου ἀκόλουθον.

275. Θεῶν ὀλοὰς ἀφὶ βουλάς.] Τὸ ἐξῆς, ἄλγεα πάσχων θεῶν ὀλοὰς ἀφὶ βουλὰς, Καδμείων ἤνασσεν· ἤγουν, θεῶν ὀλοὰς ἀφὶ βουλὰς ἤνασεν.

276. Πυλάρταο.] Τῆς πύλας ἰσχυρῶς ἐπιστῶντος καὶ συγκλείοντος.

277. Ἀψαμένη.] Ἐκδήσασα, ἀνάψασα. Αἰπύν.] Ὑψηλὸν, ὡσεὶ τὴν γῆν ἀφεψηκότα. Μελάθρου.] Νῦν, δοκοῦ.

278. Ὠϊ ἄχεϊ χομένη.] Νικηθεῖσα ὑπὸ τῆς ἰδίας λύπης. Σχεμένη.] Καθεχεθεῖσα.

280. Καὶ Χλῶριν εἶδον περικαλλέα, τὴν ποτε Νηλεὺς γῆμεν ἐὸν ἀφὶ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα, Ὁπλοτάτην κούρην Ἀμφίονος.] Νηλεὺς, ὁ Ποσειδῶνος καὶ Τυρῶς παῖς, ἐξελαθεὶς ὑπὸ Πελίου, ἦλθε καὶ ἀδελφοῦ, τοῦ Ἰωλκοῦ, ἀφίκετο εἰς Μεσσήνην τὴν Πελοποννήσου· καὶ λαβὼν παρὰ ἐγχωρίων, τὴν Πύλον κτίζει· καὶ γαμεῖ Χλῶριν, τὴν Ἀμφίονος, καὶ Ἰασίου καὶ Περσεφόνης, τῆς Μίνω * θυγατέρος· βασιλεύει τε ὐ μόνον τῆς Πύλου, ἀλλὰ καὶ τῆς τῶν Ὀρχομενῶν, καὶ γίνεται εὐδαιμονιῶν. ἡ ἱστορία παρὰ Φερεκύδῃ.

282. Ὁπλοτάτην.] Νεωτάτην. Ἀμφίονος Ἰασίδαο.] Ἔπος ἔστιν ὁ Ἀμφίων· Ἀργεῖος, ὁ Διός.

283. Ὀρχομενῷ.] Ὀρχομενὸς, πόλις Βοιωτίας.

N O T Æ.

281. Γῆμεν ἐὸν ἀφὶ κάλλος.) Omninò ἀφὶ legendum, non μὴ, & ità *Dionys. Halicarn.* Edit. *Hudson.* apertè legit ἀφί. Ita *Br. Schol. Aldin.* Sic *Il.* α'. v. 72. Ἦν ἀφὶ μενεσύνῃσι. Et Hymn. *Vener.* v. 204. Ἥρπασ' ἐὸν ἀφὶ κάλλος. Alii σίζουσιν ad γῆμεν, & legunt ἐὸν μὴ κάλλος ἐπεὶ πόρε μυρία ἕδνα, ut *Florentina, Aldina, Lovaniana, Hervagiana*, quod minùs ferendum. At *Eustath.* fol. 436. lin. 31. Περικαλλὲς ἡ τὴν Χλῶριν λέγει, ἐπεὶ ἐ ἀφὶ κάλλος αὐτὴν ὁ Νηλεὺς ἔγημεν. Idem tamen fol. 435. lin. 19. Καὶ ἔγημε Χλῶριν μὴ κάλλος, τινὲς ἀφὶ κάλλος, quare omninò μὴ inter *Varias Lectiones* reponenda.

NOTÆ IN SCHOLIA.

274. * Ὑπομενούσης) Ità, pro *Corrupto* ὑπομείνας quem errorem errat & *Aloysii* MS.

280. * Θυγατέρος) Ità, pro θυγατέρα.

Variæ Lectiones.

278. Ἄχεϊ χομένη) γρ. ἄχεϊ ἰχομένη.

279. Ἐκτελέσουσι) γρ. ἐκτελέσωσι.

281. Διὰ) γρ. μὴ, vid. Not. in *Textum*.

285 Νέστορά τε, Χρομίον τε, Περικλύμενόν τ' ἀγέρωχον.
Τοῖσι δ' ἔπ' ἰφθίμῳ Πηρὼ τέκε, θαῦμα βροτοῖσι,
Τὴν πάντες μνώοντο περικλυτοί· ἐδὲ π Νηλεὺς
Τῷ ἐδίδυ, ὃς μὴ ἕλικας βόας εὐρυμετώπους
Ἐκ Φυλάκης ἐλάσῃσι βίης Ἰφικληείης

Nestoremque Chromiumque, Periclymenumque superbum.
Et super his eximiam Pero peperit miraculum hominibus;
Quam omnes ambiebant accolæ: neque dum Neleus
Ulli dabat, qui non boves latis-frontibus
Ex Phylace abegerit violentiæ Iphicleæ

Σ Χ Ο Λ Ι Α.

285. Νέστορά π, Χρομίον π.] Πῶς ἂν ὁ Ἰλιαδι, Δαΐδικα γὰρ Νηλῆος ἀμύμονος ἴμεν ἤμβι; ἐξ ἄκων ὁ ἄκων· ὁ δὲ Χλωρίδος ἦν πρεῖς· ἢ νῦν καὶ ἐξοχὴν τῶν πρεῖων ἀρωνύθη· Χρομίῳ μὲν, ὡς πρεσβυζότῳ· Περικλυμένῳ δὲ, ὡς ἀνδρειοζάτῳ· Νέστορα δὲ, ὡς σωφρονέστατον· Περικλύμενόν τ' ἀγέρωχον.] Ἡσίοδος * τὸν Περικλύμενον διηγεῖται δῶρον εἰληφέναι παρὰ Ποσειδῶνος, ὅστε ἀμείβειν ἑαυτὸν εἰς οἷα ζῷα, ἢ ἄνδρα, ἢ θῆλυν εἰκόνα. Ἀγέρωχον.] Νῦν, τὸ ἄγαν ῥᾳδίως μεζαφερόμενόν π καὶ μεζαχόμενον εἰς ὃν ἂν βάλοιτο.

286. Τοῖσι δ' ἔπ' ἰφθίμῳ Πηρὼ τέκε θαῦμα βροτοῖσι,
Τὴν πάντες μνώοντο περικλυτοί· ἐδὲ π Νηλεὺς
Τῷ ἐδίδυ, ὃς μὴ ἕλικας βοῦς εὐρυμετώπους
Ἐκ Φυλάκης ἐλάσῃσι βίης Ἰφικληείης.]

Νηλεὺς, ὁ Ποσειδῶνος, ἔχων θυγατέρα. Πηρὼ τίνομα, καλὴν εὐαρεστάτην, ἀδελφὴ παύτῳ ἐξεσίδε πρὸς γάμον, οἱ μὴ πρότερον ἐκ Φυλάκης τὰς τ' μητρὸς Τυρῦς ἐλάσῃσι τὰς βοῦς παρ' Ἰφίκλῳ· πάντων δ' ἀπερυμένων, βίας, ὁ Ταλαϊ, μόνῳ ὑπῆκτο δρᾶσαι τοῦτο, καὶ πείθῃ τ' ἀδελφὸν Μελάμποδα ῥᾴξαι τὸ ἄργον· ὁ δὲ καὶ ὡς εἰδὼς, ἅτε δὴ μάντις, ὅτι ἁλώσεται, οἰκεῖον, εἰς τὸν * Ὄθρυν ἀφικνεῖται ἐπὶ τὰς βοῦς· οἱ δὲ Φύλακες ἐπαῦλαι καὶ οἱ βυκόλοι κλέπτοντα αὐτὸν λαμβάνουσι καὶ παραδιδόασιν Ἰφίκλῳ· καὶ δηθεὶς, ἐφυλάσσετο, παρεζευγμένων αὐτῷ θεραπόντων δύο, ἀνδρὸς καὶ γυναικός· καὶ ὁ μὲν ἀνὴρ αὐτὸν ἐπιφερῶς ἐθεράπευεν, ἡ δὲ γυνὴ φαυλότερον. ἐπεὶ δὲ ὁ οἰκέτης ὀλίγον πρὸς τὸ πλεωθῆναι * θᾶσσον, Μελάμπους ἀκούσας ὑπερθρῆναι πᾶσι σκωλήκων ἁλισγομένων, ὅτι κατεδεδρώκεισαν τὰ δόκανα· καὶ τοῦτο ἀκούσας κελεύει τοὺς ἁλιεῖς, καὶ κελεύῃ, αὐτὸν σκάφεσιν τὰ κλίνης, λαμβανόμενον τῶν μὲν γυναῖκα πρὸς ποδῶν, τὰ δὲ ἄνδρα πρὸς κεφαλῆς· οἱ δὲ αὐτὸν ἀναλαβόντες σκάφεσιν· ὁ πατὴρ δὲ καὶ ἡ δοκὸς κατακλᾶται καὶ ἐπιπίπτῃ τῇ γυναικὶ καὶ κλείνῃ αὐτῷ· ὁ δὲ ἀνὴρ ἐξαγγέλῃ τῷ Φυλάκῃ, ὁ δὲ Φύλακος Ἰφίκλῳ, τὰ γεγόμενα. οἱ δὲ ἐλθόντες παρὰ τὸ Μελάμποδα, ἐρωτῶσιν αὐτὸν, τίς ἐστι; ὁ δὲ ἔφη μάντις εἶναι. οἱ δὲ αὖτε τὰς βοῦς ὑπισχνοῦνται δώσειν, ἐὰν μηχανήσηται ὅπως εὔπαις παίδων γένηται Ἰφίκλῳ, ἐπισεύει παῦτα. ὁ δὲ Μελάμπους βοῦν ἱερεύσας τῷ Διὶ, ἀμφιεῖ μηρία πᾶσι τοῖς ὄρνισιν· οἱ δὲ ἦλθον πάντες, πλὴν ἑνὸς αἰγυπιοῦ. ὁ δὲ Μελάμπους ἐρωτᾷ πάντας τοὺς ὄρνιθας, εἴης οἶδε μηχανᾶσθαι, πῶς ἂν Ἰφίκλῳ γένοιντο παῖδες· ἀπρεπὴς δὲ ἐφαίνοιτο, καὶ ζητεῖ τὸ αἰγυπιόν. ἔπης δὲ τὴν αἰτίαν τῆς ἀπαιδίας ἀπορᾶς εὐθὺς εὕρεν. διώκει γὰρ τὸν Φύλακα μετὰ μαχαίρας τὸν Ἰφίκλον ἐπὶ νεογνοῖς οὖσι, ἀφ' οὗ τὸν ἰδίων αὐτὸν ἀπεκτόνη τε ποιῆσαι, ἐπεὶ τὸν Φύλακα μὴ καταλαμβάνοντα, πῆξαι τὴν μάχαιραν εἰς πνα ἄχερδον, καὶ θεραπεῦσαι αὐτὴν τὸν φλοιόν· τὸν δὲ Ἰφίκλον ἀφ' οὗ δὴ μηκέτι παῖδας ποιῆσαι. σκέλλεσθαι δὲ ὁ αἰγυπιὸς τὴν μάχαιραν τὴν ἐν τῷ ἀχέρδῳ κομίζοντα, καὶ ἀποσπάσαντα τὸν ἰὸν ἀλύειν ἀπ' αὐτῆς πολὺν ἐν οἴνῳ ἡμέρας Ἰφίκλῳ, χρῆσαι δὲ αὐτὸν παῖδας ἐκ τούτου. ποιήσας δὲ ὁ Ἰφικλῆς τοῦτο, τὴν γοητὴν ἀναιρήσαντα, καὶ ἰσχὺ Ποδάρκην παῖδα· καὶ δόντα τὰς βοῦς τῷ Μελάμποδι· * ἃς λαβὼν εἰς Πύλον, δίδωσι Νηλεῖ τὰ ἔδνα τῆς Περῦς, καὶ λαμβάνει αὐτὴν τῷ ἀδελφῷ Βίαντι πρὸς γάμον, ἐξ αὐτῆς γόνον παῖδες, Περάλεως καὶ Ἄρηϊ, καὶ Ἀλφεσίβοια. ὁ δὲ ἱστορία παρὰ Φερεκύδῃ τε τῇ ἐδείμῃ.

287. Μνώοντο.] Ἐμνηστεύοντο. Περικλύτη.] Οἱ εὐγενικοῦντες.

288. Εὐρυμετώπους.] Πλατυμετώπους.

289. Ἐκ Φυλάκης ἐλάσῃσι.] Τυρὼ ἦλθε παρὰ Δηϊονέα τὸν ἑῶν· ὁ δὲ κρίζαν αὐτῷ, εἰς Θεσσαλίαν δίδωσι Κρηθεῖ τῷ ἀδελφῷ, ἐξ οὗ Ποσειδῶνος ἐγκηδεῖαι Νηλέα καὶ Πελίαν. ὁ τοίνυν Νηλεὺς Ἰφίκλου τὰ Φυλάκας * Δηϊονίους, ἀπαιτεῖ τὰ τ' μητρὸς, καὶ ἐς οἷα ἀπιδίδωσι· Μελάμπους δὲ, ὁ Ἀμυθάονος, ὑπὸ δεκαέτους τὰ ὅτε κεκαθαρῆσθαι, ὡς καὶ τὰ ἀλόγων ὑπακούειν ζώων, τοὺς Ἰφίκλου βοῦς * ἀπελαύνειν ἐπειρᾶτο, ὑπὲρ δὲ γῆμαι Πηρὼ, τὴν

N O T Æ.

286. Πηρὼ) *Propertius* hujus Fabulam narrat.

NOTÆ IN SCHOLIA.

285. Ἡσίοδος * τὸν Περικλύμενον) *Hesiodi* locum profert Scholiastes *Apollonii*, ad Argonautic. l. 1. v. 156. ——Περικλύμενόν τ' ἀγέρωχον, Ὄλβιον· ὃ πρὸς δῶρα Ποσειδάωνι σιοσίχθονι Παντὶ· ἄλλοτε μὲν γὰρ σὺ ὀρίησι φάσκεσκεν Ἀιτὸς· ἄλλοτε δ' αὖτε πελείῃσιν, θαῦμα ἰδέσθαι, Μύρμηξ· ἄλλοτε δ' αὖτε μελισσάων ἀγλαὸν φῦλον· Ἄλλοτε δινὸς ὄφις· τὸ μὲν ἐξ ἀρχῆς Ποσειδάων ἔδωκε Περικλυμένῳ, οὐκ ὀνομαστὶ· τὸ μὲν ἐξ ἀρχῆς Δόλωσι, Βυλῇ Ἀθηναίης. Vid. ad *Iliad.* λ'. v. 691.

286. Τοῖσι δ' ἔπ' ἰφθίμῳ) Hoc *Scholion*, olim malè positum, in hunc suum locum reduxi; pro τὸν ὄφρυν, vel ὀφρὺν, lego τὸν * Ὄθρυν, nam Mons Othrys Latinis *Masculus*; *Græcis*, ἡ Ὄθρυς, ut *Hesiodo* & *Nicandro*. * Περιήει, pro περῆει, lego. Vid. ad v. 289.

289. Ἐκ Φυλάκης ἐλάσῃσιν) Hoc *Scholion* illustratur ab *Apollodoro*, Biblioth. l. 1. c. 9. §. 12. & ab *Eustathio*, fol. 435. lin. 31. Partem posteriorem hujus *Scholii*, disjungo & ad v. 286. pono; pro * ἃς

VARIÆ LECTIONES.

285. Χρέμιόν τε) γρ. Χρομίον τε.

287. Οὐδέ π) γρ. οὐδ' ἔτι.

Ἀρ;α-

290 Ἀργαλέας· τάσθ' οἷος ὑπέσχελο μάντις ἀμύμων
Ἐξελάαν· χαλεπὴ δ' ἦεν θεῶν κτεάτεσσι,
Δεσμοί τ' ἀργαλέοι, καὶ βουκόλοι ἀγριῶνται.
Ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο,
Ἀψ περιτελλομένου ἔτεος, καὶ ἐπήλυθον ὧραι,
295 Καὶ τότε δή μιν ἔλυσε βίη Ἰφικληείη,
Θέσφατα πάντ' εἰποῦσα· Διὸς δ' ἐτελείετο βουλή.
Καὶ Λήδην εἶδον, τὴν Τυνδάρεω παράκοιτιν,
Ἥ ῥ' ὑπὸ Τυνδαρέῳ κρατερόφρονα γείνατο παῖδε,
Κάστορά θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα·
300 Τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος αἶα·
Οἵ καὶ νέρθεν γῆς τιμὴν περὶ Ζηνὸς ἔχοντες,
Ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε

Indomitas; has solus promisit vates inculpatus
Abacturum; sævum verò dei fatum impedivit,
Vinculaque difficilia, & bubulci rustici.
Sed quando jam menses & dies perficiebantur,
Rursus circumvoluto anno, & advenerunt horæ,
Tum certè ipsum solvit vis Iphiclea,
Vaticinia omnia loquutum: Jovisque perficiebatur consilium.
Et Ledam vidi, Tyndarei uxorem,
Quæ ex Tyndareo magnanimos peperit filios,
Castoremque equorum-domitorem, & pugnis valentem Pollucem.
Hos ambos viventes detinet fertilis terra;
Qui etiam infra terram, honorem ab Jove habentes,
Interdum quidem vivunt alternis diebus, interdum rursus

ΣΧΟΛΙΑ.

Νηλέως, Βιάσω. τὸ ἀδελφὸν αὐτῦ συναφθεὶς ὃ δὲ εἰς ἁρκτὼ ἐμβληθείς, καζικύσας τὸ ἀφελεχθὲν σκωλήκων, ὀλίγον ὕπ ἀπέχεσθαι τ δικου, ἐκέλευσεν ἐκκομισθῆναι. ὃ δ οἰκήσαι κρατησχθείς, φησὶν ὁ Ἰφικλῆς, ὑπισχνεῖται τῷ Μελάμποδι τὰς βοῦς, εἶτα τ ἀπειλὴν αὐτὸν ἀφ τ τέχνης παύσειν· ὁ δ Μελάμπους παρ' αἰγυπιοῦ μαθὼν τὴν αἰτίαν, δ ἀναζητήσας ἐκείνῳ τὴν μάχαιραν ἀχρὰν φλοιῷ κεκαλυμμένην, ἣν ἐπήνεγκε Φύλακι τῷ Ἰφίκλῳ ἐπὶ τ ἀγρῶν ἐπιμονὴν τὰ τετράποδα, θύσας τὰ ἱερεῖα, μηνίσειν ὑπὲρ τ τ τετραπόδων εὐτυχίας, τ Ἰφίκλεον ἀπιφήσαθ πατέρα Πρωτεσιλάου καὶ Ποδάρκου. Φυλάκης.] Πόλεως Θεσσαλίας. Ἐλάσειν.] Ἀπελάσειν. Βίης Ἰφικληείης.] Περιφραστικῶς, δ Ἰφίκλου.

290. Ἀργαλέας.] Χαλεπὰς, δυσκόλους· ἀπὸ δ φερέτχοντος ὃ καὶ ἴσχυν περσημαίνων, αὐτὸ τὸ φερεχόμενον ἐπωνόμασεν. Ἀργαλέαι γὰρ, οὐκ αὐταὶ αἱ βόες, ἀλλ' αἱ περὶ αὐτὰς πραγματεῖαι καὶ ἀσυδαί.

291. Ἐξελάαν.] Ἀπελαύνειν· Χαλεπή.] Δύσκολος, κακή.

292. Ἀγριῶνται.] Ἄγριοι γίνονται.

293. Ἐξετελεῦντο.] Ἐπλεροῦντο.

294. Ἀψ περιτελλομένου ἔτους.] Εἰς τὸ πρῶτον δ ἔτος περιέρχονται.

296. Διὸς δ' ἐτελείετο βουλή.] Τὸ προκείμενον ἐλάμβανε τέλος.

297. Καὶ Λήδην εἶδον, τὴν Τυνδαρέῳ παράκοιτιν.] Ζηνὸς Λήδας ἐραθείσης, τ Θεσσαλῶν βασιλέως, εἰς κύκνον ἑαυτὸν μετέβαλεν, καὶ ἀφικομένῳ αὐτῇ. μ χρόνου ὃ ἀετὸς διώκων, καὶ τὴν ἀετὸν ἁρπάσας, ἦλθε πρὸς τὸν Τυνδάρεων. ἡ δ ἱστορία παρὰ τοῖς νεωτέροις.

299. Κάστορά θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.] Τύπτων, ὁ μὲν Πολυδεύκης λέγεται δ θεὸς ἀπὸ μητρὸς γεγονὼς, ὁ δ Κάστωρ, ἀπὸ Τυνδάρεω.

300. Φυσίζοος.] Πρὸς τὸ ζῆν φύουσα· Τοὺς ἄμφω ζωούς.] Ἀναιρεῖται Κάστορ ὑπὸ Μελεάγρου, ἢ Πολυτίκους, Πολυδεύκης ἀφαιρεῖ ὢν, διὰ τὸ ἐκ Διὸς γεγονέναι, παρεκάλεσε τ πατέρα, ὅπως ἀπατρέψῃ αὐτῷ τιμίους πρὸς τ ἀδελφὸν τὸν ἀφαρέως, ὥστε παρ' ἡμέραν ἀμφοτέρους, ὅτι μὲ ἐν Ὀλύμπῳ ἀφικέσθαι, ὅτι δ ἐν Ἀΐδου.

302. Ἑτερήμεροι.] Παρ' ἡμέραν ἀμφότεροι, ἢ μίαν παρὰ μίαν ἡμέραν ζῶντες.

NOTÆ.

297. Τυνδάρεω) Ità *Plutarchus*, in Vitâ *Homeri*, *Br. Schol.* &c. verùm ob Τυνδάρεῳ sequens, mutabatur à Sciolis; Τυνδαρέῳ tamen ad *Var. Lect.* invenies. Est autem κοινῶς, Τύνδαρος· Ἀττικῶς, Τυνδάρεως· ὁδαμῶς, Τυνδάρεος. Ità Πάνδαρος, Πανδάρεως, τ' v. 518. & υ'. v. 66.

300. Τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος) Ità *Iliad.* γ'. v. 243. Ὡς φάτο· τοὺς δ' ἤδη κατέχει φυσίζοος αἶα, in quem locum, vid. *Br. Scholia*, & *Eustathium*, ut etiam in hunc locum, fol. 438. lin. 12, &c.

NOTÆ IN SCHOLIA.

λαμβάνει αὐτῷ, lego & suppleo ex *Aloysii* MS. * ἀς λαβὼν εἰς Πύλον, &c.

300. * Μελεάγρου) Quod narrant hìc *Brevia Scholia*, de *Castore* à *Meleagro*, aut *Polynice*, occiso, novum omninò mihi videtur, nec omninò, quod scio, ab ullo alio dictum. Vid. *Br. Schol.* ad *Iliad.* γ'. v. 243. *Pindarum*, ad Olympionicam, §. x. v. 112. *Theocriti* Διοσκούρους, *Apollodori* l. 3. c. xi. *Hygin.* §. lxxx.

VARIÆ LECTIONES.

291. Μοῖρα πέδησε) γρ. μοῖρ' ἐπέδησε.

297. Τυνδάρεω) γρ. Τυνδαρέῳ, vid. Not. in *Textum*.

Τεθνᾶσιν, πιλνὼ ϗ λελόγχασ', ἴσα θεοῖσι.
Τλῶδε μέτ', Ἰφιμέδειαν, Ἀλωῆος ἄλοχοιην,
Εἰσιδον, ἣ δὴ φάσκε Ποσειδάωνι μιγῆναι·
Καί ῥ' ἔτεκεν δύο παῖδε, μινυνθαδίω ϗ γενέσθην,
Ὦτόν τ' ἀντίθεον, τηλεκλυτόν τ' Ἐφιάλτην.
Οὓς δὴ μηκίστους θρέψε ζείδωρος Ἄρουρα,
Καὶ πολὺ καλλίστους, μετὰ γε κλυτὸν Ὠρίωνα·
Ἐννέωροι γὰρ τοί γε, ϗ εἰνεαπήχεες ἦσαν
Εὖρος, ἀτὰρ μῆκός γε γενέσθην εἰνέργυοι.
Οἵ ῥα ϗ ἀθανάτοισιν ἀπειλήτην, ἐν Ὀλύμπῳ
Φυλόπιδα στῆσαι πολυάικος πολέμοιο·
Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' ἐρατὸς ἀμβατὸς εἴη.
Καί νύ κεν ἐξετέλεσσαν, εἰ ἥβης μέτρον ἵκοντο·

Moriuntur, honorémque sortiti sunt, æqualiter diis.
Post hanc, Iphimedéam, Aloëi uxorem,
Aspexi, quæ sanè dicebat Neptuno commixtam fuisse:
Et peperit duos filios, brevis autem vitæ fuerunt,
Otumque Deo-parem, inclytumque Ephialtem.
Quos utique longissimos enutrivit alma Terra,
Et longè pulcherrimos, post inclytum Orionа:
Novennes enim cùm essent, novem etiam cubitorum erant
Latitudine, cæterùm longitudo erat novem ulnarum.
Qui sanè immortalibus minabantur, in Olympo
Moturos certamen tumultuosi belli:
Ossam super Olympum conati sunt imponere, cæterum Ossæ
Pelium frondosum; ut cælum pervium esset.
Et fortassis perfecissent, si ad pubertatis mensuram venissent:

ΣΧΟΛΙΑ.

303. Τεθνᾶσι.] Τελευτῶσι. Λελόγχασιν.] Ἔχουσι, κεκλήρωνται.

304. * Ἰφιμέδειαν.] Τὴν δὲ Τελοπόν.

306. Μινυνθάδιοι.] Ὀλιγοχρόνιοι.

308. Οὓς δὴ μηκίστους.] Τί ἐν ὁ Τιτυὸς ἐπ' εὐτέλειᾳ κεῖτο πίλησαι; γηθεῖν σκεῖον· τέτταρες ϗ αὐτεξουσίᾳ ἀνθρώποις.

310. Ἐννέωροι.] Ἐνναετεῖς.

311. Εὖρος.] Πλάτος. Ἀτὰρ μῆκός τε γένεσθην εἰνέργυοι.] Δαιμόνιον ἡ ἀκεράσια· ἀναλόγων γὰρ σώματι, ἡ τὸ πλάτος, * τέλειον ἐπὶ δὲ μῆκος. Ἐννέργυοι.] Ἐννέα ὀργυιῶν. Ὀργυιὰ δέ ἐστι, ἡ τὰ χεῖρε ἐκτάσεις.

NOTÆ.

303. Τεθνᾶσιν· πιλνὼ ϗ λελόγχασ' ἴσα θεοῖσι) *Eustath.* fol. 483. lin. 25. Σημείωσαι ϗ, ὅτι τὸ λελόγχασι συντελεῖ τῷ πιλνάμενοι, πυρρὸν τὸν κοινῶν μὲ παραπέμψιν, ἡ μακρὸν παρέλκουσα οἷόν τὰ ἔστιν ἐστὶν παρακειμένων τέλειον πλέον πλῶ ἄλλως, ἀναλόγως τῇ στε αὐτὸ ὅλη κλίσει δὲ λέλογχα· εἰ δὲ ἴσως εὐρεθείη πε καὶ ἐκθλίψιν τ' λήγουσα γραφόμενον, πρὸν ϗ λελόγχασι ἴσα θεοῖσι, τότε ϗ κὴ αὐτὸ ἀκπεφυκόν ἴσως, καὶ τὸ πτύφασι, ϗ πεποίηκασι, ἐπὶ τὰ ὅμοια.

NOTÆ IN SCHOLIA.

304. * Ἰφιμέδειαν) Τὴν δὲ Τελοπόν, ex *Apollodori* Bibliothec. l. 1. c. 7. §. 4.

311. Δαιμόνιον ἀκεράσια) *Eustath.* fol. 439. lin. 32. Ἐπαινοῦσιν οἱ Παλαιοὶ τὸ δαιμόνιον τ' εὐ συμμετρίᾳ συμφυΐκῇ ἀκεραίας· ἀναλόγων γάρ, φασι, σώμασι· ἐὰν τὸ πλάτος, τρίτον δὲ μῆκος· ὡς ἐπὶ τοῦτο, ἐκάστης ὀργυιᾶς ἀνὰ τριῶν πηχῶν οὔσης, τὸ εἰπεῖν εὖ, τρίτον ἐστὶ δὲ εἰνέοργυιον μῆκος. Hinc Corrigo *Br. Schol.* & lego * τρίτον, pro πίπρον.

VARIÆ LECTIONES.

303. Λελόγχασ') γρ. λελόγχασιν, vid. Not. in Textum.

309. Μετὰ γε κλυτὸν) γρ. μετ' ἀγακλυτὸν, *H. Steph.*

311. Μῆκός γε) γρ. μῆκός τε, *Br. Schol.* at γε, *Ald.*

312. Ἀπειλήτην) γρ. ἀπειλείτην, *Eustath.* fol. 439. lin. 35.

Ἀλλ'

Ἀλλ' ὄλεσεν Διὸς υἱός, ὃν ἠύκομος τέκε Λητὼ,
Ἀμφοτέρω· πρὶν σφῶϊν ὑπὸ κροτάφοισιν ἰάλυς
Ἀνθῆσαι, πυκάσαι τε γένυν θαλερῇ λάχνῃ.
Φαίδρην τε, Πρόκριν τε ἴδον, καλήν τ' Ἀριάδνην,

Sed perdidit Jovis filius, quem pulchricoma peperit Latona,
Ambos: antequam ipsis sub temporibus lanugo
Floreret, ornaretque genam florenti barbâ.
Phædramque, Procrimque vidi, pulchramque Ariadnam,

ΣΧΟΛΙΑ.

317. Ἀλλ' ὄλεσεν Διὸς υἱός.] Οἱ νεώτεροι φασὶ, τὸν Ἄρτεμιν ἔλαφον ἑκάστῃ δι' αὐτῶν, τὰς ϗ * εἰς τὸν ἔλαφον ἀφίξας, ἀκόλους ἀφανίσαι.

318. Ἰάλυς.] Τὰς καθ' ἥβην γενείων τρίχας, ἰάλυς λέγει· ἀφ' ὧν τὰς ἤδη πώγωνας ἔχοντας ἀρχὴν ἔσχε τὸ ὅλον, ὅθεν τὸ τέλειον λέγει.

319. Πυκάσαι.] Καλύψαι. Εὐριπίδης.] Εὐφυεῖ· Λάχνῃ] Τριχί.

320. Φαίδρην τε.] Φαίδρα, Μίνωος θυγάτηρ, γυνὴ Θησέως. Θησεὺς, ὁ Αἰγέως, ἔχων παῖδα Ἱππόλυτον ἐξ Ἀμαζόνος Ἀντιόπης, ἔγημε Φαίδρην, τὴν Μίνωος θυγατέρα, ϗ τὴν Κρητῶν βασιλέως· εὐλαβέμενος ϗ μητρυιᾶς ἐπιβουλὴν, πέμπει ἐξ Ἀθηνῶν τὸν υἱὸν Ἱππόλυτον, Τροιζῆνα οἰκεῖν· ἦν γὰρ αὐτῷ ἀφὰ τῆς Πιτθέως * Αἴθρας μητρυιὰ τῆς δεχῆ δίκης. Φαίδρα ϗ, ἐραστευθεῖσα ϗ Ἱππολύτου, σφοδρῶς ἐπ' αὐτῷ τηκομένη, τὸ μὲν πρῶτον ἱερὸν Ἀφροδίτης ἐν Ἀθήναις ἱδρύσατο, τὸ τοῦ Ἱππολύτου καλούμενον· εἰς Τροιζῆνα ϗ ὕστερον παρεγενομένη, διενοεῖτο πείθειν τὸν νεανίσκον, ὅπως αὐτῇ μιγείη· χαλεπῶς δ' ὑπείκων ἀποδεξαμένου τὸν λόγον, λέγεται * φοβηθεῖσαν αὐτὸν αἰτησάμενον τὴν αἰτίαν, καὶ ἀπὸς Θησέα ἀφανίσαι, ὡς Ἱππολύτου πειρῶντος αὐτὸν. ὁ ϗ τελευτῶν, ὡς φασὶ, αὐτῷ παρὰ ϗ Ποσειδῶνος εὐχὴν εἶναι ἀμοιλόγησεν, ὅ, τι ἂν εὐξηται συντελεσθῆναι, πεισθεὶς τῇ Φαίδρᾳ, μίαν τάπιν χρήσεσθαι. τὰ δὲ παιδὸς ὀλέθρου. ἐκεῖνον μὲν ὁμολογοῦσι τὸν ἅρμα χαλινάζοντα, παραφερεῖσης ἐξαίφνης ἀπὸ τῆς θαλάσσης ταύρου, καὶ παρέχοντα τὸν ἵππον, ἐλκόμενον ἀποθανεῖν. τὴν Φαίδραν ϗ φανερᾶς γενομένης τὰ ἀμαθόλης, ἀπάγξασθαι ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ. Πρόκριν τε ἴδον.] Πρόκρις, Ἐρεχθέως θυγάτηρ, Κέφαλον τὸν ἑαυτῆς ἄνδρα συνεχῶς ἐπὶ θήρας ἐξιόντα ἐτήρει λαθραίως, ἀφ' ζηλοτυπίας· ὁ ϗ Κέφαλος νομίσας εἶναι θηρίον ἀπὸ ϗ τῆς ὕλης κλύσας, ἔλαθεν αὐτὴν Πρόκριν κατακοντίσας. Πρόκριν τὸ.] Κέφαλος, ὁ Δηϊονέως, γήμας Πρόκριν, τὴν Ἐρεχθέως, ἐν τῇ Θορικίων κατοικίᾳ. ἦλθεν ϗ τὸ γυναικὸς ἐπιθυμήσας, λάθρα εἰς ἀπόκρημνον * ἀπίσω ἐπὶ τὸν ὀκτὼ. καθαλιτὸν αὐτὸν * ἐπ νύμφων ὕσων· ἔτειδε κεκακωσμένος, ϗ ἀκοσθὴ ἑαυτὸν πτήσας, ἦρχε εἰς τὴν οἰκίαν, ἔχων κόσμον· ϗ πείσας τὴν Πρόκριν δῖξαι τῶν, νὺν συμμιγῆναι αὐτῷ· ἡ ϗ Πρόκρις ἐπφθαλμίσασα τὸν κόσμον, καὶ τὸν Κέφαλον ὁρῶσα κάφτα καλὸν, συνοικῆσαι αὐτῷ· ἐκφήνας ϗ ἑαυτὸν ὁ Κέφαλος, αἰτᾶται τὴν Πρόκριν· ἡ μὴν ἀλλὰ καθαλλαγὴς ἐξέρχεται ἐπὶ θήραν· πυκνῶς δὲ αὐτὸν τῶν δρυῶν, ὑποπλάσσεται ἡ Πρόκρις, ὅτι μίσγεσθαι γυναικὶ ἑτέρᾳ· ἀποσκαλισαμένου ϗ τὸ εἰκότην ἔλεγεν, εἰ συνοίδειν· ὁ ϗ θεράπων ἴφη, τὸ Κέφαλον ἰδεῖν ἐπί τινος ὕλης κορυφὴν, ϗ λέγει συχνῶς. ὦ Νεφέλη, πυκάζῃ ϗ τῶτο μόνον σωνειδίνᾳ. ἡ δὲ Πρόκρις ἀκούσασα, ἔρχεται εἰς τὴν κορυφὴν, κἀκ καθαρύσεσθαι. κἀν τὸ αὐτὸ λέγει ὁ αὐτοῦ πύθεσθαι, ἀποτρέχει ἀπὸς αὐτόν. ὁ δὲ Κέφαλος ἰδὼν αὐτὴν ὑφιείσας, ἔξω ἑαυτοῦ γίνεται ϗ ἀσπὼ ἔξει, βάλλει μὴ χεῖρα ἀκοντίῳ τὴν Πρόκριν, ϗ κτείνει. μιαιφονήσαντα δὲ τὸν Ἐρεχθέα, μάντις πολυπλὰς αὐτὸν. ἡ ϗ ἱστορία περὶ Φερεκύδην ἐν τῇ * ἑβδόμῃ. Καλήν τ' Ἀριάδνην.] Ἀριάδνη, Μίνωος θυγάτηρ, γυνὴ Θησέως· ἐξ ἧς Δημοφῶν, ϗ Ἀκάμας. Θησεὺς δὲ. ὁ Αἰγέως, λυχνὸν μὲν τὸν ἡθέων, εἰς Κρήτην πλεῖ, τῷ Μινωτάυρῳ παραπεμψόμενος ἀπὸς αἴσεσιν ἀφικόμενος δὲ αὐτοῦ, ἐρασθεὶς * ἀπὸς αὐτὸν ἀφανίζεται ἡ ϗ Μίνως θυγάτηρ, Ἀριάδνη, δίδωσιν ἀγαπόδοτα μίτον, λαβοῦσα παρὰ Δαιδάλου

NOTÆ.

τόσδε λέγει, τὸ, Εἰ ἐτεθνᾶκει ὁ δῖος, πέρυσας ἦλθεν· ἀλλὰ μὲν οὐκ ἦλθε πέρυσας, ἀεὶ ἄρα ἐπιθάνη. Ὅμοιον γὰρ καὶπὶ τὰ τὸ, Ἐξετέλεσεν ἂν, εἰ ὡς ἤδης μέτρον ἦν· ἀλλὰ μὴν ἃ δύνατον, τὰς θεραπαινίδας ἠρώτησεν· ἐξ ἄρα δύνατον συμπλῆσαι αὐτὰς, ὁ ἦθλον. Et mox, fol. 295. lin. 13. Λίνεσθαι δὲ. ἡ ὅπ ἐξανολίσθησεν ἰξιόντα ἐτήρει λαθραίως, ἀφ' ζηλοτυπίας· ὁ ϗ Κέφαλος νομίσας εἶναι θηρίον ἀπὸ ϗ τῆς ὕλης κλύσας, ἔλαθεν αὐτὴν Πρόκριν κατακοντίσας. Πρόκριν τί.] Κέφαλος, ὁ Δηϊονέως, γήμας Πρόκριν, τὴν Ἐρεχθέως, ἐν τῇ Θορικίων κατοικίᾳ. ἦλθεν ϗ τὸ γυναικὸς ἐπιθυμήσας, λάθρα εἰς ἀπόκρημνον * ἀπίσω ἐπὶ τὸν ὀκτὼ. καθαλιτὸν αὐτὸν * ἐπ νύμφων ὕσων· ἔτειδε κεκακωσμένος, ϗ ἀκοσθὴ ἑαυτὸν πτήσας, ἦρχε εἰς τὴν οἰκίαν, ἔχων κόσμον· ϗ πείσας τὴν Πρόκριν δῖξαι τῶν, νὺν συμμιγῆναι αὐτῷ· ἡ ϗ Πρόκρις ἐπφθαλμίσασα τὸν κόσμον, καὶ τὸν Κέφαλον ὁρῶσα κάφτα καλὸν, συνοικῆσαι αὐτῷ· ἐκφήνας ϗ ἑαυτὸν ὁ Κέφαλος, αἰτᾶται τὴν Πρόκριν· ἡ μὴν ἀλλὰ καθαλλαγὴς ἐξέρχεται ἐπὶ θήραν· πυκνῶς δὲ αὐτὸν τῶν δρυῶν, ὑποπλάσσεται ἡ Πρόκρις, ὅτι μίσγεσθαι γυναικὶ ἑτέρᾳ· ἀποσκαλισαμένου ϗ τὸ εἰκότην ἔλεγεν, εἰ συνοίδειν· ὁ ϗ θεράπων ἴφη, τὸ Κέφαλον ἰδεῖν ἐπί τινος ὕλης κορυφὴν, ϗ λέγει συχνῶς. ὦ Νεφέλη, πυκάζῃ ϗ τῶτο μόνον σωνειδίνᾳ. ἡ δὲ Πρόκρις ἀκούσασα, ἔρχεται εἰς τὴν κορυφὴν, κἀκ καθαρύσεσθαι. κἀν τὸ αὐτὸ λέγει ὁ αὐτοῦ πύθεσθαι, ἀποτρέχει ἀπὸς αὐτόν. ὁ δὲ Κέφαλος ἰδὼν αὐτὴν ὑφιείσας, ἔξω ἑαυτοῦ γίνεται ϗ ἀσπὼ ἔξει, βάλλει μὴ χεῖρα ἀκοντίῳ τὴν Πρόκριν, ϗ κτείνει. μιαιφονήσαντα δὲ τὸν Ἐρεχθέα, μάντις πολυπλὰς αὐτὸν. ἡ ϗ ἱστορία περὶ Φερεκύδην ἐν τῇ * ἑβδόμῃ. Καλήν τ' Ἀριάδνην.] Ἀριάδνη, Μίνωος θυγάτηρ, γυνὴ Θησέως· ἐξ ἧς Δημοφῶν, ϗ Ἀκάμας. Θησεὺς δὲ. ὁ Αἰγέως, λυχνὸν μὲν τὸν ἡθέων, εἰς Κρήτην πλεῖ, τῷ Μινωτάυρῳ παραπεμψόμενος ἀπὸς αἴσεσιν ἀφικόμενος δὲ αὐτοῦ, ἐρασθεὶς * ἀπὸς αὐτὸν ἀφανίζεται ἡ ϗ Μίνως θυγάτηρ, Ἀριάδνη, δίδωσιν ἀγαπόδοτα μίτον, λαβοῦσα παρὰ Δαιδάλου

NOTÆ IN SCHOLIA.

317. Τὰς ϗ * εἰς τὸν ἔλαφον.) Τὸ * εἰς addo, ex Historiâ; de quâ vid. *Apollodor.* Ibid.

320. * Αἴθρας) Ita pro ἔχθρας, ex historiâ & MSto *Aloysiano*. *Euripidis Hippolytus* huic loco lucem dabit; *Aricleiaden* Etiam notat *Scholiastes*. *Ibid.* pro monstro illo βοκθῖσιν, lego φοβηθῖσιν. Mox in *Procridis* historiâ, addo * ἀπίσω. Παρὰ Φερεκύδην ἐν τῇ * ἑβδόμῃ, lego pro ἐν τῇ ζῇ, ex MSto. Tamo post, superfluam *Textûs* Repetitionem rejicio, quod MS. docet, denique * ὡς addo, & pro ἰπιφανὴς, lego Ἐπιφανὴς, eâdem Auctoritate. Huc refer *Antonini Liberalis* Metamorphoseon, c. 41. *Ovid.* Metamorph. l. 7. §. 26. ubi tamen, pro *Græco* Νεφέλη, *Aura*.

VARIÆ LECTIONES.

319. Γένυν) χ. γένυς, pro τὰς γένυς, *Eustath.* & *H. Steph.* haud inepte.

Κέξ-

Κούρην Μίνωος ὁλοόφρονος, ἣν ποθὲ Θησεὺς,
Ἐκ Κρήτης ἐς γυνὸν Ἀθηναίων ἱεράων,
Ἦγε μὲν, οὐδ' ἀπένητο· πάρος δέ μιν Ἄρτεμις ἔκτα
Δίῃ ἐν ἀμφιρύτῃ, Διονύσου μαρτυρίῃσι.
Μαῖράν τε, Κλυμένην τε ἴδον, στυγερήν τ' Ἐριφύλην,
Ἣ χρυσὸν φίλῳ ἀνδρὶ ἐδέξατο τιμήεντα.

Filiam Minois prudentis, quam olim Thesèus,
Ex Cretâ in solum Athenarum sacrarum,
Duxit quidem, sed non potitus est: antea enim ipsam Diana detinuit
Diâ in circumfluâ, Bacchi testimonio.
Mæramque, Clymenemque vidi, mœstamque Eriphylem,
Quæ aurum ob dilectum virum accepit pretiosum.

ΣΧΟΛΙΑ.

Ἦ πάλιν, ἢ διδάσκει αὐτὸν. ἐπειδὴ εἰσέλθῃ, τὴν ἀρχὴν τὰ ἀναθήματα ἐκθῆσαι ὡσεὶ τὸ ζυγὸν τὸ ἄνω θύρας, ἐξ αἰτιλίσσοντος ἰόνας, μίσχους δὲ ἀφίκα) εἰς τὸ μυχόν. καὶ ἐὰν αὐτὸν καθιδρύσασθαι μάρψῃ, κρατήσασθαι τῶν τριχῶν τὰ κιφαλῆς, τοῦ Ποσειδῶνι θύσαι, ἐξ αἰτιλίσσοντος ὀπίσω τὴν ἀναθέσθαι. ὁ δὲ Θησεὺς λαβὼν τὴν Ἀριάδνην εἰς τὴν ναῦν ἐμβάλλει), καὶ τὰς ἡλῆκας, καὶ παρθένους, ἃ δῆπου φθείσαντος τοῦ Μινοταύρου παρατεθῆναι. καὶ παίσπαισιάς, νυκτὸς μέσης ἀπέπλει· ὡστρωμήσας ὁ τῇ Δίᾳ νήσῳ, ἐκβὰς ἐπὶ τὸν γιόν μιχαιμιᾶ)· καὶ αὐτῷ ἡ Ἀθηνᾶ παρασᾶσα, κελεύει τὴν Ἀριάδνην ἐᾶν, καὶ ἀφικνεῖσθαι εἰς Ἀθήνας· συντόμως ὁ Ἀγησιλᾶς φησὶ τοῦτο. καθλοφυρομένης δὲ τὴν Ἀριάδνης ἡ Ἀφροδίτη ἐπιφανεῖσα ἀρρῆν αὐτῇ παραινεῖ, Διονύσῳ ἢ ἔσεσθαι γυναῖκα, ἐ εὐκλεᾶ γενέσθαι· ὅθεν ὁ θεὸς *ἐπιφανεὶς μίσγει) αὐτῇ ἐ δωρεῖ) στέφανον αὐτῇ χρυσοῦν, ὃν αὖθις οἱ θεοὶ κατησίσιον τῇ ἐ Διονύσῳ χάριν. ἀναιρεθῆναι ὁ αὐτὴν ὑπὸ Ἀρτέμιδος, στρατεμένην τὴν παρθενίαν. ἡ ἱστορία παρὰ Φερεκύδῃ.

321. Κούρην.] Θυγατέρα.

323. Ἦγεν.] Ἔφερεν. Ἀπένητο.] Ὤνητο ἔχει. Ἔκτα.] Νῦν, ἀντὶ ἐ ἀνεῖλεν· γράφει) καὶ ἔκτα.

324. Δίῃ ἐν ἀμφιρύτῃ.] Δῖᾳ, νήσῳ τῇ Κρήτῃ, ἥτις *νῦν Νάξος καλεῖ) ἱερὰ δὲ αὐτῇ ἐ Διονύσου. Διονύσου μαρτυρίῃσιν.] Ἐπὶ κατεμαρτύρησεν αὐτῆς ἀσέβειαν, μιαίνουσα τὸ τεμένη αὐτῷ τῷ Θησεῖ· οἱ δὲ νεώτεροι φασὶ καταλειφθεῖσαν αὐτὴν ὑπὸ Θησέως, ἁρπαγῆναι ὑπὸ ἐ Διονύσου.

325. Μαῖράν τε.] Μαῖραν. Περίτης ἐ Ἀντείας θυγάτηρ, ἐτελεύτησε δὲ παρθένος. Ἄλλως, Μαῖράν τε.] Μαῖραν,

ἡ Περίτου, ἐ Θερσάνδρου, θυγάτηρ, καὶ Ἀντείας, τοῦ *Ἀμφιάραου, ἐγένετο καλλίστη ἁπασῶν γυναικῶν δὲ ὡσὶ πλείστοι τὴν παρθενίαν, εἶτεν τῇ Ἀρτέμιδι ἐπὶ τῷ κυνηγέσιον. ταύτης ἐραθεὶς Ζεὺς, ἀφικνεῖ) ὡς αὐτὴν, καὶ λαθόντων ἁλαφείου. ἡ δὲ ἔγκυος μαθοῦσα πέπτει Λοκρῷ τὸ ὄνομα παιδὶ, ὃς Θήβας μετ' Ἀμφίονος καὶ Ζήθου οἰκίζει. τὴν δὲ Μαῖραν λέγει) τοξευθῆναι ὑπὸ Ἀρτέμιδος, διὰ τὸ μηκέτι παραγένεσθαι εἰς τὸ κυνήγιον. ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ. Κλυμένην τ' εἶδον.] *Κλυμένην Μινύου, ἐ Ποσειδῶνος, ἣ ὡς ἔνιοι, ἐ Ἰφικλου, ἐ Εὐρυανάσσης, τῆς Ὑπέρφαντος, γαμηθεῖσα Φυλάκῳ, τοῦ *Δηϊονέως, Ἰφίκλου πέπτε παῖδα † τοῦτον λέγει) διὰ τὴν τῶν ποδῶν ὀρθότητα συναμιλλᾶσθαι τοῖς ἀνέμοις, ἐπί τε τῶν ἀκαχύων διήρχεσθαι, ἐ διὰ ἐ τάχος τὴν κεφάλην μὴ σείεσθαι τὰς ἀθέρας. ἔνιοι δὲ αὐτὴν τὴν Κλυμένην γαμηθῆναι φασὶν Ἡλίῳ ἐξ ἧς Φαέθοντα γένεσθαι παῖδα· ἡ ἱστορία παρὰ Ἡσιόδῳ. Στυγερήν τ' *Ἐριφύλην.] Ἰφιος θυγατέρα, μισητὴν ὄν, ἀφ' τὸ λαβεῖν παρὰ Πολυνείκους, ἢ Ἀδράστου, χρυσῆν ὅρμον, καὶ ὡσεδεδώκειαν Ἀμφιάραον, τὸν ἀνδρα αὐτῆς, μὴ βουλόμενον στρατεύεσθαι ἐπὶ Θήβας, εἰδότα, ὡς μάντιν, τὸ ἀποθανούμενον.

326. Φίλῳ.] Προσφιλοῦς. Ἀνδρί.] Ἀντὶ ἐ, καθ' ἀνδρός. Ἐδέξατο.] Ἠγάσατο, ἐσέμνυνεν. Τιμήεντα.] Ἐντιμότερον. *Στυγερὴν τ' Ἐριφύλην, Ἣ χρυσὸν φίλῳ ἀνδρὶ ἐδέξατο τιμήεντα.] Ἀμφιάραον, ὁ *Οἰκλέος, γήμας Ἐριφύλην, τὴν Ταλαοῦ, καὶ διενεχθεὶς ὑπέρ τινων ὡσὸς Ἄδραστον, καὶ πάλιν ἀφιλυθείς, ὁρκώμοσεν ὠμολόγησεν, ὑπὲρ ὧν ἂν ἀφίσιν) ὡσὸς ἀλ-

NOTÆ.

† Vid. *Apollonii* Argonaut.

323. Ἀπόνητο) De hâc voce, vid. *Etymolog.* M. in Ἀπόναος, & Ἀπώιαξ, & ad *Iliad.* ρ'. v. 25.

325. Στυγερὴν τ' Ἐριφύλην) *Virgil.* Æn. l. 6. v. 445. — mœstamque *Eriphylen*. *Br. Schol.* in hunc locum *Iphis* filiam; eadem versu proximo, *Talai*, Patris *Adrasti*, quod & *Eustathius* ait fol. 441. lin. 1. qui tamen corrigendus; pro Ταλαῦ, ἀδελφῷ Ἀδράστου, legendum Ταλαοῦ, πατρὸς Ἀδράστου.

NOTÆ IN SCHOLIA.

324. *Νῦν, ante Νάξος, ex *Aloysii* MS. addo.

325. * Κλυμένην, Μινύου θυγάτηρ, Κλυμένην τὴν ἰδὼν) His verbis deletis, * Κλυμένην Μινύου, ἐ Ποσειδῶνος, ἢ ὡς ἔνιοι, ἐ Ἰφίκλου, ex *Eustath.* fol. 440. lin. 50. *Brevia* tamen *Scholia* mox ad *Ἐριφύλην) Ἰφίκλου θυγατέρα addunt, cùm notissimum sit, Illam *Talai* filiam, *Adrasti* sororem, ut mox, v. 326. ipsa agnoscunt *Brevia Scholia*; quare Caveat Lector. * Ἀμφιάραον, pro Ἰοβάτην, legunt, Δηϊονίως lego, pro Δηϊόνου, & superflua deleo nonnulla; de quibus mox.

326. * Στυγερὴν τ' Ἐριφύλην &c.) Hæc Verba, quæ malè olim in præcedente *Scholio*, nunc in suum locum repono, pro Ἰοκλεὺς, lego Οἰκλέος, &c. totum denique *Scholion*, ex *Aloysii* MSto melius paulò ordinavi, & ex historiâ; vid. *Euripidis Alcmæonis*, Argumentum: quod *Scholiastes* omisit.

VARIÆ LECTIONES.

323. Ἔκτα) γρ. ἔκτα, *Eustath.* fol. 440. lin. 30. & *Br. Schol.* nec tamen notat *H. Steph.* sed *Isaac. Casaubon.* vidit.

325. Τὴν ἰδὼν) γρ. εἶδον, *Br. Schol.*

Πάσας

Πάσας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
Ὅσσας ἡρώων ἀλόχους ἴδον, ἠδὲ θυγατρας·
Πρὶν γάρ κεν ἡ νὺξ φθεῖτ' ἄμβροσ(ον)· ἀλλὰ καὶ ὥρη
Εὕδειν, ἢ ἐπὶ νῆα θοὴν ἐλθόντ' ἐς ἑταίρους,
Ἢ αὐτῷ· πομπὴ δ' ὑμῖν θεοῖς, ὑμῖν τε μελήσει.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
Κηληθμῷ δ' ἔχοντο κατὰ μέγαρα σκιόεντα.
Τοῖσιν δ' Ἀρήτη λευκώλενος ἤρχετο μύθων,
Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅγε φαίνετ(αι) εἶναι,
Εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας;
Ξεῖνος δ' αὖτ' ἐμός ἐστιν· ἕκαστος δ' ἔμμορε τιμῆς·
Τῷ μὴ ἐπειγόμενοι ἀποπέμπετε, μηδὲ τὰ δῶρα
Οὕτω χρηίζοντι κολύετε· πολλὰ γὰρ ὔμμιν
Κτήματ' ἐνὶ μεγάροισι, θεῶν ἰότητι, κέονται.
Τοῖσιδὲ καὶ μετέειπε γέρων, ἥρως Ἐχένηος,
Ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν,

Omnes verò non ego eloqui poſſum, neque nominare,
Quotquot Heroum uxores vidi, & filias;
Antea enim etiam nox periret divina: ſed & hora
Me dormire, ſive ad navem celerem digreſſum ad ſocios,
Sive hìc; reductio autem diis, vobiſque curæ erit.
Sic ait; hi utique omnes quieti facti ſunt ſilentio;
Voluptate enim tenebantur per domum obſcuram.
His verò Arete albis-lacertis cœpit ſermonibus,
" Phæaces, quomodò vobis vir ille apparet eſſe,
" Formaque, magnitudineque, atque mente intùs pari?
" Hoſpes ſanè meus eſt; unuſquiſque autem particeps eſt honorum:
" Ideò minimè feſtinantes dimittite, neque dona
" Sic egenti decurrate: multa enim vobis
" Bona in ædibus, deorum benignitate, jacent.
Hiſce & interfatus ſenex Heros Echeneus,
Qui certè Phæacum virorum maximus natu erat,

ΣΧΟΛΙΑ.

λήλους αὐτός τε καὶ Ἄδραστος, ἐπιτρέψαι Ἐλεφήνορι καὶ Ἀρίστωνι, καὶ πείσθησαι αὐτῷ. μετὰ δὲ ταῦτα χρησμὸς τοῖς ἐπὶ Θήβας στρατείας, ὁ μὲ Ἀμφιάραον ἀπίστως τὴν Ἀργείαν, καὶ τὸ ἐσόμενον ὄλεθρον φυγεῖν ἀναδύσαν· λαβοῦσα δὲ ἡ Ἐριφύλη τὸ ὅρμον παρὰ Πολυνείκους, τὸ τοῦ Ἁρμονίας, ἐφυλάττετο τοὺς περὶ Ἄδραστον βιαζομένους. τὸν Ἀμφιάραον γὰρ ἰδόντα τὴν τοῦ δώρου ὑποδοχὴν, καὶ πεπαῦσθαι τὴν Ἐριφύλην αἰτιασάμενον, αὐτὸν μὲν ἐξορμῆσαι ἐφ' ἑαυτὸν στρατίαν, μὴ ἀφίστεσθαι μὲν τοῦ * Ἐπιγόνων ἐπὶ Θήβας πορευόντας, πελὸν * ἀπολειπόμενον τὴν μητέρα· παῦσαι δὲ τοὺς παῖδας δράσαντας λέγεται τὸν Ἀλκμαίωνα, καὶ λαβεῖν τὴν μητροκτονίαν μαίνεσθαι· τοὺς δὲ θεοὺς ἀπολῦσαι τοῦ νόσου αὐτὸν λαβεῖν τε, ὁσίως ἐπαμύνοντα τῷ πατρὶ, τῶν μητέρα κολασάντα· ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

329. Φθεῖτ' ἄμβρ(οτον)] Ἐπιλείποι. * Ἀμβρό(τον). Θείαν.
333. Κηληθμῷ δ' ἔχοντο] Τῇ μὲν ἡδονῇ καὶ τέρψει. * ἀκουσίᾳ. * Ἔχοντο. Κατεχέσθησαν.
334. Ἤρχετο] Περικατήρχετο.
335. Φαίνετ(αι)] Δοκεῖ.
336. Ἐΐσας.] Τὰς ἀναλογούσας τῷ σώματι, ἢ ἁρμοὺς καὶ δικαίας.
337. Ξεῖνος δ' αὖτ' ἐμός ἐστ.] Διὰ δύο φησὶν ὁ Ἀρήτη ἄξιον εἶναι μὴ μικρολογεῖσθαι, ὅτι δὴ καὶ αὐτὸς ἐστ ξένος, αὐτῇ δὲ πρώτῃ συνέβη· καὶ ὅτι ἕκαστος αὐτῶν εὐπορεῖ. Ἕκαστος τιμῆς.] Οἷον μοῖραν ἔχει καὶ ὑσίαν, ὥστε καὶ τιμῆς δύνασθαι.
339. Χρηίζοντι.] Διορύττω. * Κολύετε.] Ἐλαττοῦτε, ἐμποδὼ ζητε
340. Ἰότητι.] Βουλῇ. Κέονται.] Ἀπόκεινται.

NOTÆ.

329. Φθεῖτ' ἄμβρ(οτον)) *Euſtath.* fol. 441. lin. 22. Τὸ δὲ φθεῖται, οἷον εὔσηλον, εἶπε διὰ διφθόγγου, ὡς ἀπὸ τοῦ φθίω, φθῶ εἶπε διὰ τοῦ ι, ὡς οἷον τοῦ φθίω· πλεοναζούσης ἢ διὰ διφθόγγου γραφῆς. Rectè itaque Nos φθεῖται ſcribimus; φθῖτ' enim, pro φθίνει, corripitur, ut *Theogn.* v. 1137. Εὐσεβίων ἀνδρῶν γένος ἔφθιτο. Et *Odyſſ.* ο'. v. 356. & v. 357. ἀπόφθιμένην & ἀπέφθιθ. & φθίσας. & φθείσας aliàs. *Penultima* tamen τοῦ ἀπόφθιμένου producitur, *Odyſſ.* κ'. v. 51. quare φθῖτ', retineo in *Variis Lectionibus*. An φθίη; *Florentina*, *Aldina*, *Lovaniana*, φθῖτ' legunt; at in Margine *Florentin.* MS. Scholiis, φθεῖτ', legitur, & in *Br. Scholiis*, *Aldin.* &c. φθεῖτ', ἐπιλείπει.

Tibique & caſtæ uxori; moleſtum autem mihi eſt
Rurſus planè enarrata recenſere.

ΣΧΟΛΙΑ.

443. Δύπησα.] Πεσὼν ψόφον ἀπετέλεσα. Παρὲξ εὐεμήκεα δοῦρα.] Τὸ ὅλον, ἐπὶ τὰ * μακρὰ ξύλα.

444. Διήρεσα.] Ἀπεσταλμένως ταῖς χερσὶ τὸ ὕδωρ ὥσπερ κώπαις, ταῖς χερσί μου διευκαίμοις.

445. Εἰσιδέειν.] Ἰδεῖν, συνιδεῖν.

447. Δικάτῃ δέ με,] Οὐ δεῖ ζητεῖν, πῶς ἀφικαρπερεῖ ὁ ἥρως, εἰπόσης τὴ Ἀθηνᾶς, Αὐτὰρ ἐγὼ θεός εἰμι, ἀφικαρπερὶς ἥ σε φυλάσσω Ἐν πάντεσσι πόνοισιν.

450. Ἐφίλησ'.] Φιλικῶς ὑπεδέχετο. Ἐκόμησέ.] Ἐπιμελείας ἠξίου. Μυθολογεύω.] Διηγοῦμαι.

453. Ἀείζηλος.] Ἐκδήλως. Εἰρημένα.] Τὰ ἤδη ῥηθέντα.

NOTÆ.

444. Διήρεσα) Vid. *Etymolog.* M. v.

445. Ἔασε) Pro ἔασε ſcribendum, ob *Metrum*, ut pluries paſſim oſtendo.

447. Ἐννῆμαρ φερόμην) Quomodò *Ulyſſes* per novem dies durare inſomnis, impaſtus, potuit? Huic Quæſtioni reſpondetur, ad η'. v. 252. Vid. *Br. Schol.*

449. Αὐδήεσσα) De *Lectione* Ϝ αὐδήεσσα, *Euſtath.* fol. 496. lin. 45. Δῆλον δὲ ὅτι τούτῳ, ὅτι τὸ ἡ Καλυψὼ, καὶ ὅσαι κατ' αὐτὴν ὐδήεσσαι, οὐκ εἶδεν ἐν τῷ Ϝ ἐπῶν, εἰ μήτις ἐκεῖθεν ἀλλὼν αὖτε εἴπῃ. & Nos, ad ε'. v. 334.

NOTÆ IN SCHOLIA.

443. * Μακρὰ) Ita, pro μικρὰ, ſcribo, quòd ſit ἐξηγητικὸν Ϝ, εὐεμήκεα illud, non hoc; & in hoc nobis conſentit MS. *Aloyſii.*

VARIÆ LECTIONES.

443. Ἐνδύπησα) γρ. ἐὺ δύπησα, *Br. Schol.*

Ibid. Παρὲξ) γρ. πάρεξ, & παρ' ἓξ.

446. Εἰσιδέειν· ἐὰ γάρ κεν) γρ. εἰσιδέειν μ'· ἐὰ γαρ κεν.

448. Πέλασαν) γρ. ἵξοσαν, *H. Steph.*

449. Αὐδήεσσα) γρ. ἠδήεσσα, vid. Not. in *Textum.*

453. Αὖτις) γρ. αὖθις, ut ſæpè aliàs.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ
ΟΔΥΣΣΕΙΑΣ
ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ν'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ν'.

Κοιμωμένων Ὀδυσσέα, μὴ τῶν δώρων, ἀπῆραν οἱ Φαίακες εἰς τὴν γῆν τὴν Ἰθακησίων· καὶ τὴν μὲν ναῦν αὐτῶν ὑποτρίψασαν, λίθον ποιεῖ Ποσειδῶν· Ἀθηνᾶ δὲ ἐπὶ τῷ αἰχμαλωτίσαι Ὀδυσσεῖ συμβουλεύει καὶ τὰ μνηστηροφονικὰ καὶ τὰ χρήματα ἂν τινι σπηλαίῳ ἀποκρύψῃ, καὶ εἰς γέροντα μεταμορφοῖ τὸν Ὀδυσσέα.

Ἐπιγραφή.

Ὀδυσσέως ἀπόπλους παρὰ Φαιάκων, καὶ ἄφιξις εἰς Ἰθάκην.

Ἄλλως.

Νῦν Ἰθάκης ἐπέβη Φαιήκων παρὰ δῆμον Ὀδυσσεύς. Lib. XIII.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
Τόνδ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε,
Ὦ Ὀδυσεῦ, ἐπεὶ ἵκου ἐμὸν πρὸς χαλκοβατὲς δῶ
Ὑψερεφὲς, τῷ σ' οὔτι παλιμπλαγχθέντα γ' οἴω
Ἆψ ἀπονοστήσειν, εἰ καὶ μάλα πολλὰ πέποσθας.
Ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω,
Ὅσσοι δὴ μεγάροισι γερούσιον αἴθοπα οἶνον

SIC dixit, illique omnes taciti facti sunt silentio,
Oblectationeque tenebantur per domos umbrosas.
Huic vicissim Alcinous respondit dixitque,
" O Ulysses, quandoquidem venisti meam ad ætatam domum
" Altam, ideò te non cum repulsu puto
" Retrò rediturum, & si valdè multa tulisti.
" Vestrùm præterea viro unicuique prompto animo hæc dico,
" Quicunque in atriis senatorium, nitidum, vinum

Σχολια.

2. Κηληθμῷ.] *Τῇ δὲ ἀκοῇ ἡδονῇ, ψίλωσι, τέρψει· κήλησις γάρ ἐστι, ἡ δὲ ψόφου τέρψις, καὶ ἡδονή. Οἷον καλάσιός τις ἦσα.

4. Ἵκου.] Παρειλήφασι. Χαλκοβατές.] Ἤτοι χαλκῆν ἔδαφος ἔχον· ἢ χαλκοῦς ἔχει τοὺς βαθμοὺς τῶν θυρῶν.

5. Παλιμπλαγχθέντα.] Ὀπισθόμοχθον, βλαβέντα.

6. Ἀπονοστήσειν.] Ἐπανελεύσεσθαι.

7. Ἐφιέμενος.] Ἐπακολουθῶν, ὑπηκόως. Ἐφιέμενος τάδε εἴρω.] Μετὰ εὐθυμίας ταῦτα λέγω.

8. Γερούσιον.] Τὸν τοῖς ὑπάρχοις διδόμενον.

Notæ.

V. 1. Ἀκὴν ἐγένοντο σιωπῇ) Ἀκὴν hic *Adverbium*, ut aliàs, *Iliad.* δ'. v. 429. ἀκὴν ἴσαν, silentèr ibant; est & ἀκὴν εἰμὶ, ut *Odyss.* β'. v. 82. ἀκὴν ἦσαν. Est ἀκέων quoque nunc *Adverbialiter* positum, ut *Odyss.* φ'. v. 89. Ἀλλ' ἀκέων δείνωδε καθήμενος. & *Iliad.* δ'. v. 22. Ἧστο Ἀθηναίη ἀκέων τε. Nonnunquam *Adjectivè* sumitur, ut *Iliad.* α'. v. 565. Ἀλλ' ἀκέοντα κάθησο.

5. Ὑψερεφὲς) Malè in nonnullis ὑψιρεφὲς, ut aliàs queror, ad *Iliad.* ε'. v. 213.

Notæ in Scholia.

V. 2. Κηληθμῷ) Hoc *Scholion* ex *Aloysiano* MSto emendavi, ordinavi, & supplevi. Vid. *Hesych.* & *Etymolog.* M. in v. *Suidam*, v. Κήλησις, &c.

Variæ Lectiones.

V. 4. Ἵκου) γρ. ἵκες. 5. Ὑψερεφὲς) γρ. ὑψιρεφὲς, vid. N. in *Textum*.

Αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδοῦ·
Εἵματα μὲν δὴ ξείνῳ εὐῦσσετε σὶ χηλῷ
Κεῖνα, καὶ χρυσὸς πολυδαίδαλος, ἄλλα τε πάντα
Δῶρ', ὅσα Φαίηκων βουληφόροι ἐνθάδ' ἔνεικαν·
Ἀλλ' ἄγε οἱ δῶμεν τρίποδα μέγαν, ἠδὲ λέβητα,
Ἀνδρηκάς· ἡμεῖς δ' αὖτις ἀγειρόμενοι κτ' δῆμον
Τισόμεθ'· χαλεπὸν γὰρ ἕνα τρομικὸς χαρίσασθαι.
Ὣς ἔφαθ' Ἀλκίνοος· τοῖσιν δ' ὀπίνδανε μῦθος.
Οἱ μὲν κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Νῆ' ἄρ' ἐπεσσεύοντο, φέρον δ' εὐήνορα χαλκόν.
Καὶ τὰ μὲν εὖ κατέθηκ' ἱερὸν μένος Ἀλκινόοιο,
Αὐτὸς ἰὼν ἀνὰ νῆα κατὰ ζυγὰ, μή πιν ἑταίρων
Βλάπτοι ἐλαυνόντων, ὁπότε σπερχοίατ' ἐρετμοῖς.
Οἱ δ' εἰς Ἀλκινόοιο ἴσαν, καὶ δαῖτ' ἀλέγυνον.
Τοῖσι δὲ βοῦν ἱέρευσ' ἱερὸν μένος Ἀλκινόοιο
Ζηνὶ κελαινεφέι Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει.
Μηρὰ δὲ κείσαντες δαίνυντ' ἐρικυδέα δαῖτα
Τερπόμενοι· μετὰ δὲ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς

" semper bibitis meis, auditisque cantorem:
" Vestes quidem jam hospiti politâ in arcâ
" Jacent, & aurum arte laboratum, aliaque omnia
" Dona, quæcunque Phæacum senatores huc attulerunt:
" Verùm agè ei demus tripodem magnum, & lebetem,
" Viritim; nos autem rursus colligentes per populum
" Remunerabimur: grave enim uni fuerit tantâ largitionem præbere.
Sic dixit Alcinous; his verò placuit sermo.
Illi quidem dormiturientes iverunt domum unusquisque.
Quando autem matutina apparuit roseis-digitis aurora,
Ad navem properabant, ferebantque viros-honestans æs:
Et hæc quidem benè depositi sacra vis Alcinoi,
Ipse iens per navem sub transtris, nè aliquem sociorum
Læderet impellentium, quando incumberent remis.
Hi autem ad Alcinoi *domum* iverunt, & convivium curaverunt.
Horumque gratiâ bovem mactavit sacra potestas Alcinoi
Jovi nimboso Saturnio, qui omnibus imperat.
Crura igitur assantes, epulabantur glorioso convivium
Oblectantes *sese*; inter ipsos verò canebat divinus cantor

ΣΧΟΛΙΑ.

9. Ἀκουάζεσθε.] Ἀκροᾶσθε.
10. Εὐῦσσετε.] Καλῶς ἐξεσμένην, καλῶς εἰρασμένην.
11. Πολυδαίδαλος.] Ὁ ποικίλος, καὶ μὴ πίχνης κεκοπτοκοσμημένος· ἢ εἰς τὸ δαιδάλλεσθαι καὶ ποικίλλεσθαι αὐτόν.
12. Βουληφόροι.] Συνετοὶ, φρονιμωτάτοι. Ἔνεικαν.] Ἤνεγκαν.
14. Ἀνδρηκάς.] Καθ' ἕνδρα. Καθ' ἕκαστον δῆμον.] Ἐκ τοῦ δήμου.
15. Τισόμεθα.] Εἰσπραξόμεθα, ἢ ἀπολαψόμεθα.
Ἀρχαλέον γὰρ ἕνα τρομικός.] Ἡ τρομικὸς χρεία, ἀντὶ τοῦ τρομικά· ὁ γὰρ νῦς, Χαλεπὸν γὰρ τὸ ἀδύνατον, ἵνα δώσειν τοσαύτην χαρίσασθαι.
17. Κακκείοντες.] Μέλλοντες κοιμᾶσθαι.
21. Ὑπὸ ζυγά.] Ὑπὸ τὰς καθέδρας τῶν ἐρετῶν.
22. Βλάπτοι.] Ἐμποδίζοι. Σπερχοίατ' ἐρετμοῖς.] Σπουδάζουσι ταῖς κώπαις, ὅ ἐστι σπουδαίως ἐλαύνουσι.
23. Ἀλέγυνον.] Εὐτρέπιζον, κατασκεύαζον.
26. Κείσαντες.] Καύσαντες. Ἐρικυδέα.] Μεγάλως * ἔνδοξον.

NOTÆ.

10. Εὐῦσσετε ἐπὶ χηλῷ) Eu! Iterum vides χηλὸν *Femininum*, contrà quod *Lexicographorum* turba; vid. ad Ψ. v. 424. & infrà, v. 68. Potest tamen & sic scribi, ἐὐῦσσετε, cùm sit ὁ καὶ ἡ.
13. Ἤδη λέβητα) *Eustath.* fol. 501. lin. 43. fatetur ἤη legi, at fol. 502. lin. 10. dicit, Ab Accuratioribus legi ἤδη, quod & probo.
14. Αὖτις) Ità, pro αὖτι, scribo. Vid. *Etymolog.* M. v. Αὖτις.
15. Τρομικὸς χαρίσασθαι) Vel hìc μερίδα, ὑποτοτέον, ὡς εἰ τῷ, Ἀπόδος μοι τὸ λίθον, vel, ut *Eustatio* fol. 502. lin. 31. ἀφ' ἑαυτοῦ, aut ἐαυτῷ, pro καθ' ἑαυτὸν, χαρίσασθαι, Ἀπλῶν. Vel τοσοῦτον subaudiendum.

NOTÆ IN SCHOLIA.

26. * Ἔνδοξον) Ità pro ἔνδοξα legendum.

VARIÆ LECTIONES.

10. Εὐῦσσετε) γρ. ἐὐῦσσετε. Vid. Not. in *Textum*.
12. Ἔνεικαν) γρ. ἤνεγκαν.
13. Ἤδη λέβητα) γρ. ἤη λέβητα, vid. Not. in *Textum*.
14. Ἀνδρηκάς) γρ. ἔνδρα καθ', *Eustath.* fol. 502. lin. 22. & *Duport.* in locum; nec vidit *Hen. Stephanus*: Quis enim, Omnia? Αὖτις, pro αὖτι.
19. Νῆ' ἄρ') γρ. νῆά ῥ', & ἠδ'. Ἐπεσσεύοντο) γρ. ἐπ' ἔσσ.
26. Κείσαντες) γρ. κήσαντες, *Aloysii* MS.

Δημόδοκ@, λαοῖσι τελμῶνος· αὐτὰρ Ὀδυσεὺς
Πολλὰ πρὸς ἠέλιον κεφαλὴν τρέπε παμφανόωσαν,
Δῦναι ἐπειγόμενον· δὴ γὰρ μνήσασθαι νέεσθαι.
Ὡς δ' ὅτ' ἀνὴρ δόρποιο λιλαίεται, ᾧτε παντὸς
Νειὸν ἄρ' ἕλκησιν βόε οἰνοπε πηκτὸν ἄροτρον,
Ἀσπασίως δ' ἄρα τῷ κατέδυ φάος ἠελίοιο,
Δόρπου ἐποίχεσθαι, βλάπτει δέ τε γούνατ' ἰόντι·
Ὡς Ὀδυσῆι ἀσπασὸν ἔδυ φάος ἠελίοιο.
Αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα,
Ἀλκινόῳ δὲ μάλιστα πιφαυσκόμενος φάτο μῦθον,
Ἀλκίνοε κρεῖον, πάντων ἐρικυδέστατε λαῶν,
Πέμπετέ με σπείσαντες ἀπήμονα· χαίρετε δ' αὐτοί·
Ἤδη γὰρ τετέλεσται, ἅ μοι φίλ@ ἤθελε θυμός,
Πομπή τ' φίλα δῶρα, τά μοι θεοὶ οὐρανίωνες
Ὄλβια ποιήσαν· ἀμύμονα δ' οἶκοι ἄκοιτιν
Νοστήσας εὕροιμι, σὺν ἀρτεμέεσσι φίλοισιν.
Ὑμεῖς δ' αὖθι μένοντες εὐφραίνοιτε γυναῖκας
Κηδιόωντας, τ τέκνα· θεοὶ δ' ἄρετὰ ὀπάσαιεν
Παντοίην· τ μήτι κακὸν μεταδήμιον εἴη.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον
Πεμπέμεναι τ ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
Καὶ τότε κήρυκα προσέφη μέν@ Ἀλκινόοιο,
Πουλύνοε, κρητῆρα κεραυνάμενος, μέθυ νεῖμον
Πᾶσιν ἀνὰ μέγαρον· ὄφρ' θύραμεν Διὶ πατρὶ,

Demodocus, populis honoratus; at Ulyſſes
Multùm ad Solem caput vertebat omnia illuſtrantem,
Ut deſcenderet expetens; jamdudum enim cupiebat reverti,
Sicut autem cùm vir cœnam concupiſcit, cui perdiù
Per Novale traxerunt boves atri compactum aratrum:
Expectatò quidem huic occidit lumen Solis,
Cœnam ut ineat, affliguntur nempè genua eunti:
Sic Ulyſſi gratum occidit lumen Solis.
Statim igitur Phæacibus ſtudioſis remorum locutus eſt,
Alcinoo autem maximè denuntians, dixit ſermonem,
" Alcinoe rex, omnium princeps populorum,
" Mittite me, ubi ſacrificaveritis, illæſum; Valeteque ipſi:
" Jam enim perfecta ſunt, quæ mihi charus volebat animus,
" Comitatus & chara dona, quæ mihi dei cœleſtes
" Fortunata faciant; integram autem domi uxorem
" Redux inveniam, cum incolumibus amicis.
" Vos autem hìc manentes oblectetis uxores
" Dilectas, & liberos; Dii verò virtutem dent
" Omnimodam; & nè quod malum publicum ſit.
Sic dixit; illi verò omnes collaudabant, & jubebant
Mitti hoſpitem, quòd ritè & ut par erat, locutus eſſet.
Et tunc præconem alloquuta eſt virtus Alcinoi,
" Pontonoe, cratere impleto, merum diſtribue
" Omnibus in domo; ut apprecati Jovem patrem,

ΣΧΟΛΙΑ.

28. Τελμῶνος.] Τελμηνιῶν@, τόπου@.
29. Παμφανόωσαν.] Πᾶσι φαίνουσα.
30. Μενίαινεν.] Ἐφεσπέσῃ.
31. Λιλαίεται.] Ἐπιθυμεῖ.
32. Νειὸν.] Γῆν νεοσπαρμένην. Ἕλκησιν.] Ἕλκωσιν. Πηκτὸν.] Τὸ μὴ ἐξ αὐτῆς ἔχον τ * γύλιν.
37. Πιφαυσκόμενος@.] Φανεροποιῶν.
40. Τετέλεσται.] Πεπλήρωται.
42. Ὄλβια.] Εὐτυχῆ.
43. Ἀρτεμέεσσιν.] Ὑγιέσι δὲ πιστοῖς.
45. Κηδιόωντας.] Τὰς ἐν παρθενίαις γαμουμένας. Ἀρετὴν.] Εὐδαιμονίαν.
46. Μεταδήμιον.] Ἔνδημον τῇ πόλει.

NOTÆ.

30. Δῦναι ἐπειγόμενον, τ ἦλιον δηλονότι) Tale illud Πεξ ἁποστολ. c. 27. v. 29. Ὑπὸ πέτρας ἐκπεσόντες ηὔχοντο ἡμέραν γενέσθαι. *Meric. Caſaubon.* De nuperâ *Homeri* Edit. §. 1. p. 37.

31. Πᾶσιν ἀνὰ μέγαρον, ὄφρ' θύραμεν Διὶ πατρὶ] Hic Verſus διπλοῦς, quandò *Ultima* & ἀνὰ producatur, in *Caſurâ*, vi *Toni* ſui, & ante *Liquidam*.

NOTÆ IN SCHOLIA.

32. * Γύλιν) Ità pro γόνυ reſtituo, ex *Aloyſii* MSto. Eſt autem ὁ γύης, pars Aratri, *Denſale* dicta.

VARIÆ LECTIONES.

29. Τρίπ) πρ. πράπ.

32. Ἀνίλκησιν) γρ. ἀν' ἕλκησιν, *H. Steph.* & *Br. Schol.*

Τὸν

Τὸν ξεῖνον πέμπωμεν ἐὼ ἐς πατρίδα γαῖαν.
Ὣς Φάτο· Ποντόνοος δ᾽ μελίφρονα οἶνον ἔκιρνα·
Νώμησεν δ᾽ ἄρα πᾶσιν ὀπιζαδόν· οἱ δ᾽ θεοῖσιν
Ἔσπενδον μακάρεσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Αὐτόθεν ἐξ ἑδρέων· ἀνὰ δ᾽ ἵστατο δῖος Ὀδυσσεύς,
Ἀρήτῃ δ᾽ ἐν χερσὶ τίθη δέπας ἀμφικύπελλον,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Χαῖρέ μοι, ὦ βασίλεια, διαμπερὲς, εἰσόκε γῆρας
Ἔλθῃ, ἠδὲ θάνατος, τά τ᾽ ἐπ᾽ ἀνθρώποισι πέλονται.
Αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῷδ᾽ ἐνὶ οἴκῳ,
Παισί τε, ἠδὲ λαοῖσι, καὶ Ἀλκινόῳ βασιλῆϊ.
Ὣς εἰπὼν, ὑπὲρ οὐδὸν ἐβήσετο δῖος Ὀδυσσεύς.
Τῷδ᾽ ἅμα κήρυκα προΐει μολπῆς Ἀλκινόοιο,
Ἡγεῖσθ᾽ ὅπι νῆα θοὴν, ἠδὲ θίνα θαλάσσης·
Ἀρήτη δ᾽ ἄρα οἱ δμῳὰς ἅμ᾽ ἕπεμπε γυναῖκας·
Τὴν μὲν, φᾶρος ἔχουσαν εὐπλυνὲς, ἠδὲ χιτῶνα,
Τὴν δ᾽ ἑτέρην, χλιδὸν πυκινὴν ἅμ᾽ ἕπεμπε κομίζειν·
Ἡ δ᾽ ἄλλη σῖτόν τ᾽ ἔφερεν, ἠδὲ οἶνον ἐρυθρόν.
Αὐτὰρ ἐπεὶ ῥ᾽ ἐπὶ νῆα κατήλυθον, ἠδὲ θάλασσαν,
Αἶψα τά γ᾽ ἐν νηῒ γλαφυρῇ πομπῆες ἀγαυοὶ
Δεξάμενοι κατέθεντο, πόσιν ἠδὲ βρῶσιν ἅπασαν.
Κὰδ δ᾽ ἄρ᾽ Ὀδυσσῆϊ τόρεσαν ῥῆγός τε, λίνον τὲ,
Νηὸς ἐπ᾽ ἰκριόφιν γλαφυρῆς, ἵνα νήγρετον εὕδοι,

"Hunc hospitem mittamus suam in patriam terram.
Sic dixit; Pontonous verò mellitum vinum miscuit,
Distribuitque omnibus astando: hi autem Diis
Libârunt beatis, qui cœlum latum inhabitant,
Illinc ex sedibus; surrexit verò divinus Ulysses,
Aretæque in manibus posuit poculum rotundum,
Et ipsam compellando verba velocia dicebat,
" Vale mihi, ô regina, in perpetuum; donec senectus
" Veniat, & mors, quæ utique hominibus accidunt.
" At ego proficiscor; tu autem delectare hâc in domo,
" Liberisque, & populis, & Alcinoo rege.
Sic locutus super limen ivit divinus Ulysses.
Huic simul præconem præmisit virtus Alcinoi,
Præcedere ad navem velocem, & littus maris;
Arete quoque illi famulas simul misit mulieres;
Hanc quidem chlamydem habentem puram & tunicam,
Alteram autem arcam pictam simul dedit portare:
Tertia verò panemque ferebat, & vinum rubrum.
At postquam ad navem pervenerunt & mare,
Statim hæc in navi concavâ comites læti
Accepta deposuerunt, potum, & cibum omnem:
Seu Ulyssi constraverunt culcitramque, linteumque
Navis in subsellliis concavæ, ut mollitèr cubaret,

ΣΧΟΛΙΑ.

54. Ἐπισπενδόν.] Ἐπισημόνως, * ἐπισημόνως, ἰμπειρέως· * ἢ, ἐφιστάμενοι ἐκάστῳ.
56. Ἐξ ἑδρέων.] Τῶν καθημένων.
59. Διαμπερές.] Διὰ ὅλου τοῦ βίου.
61. Νίομαι.] Ἀπέρχομαι.
63. Ἔβητο.] Ἔβη, ἐπορεύθη.
67. Εὐπλυνές.] Καλῶς πλυθὲν, καθαρόν.
68. Πυκινὴν.] * Σπαγνὴν. Κομίζειν.] Ἄγειν, φέρειν.
70. Κατήλυθον.] Κατῆλθον.
72. Πόσιν.] Ποτὸν.
73. Λίνον.] Λεπτὸν ἱμάτιον.
74. Ἐπ᾽ ἰκριόφιν.] Ἐπὶ τὸ καταστρωμάτιον. Νήγρετον.] Ἀνέγερτον, βαθὺν, ἢ διὰ ἡδονὴν βραδύν.

NOTÆ.

& *Ultima* Ε μάκρον producatur etiam, in *Cæsurâ*, vi *Finalis*, ante *Incisum*, & ob *Acutum*, in sequenti Voce. Vel denique poterit *Iambus* ferri, in *Tertio* loco, ut mox in *Quarto*, v. 136. Χαλκόν τε, Χρυσόν τε ἄλις, ἐδητύν θ᾽ ὑφαντά.

54. Ἐπισπενδόν) Vid. *Etymolog.* M. v.

68. Πυκινὴν) Ἡ χλιὸς, iterum; ut modò, v. 10.

NOTÆ IN SCHOLIA.

54. * Ἐπισημόνως, ἰμπειρέως, ex MSto. * Cætera *Etymolog.* M. v.

68. * Σπαγνὴν) Ità, pro συνετὴν, in hoc loco omninò scribendum; ubi de Cistâ res est.

VARIÆ LECTIONES.

56. Ἑδρέων) κε. ἕδνων, vid. ad *Iliad.* α'. v. 534.
63. Ἐβήσετο) κε. ἐβήσατο, ut infrà, v. 75.
68. Ἔπεμπε) γρ. ὅπασσε, *H. Steph.*
74. Εὕδοι) γρ. εὕδῃ, *H. Steph.*

Πρύμ-

Πρύμνης· αὐτὴ δ' ἐν αὐτὸς ἐβήσετο, ἐν κατέλεκτο
Σιγῇ· τοὶ δ' κάθιζον ἐπὶ κληῖσιν ἕκαστος
Κόσμῳ· πεῖσμα δ' ἔλυσαν ἀπὸ τρητοῖο λίθοιο·
Ἔνθ' οἱ ἀναχλιθέντες ἀνερρίπτεον ἅλα πηδῷ·
Καὶ τῷ νήδυμος ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
Νήγρετος, ἥδιστος, θανάτῳ ἄλγιστα ἐοικώς·
Ἡ δ', ὥς τ' ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι,
Πάντες ἅμ' ὁρμηθέντες ὑπὸ πληγῆσιν ἰμάσθλης,
Ὑψόσ' ἀειρόμενοι, ῥίμφα πρήσσουσι κέλευθον·
Ὣς ἄρα τῆ πρύμνη μὲν ἀείρετο, κῦμα δ' ὄπιθε
Πορφύρεον μέγα θῦε πολυφλοίσβοιο θαλάσσης.
Ἡ δὲ μάλ' ἀσφαλέως θέεν ἔμπεδον· οὐδέ κεν ἴρηξ
Κίρκος ὁμαρτήσειε, ἐλαφρότατος πετεηνῶν.
Ὣς ἡ ῥίμφα θέουσα θαλάσσης κύματ' ἔταμνεν,
Ἄνδρα φέρουσα, θεοῖς ἐπιείσκοντα μήδε' ἔχοντα.
Ὅς πρὶν μὲν μάλα πολλὰ πάθ' ἄλγεα ὃν κατὰ θυμόν,
Ἀνδρῶν τε πολέμους, ἀλεγεινά τε κύματα πείρων·
Δὴ τότε γ' ἀτρέμας εὗδε, λελασμένος, ὅσσ' ἐπεπόνθει.

In puppi: Ipse autem ingressus est, & recubuit
silentio, illique federunt in transtris singuli
Ordine, funemque solverunt à pertuso lapide.
Ibique hi incumbentes jactabant mare remo:
Et huic suavis somnus in palpebris incidit,
Inexcitabilis, jucundissimus, morti proximè similis.
Illa autem, sicut in campo quadrijuges masculi equi,
Omnes simul incitati à verberibus scuticæ,
Altè elevati, celeriter emetiuntur viam:
Sic quidem hujus puppis tollebatur; unda autem ponè
Nigra magna ruebat personantis maris.
Et hæc valde tutè currebat firmiter; neque accipiter
Circus assecutus fuisset, citissimus volucrum.
Sic illa celeriter currens maris undas secabat,
Virum ferens, diis æquas curas habentem:
Qui antea quidem multos passus est dolores tuo in animo,
Virorumque bella, molestasque undas penetrans;
Jam tunc securè dormiebat, oblitus eorum, quæ passus fuerat.

Σ Χ Ο Λ Ι Α.

77. Κόσμῳ.] Ἐν κόσμῳ, ἐν τάξει. Πεῖσμα.] Τὸ λύγδον χοινίον. Τρητοῖο λίθοιο.] Εἰώθασιν ἐπὶ τῶν λιμένων τρυπᾶν τοὺς λίθους.

78. Ἀνερρίπτεον.] Ἀπὸ τοῦ παρακεκλεῦσθαι, ἀναρρίπτεται γὰρ ὑπὸ τῶν κωπῶν τὸ ὕδωρ.

80. Ἥδιστος.] Ἡδύτατος.

81. Ἡ δ' ὥς τ' ἐν πεδίῳ.] Εὖ κείσεται τῇ παραβολῇ. ὥσπερ γὰρ ἵπποι τέσσαρες ἐν τῷ ὁπισθίων μερῶν διαγέουσι, οὕτω καὶ ἡ ναῦς ἐλαυνομένη ἐν τῇ πρύμνῃ κατ-

φέρεται. Τετράοροι.] Τέσσαρες ἵπποι * ἐζευγμένοι τετράοροι τὸ ο μικρόν.

82. Ἰμάσθλης.] Μάστιγος.

83. Ἀειρόμενοι.] Ἐπαιρόμενοι, κυφιζόμενοι.

84. Ἀείρετο.] Ἐπήρετο. ὑψοῦτο.

87. Κίρκος.] Ἱέραξ. Ὁμαρτήσειεν.] Ἀκολουθήσαι.

88. Ἔταμνεν.] Ἔκοπτεν.

92. Ἐπιπόνθει.] Ἔπαθεν, ὑπέμεινε.

N O T Æ.

80. Νήγρετος, ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς) *Virgil.* Æn. l. 6. v. 522. *Dulcis & alta Quies, placidaque simillima morti.* Totius *Odysseæ* Allegoria, *Ulysses*, dum Felicitatem veram quærit, quæ per *Ithacam* & *Penelopen* significatur, pluribus excipitur ærumnis. Hujus Socii, per *Libidinem*, *Intemperantiam*, *Temeritatem*, reditu, votis & vitâ mulctati, Patriâ excidunt. Ipse solus evadit, & tandem *Phæacum* ope, longâ in Navi, per mare, in Patriam Dormiens devehitur. *Phæaces*, à φαιὸς, *Ater*, *Lugubris*, sunt illius Exequiarum ministri. *Navis*, tumulus, postea in *Petram* conversa, hoc est *Lapidem Sepulcralem*. *Somnus* illi Mors, cujus ope tandem ad *Felicitatem* migrat.

81. Τετράοροι ἵπποι) Τετράορος, τέτρωρος· παρὰ τὸ ὑρμένειν καὶ ἁρμόζειν τοὺς ἵππους. *Etymolog. M. v.* Τετράοροι) Τέσσαρες ἐπὶ δὲ πεζεύοντος ὑπάρχει σπάνιον. *Hesych.* Τέθριππος, ἀντὶ δὲ, τετράϊππος. Vid. ad *Var. Lect.*

88. Κύματ' ἔταμνεν) *Virgil.* Æn. l. 5. v. 18. — —*Secat æquora.*

NOTÆ IN SCHOLIA.

81. * Ἐζευγμένοι) Pro corrupto ἐξηγμένοι, nec sine MSti auctoritate.

Variæ Lectiones.

75. Ἐβήσετο) γρ. ἐβάσκε, *H. Steph.* vid. ad λ'. v. 12. & suprà, v. 63.

76. Ἔκαστος) γρ. ἵπποι, *H. Steph.*

81. Τετράοροι) γρ. τετράορες, *Eust.* fol. 505. lin. 35.

85. Θῦε) γρ. θῦνε.

86. Ἴρηξ) γρ. ἶρηξ.

Εὖτ'

Εὖτ' ἀστὴρ ὑπέρεχε Φαάνθαλος, ὅς τε μάλιστα
Ἔρχεται ἀγγέλων Φάος Ἠοῦς ἠριγενείης·
Τῆμος δὴ νήσῳ προσεπίλνατο πουλυπόρος τις.
Φόρκυνος δέ τις ἐστὶ λιμὴν, ἁλίοιο γέροντος,
Ἐν δήμῳ Ἰθάκης· δύο δ' ἄκραι ἐσβλῆτες ἐν αὐτῷ
Ἀκταὶ ὑποπρῶτραι, λιμενόσδε τετυκυῖαι·
Αἵ τ' ἀνέμων σκεπόωσι δυσαήων μέγα κῦμα.
Ἐκτοθεν· ἔντοθεν δ' ἄνευθε δεσμοῖο μέτεισι
Νῆες ἐϋσσέλμοι, ὅταν ὅρμου μέτρον ἵκωνται.
Αὐτὰρ ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
Ἄγχοθι δ' αὐτῆς, ἄντρον ἐπήγαιον, ἠερόεν δὲς,
Ἱερὸν νυμφάων, αἳ Νηϊάδες κεκλέονται.
Ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔασι

Quando ſtella exorta eſt lucidiſſima, quæ maximè
Venit nuncians lumen Auroræ manè-genitæ:
Tum jam inſulæ appropinquabat mare-permeans navis.
Phorcynis ſanè quidam eſt portus, marini ſenis,
In agro Ithacæ; duo item projecta in ipſo
Latera abrupta, in portum vergentia:
Quæ à ventis defendunt ſtridentibus magnum fluctum
Ab extra; ab intùs verò ſine vinculo manent
Naves benè-tabulatæ, eàm portûs ſpatium intraverint.
At in vertice portûs paſſis-ramis oliva;
Propeque ipſam antrum amœnum, obſcurum,
Sacrum Nympharum, quæ Naiades vocantur.
Intùs itaque craterèſque & amphoræ erant

ΣΧΟΛΙΑ.

93. Ὑπερίσχυ.] Ἀνέτειλε. Φαάνθαλος.] Λαμπρότατος. * Φωσφόρος· ὃς καλεῖται ὁ ἑωσφόρος ἀστήρ.

94. Ἀγγέλων.] Προμηνύων.

95. Προσεπίλναθο.] Προσεπέλαζεν.

96. Φόρκυνος.] Λιμὴν Ἰθάκης, ἀφ' οὗ λιμένες Φόρκυνές εἰσιν ἱεροὶ, ἢ θαλασσία δαίμων. Ἁλίοιο γέροντος.] Τοῦ Φόρκυνος. Φόρκυνος δέ τις ἐστὶ λιμὴν ἁλίοιο γέροντος. Φόρκυν, δαίμων θαλάσσιος, τὸ σεσηρὸς ἀφτελῶν σοὶς τοῦ * Ἀρυμονίου λεγομένου ἐφ' τοῦ Ἀχαΐας, οἰκῶν τι τὴν Φόρκυνος, ἀπ' αὐτοῦ καλουμένην. Βάσσαι· * κέκτηται φασὶν αὐτὸ, καθελόντα τὰς τείβους πύτνας, ἀφίκεσθαι εἰς τὴν Κεφαλλωνίαν καὶ τίσαι ἐκλελοιπότας ἐπιτήδειον αὐτῷ, σπαῦδα ἄκησιν· λέγει δὲ Ἄμμος, ὁ τίτος. σεσορμήσας εἰς τὸ τοῦ Ἰθάκης λιμένα, ἀξίωσεν αὐτὸν * ἀφ' ἑαυτοῦ σοσκηνεῦσαι. Φόρκυνον· ὁ δὲ ἱστορία παρὰ Ἡροδότῳ.

98. Ἀπορρῶγες.] Διεῤῥωγυῖαι, ἀπὸ τοῦ ἀπὸ μέρους ῥηγνύειν λέγοντος. Πολυπετηνῦσαι.] Ἔστι τετυλυγμέναι.

99. Σκεπόωσι.] Σκέπουσι, καλύπτουσι, σκέπας παρέχουσι. Δυσαήων.] Κακοπνεόντων.

101. Ὅρμου μέτρον.] Ὅταν σοὶς τὸ ὁρμοδόχιμον, ἀφίκωνται τὸ μέτρον, ἢ τὸ ἀναπλήρες τοῦ καθορμιστοῦ ἴκωνται.] Παραγένωνται.

102. Ἐπὶ κρατὸς.] Ἐπὶ τοῦ ἀρχῆς. Τανύφυλλος.] Τεθαμνία φύλλα ἔχουσα, μακρόφυλλος.

103. Ἐπήγαθεν.] Ἐπίκαιον, καλόν. Ἠεροειδὲς.] Μίγα καὶ ἀναπεφαμένον, εὔσκιον.

104. Νυμφάων.] Νυμφῶν. Νηϊάδες.] Ἀπὸ τῆς Νηΐκης ὄρους, ἢ Ναΐδες· νύμφαι εἰσὶ τῶν ὑδάτων.

105. Ἀμφιφορῆες.] Εἴδος κεράμων ἀμφώτων.

NOTÆ.

93. Εὖτ' ἀστὴρ) *Phoſphori* Ortus.

96. Φόρκυνος δέ τις ἐστὶ λιμὴν) *Virgil.* Æn. l. 1. v. 163. *Inſula Portum Efficit, objectu lateruin.* Vid. *Macrob.* l. 5. c. 3. *Turneb.* Adverſar. l. 18. c. 32.

98. Ἀπορρῶγες) Vid. *Etymolog.* M. v. Ἀπορρώξ, & Ἀπέρρωγας.

101. Νῆες ἐϋσσέλμοι) Hanc *veram* in hujuſmodi vocibus & antiquam *Lectionem* paſſim probo. Sic *Iliad.* ε'. v. 725. Χάλκεαι ἐπιστῶλες, σοσσαρκέστατα, θαῦ-μα ἰδέσθαι. Sic *Heſiod. Herc.* ſcut. v. 273. — ἰῦσσέλπεα ἅπ' ἀπήνης. Sic in ἐπισσείω, ἐπισσεύω, ut ad π'. v. 4.

103. Ἀγχόθι δ' αὐτῆς ἄντρον — ἱερὸν Νυμφάων) Imprimis adeundus *Porphyrius*, περὶ ἄντρου Νυμφῶν. & *Euſtath.* fol. 507. lin. 14. Doctor *Stephanus*, ad *Homeri Ogilbaan.* fol. 187. *Spencerus* noſtras Poeta, in Poemate ſuo, *Faiery Queen* dicto, quem accuratè explicat Vir Cl. Ds. *Kenelmus Digby*, in Epiſtolarum Politicarum Cabalâ.

NOTÆ IN SCHOLIA.

93. * Φωσφόρος) Ex *Homero*, χ'. v. 318.

96. * Ἀρυμονίῳ) Ità, pro corrupto Ἀρυπίῳ, lego, ex MSto. in quo tamen malè locatur hoc *Scholion*, ad hujus *Rhapſodiæ* principium, fol. 343. cum locum rectiùs poſtularet hunc, ad fol. 346. Pejus tamen in pluribus *Editionibus* deeſt. Pro κάτω, lego * κέκτω, Senſu ſuffragante. Pro * ἀμφ'. lego ἀφ'.

VARIÆ LECTIONES.

101. Ἐϋσσελμοι) χ. ἰῦσσελμοι, vid. Not. in Textum.

104. Ἱερὸν) γρ. ἱερὸν, *Porphyr.* περὶ νυμφῶν ἄντρων. verùm & hic, & intrà, v. 348. ἱερὸν, in Omnibus.

Λάϊτος

Λάινοι· σὺν δ' ἔπειτα πολυκώπουσι μέλισσαι.
Ἐν δ' ἰσοὶ λίθοισι τετιμένοι, ἔνθα τε Νύμφαι
Φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι.
Ἐν δ' ὕδατ' ἀενάοντα· δύω δέ τέ οἱ θύραι εἰσίν·
Αἱ μὲν τετραμμέναι Βορέαο, καταιβατὰ ἀνθρώποισιν,
Αἱ δ' αὖ τετραμμέναι Νότου, εἰσὶ θεώτεραι· οὐδέ πω εἰνὴ
Ἀνδρὸς ἐσέρχονται, ἀλλ' ἀθανάτων ὁδός ἐστιν.
Ἔνθ' οἵγ' εἰσέλασαν, πολὺ εἰδότες· ἡ μὲν ἔπειτα
Ἠπείρῳ ἐπέλεσεν, ὅσον τ' ἐπὶ ἤμισυ πάσης,
Σπερχομένη· τοίων γὰρ ἐπείγετο χέρσ' ἐρεταόων.
Οἱ δ' ἐν νηὸς βάντες ἐϋζύγου ἤπειρόνδε,
Πρῶτον Ὀδυσῆα γλαφυρῆς ἐν νηὸς ἄειραν,
Αὐτῷ σύν τε λίνῳ, ᾧ ῥήγεϊ σιγαλόεντι,
Καὶ δ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν, δεδμημένον ὕπνῳ.
Ἐκ δ' ὅπλα πάντα ἄειραν, ἃ οἱ Φαίηκες ἀγαυοὶ
Ὦτασαν οἴκαδ' ἰόντι, μετὰ μεγάθυμον Ἀθήνην.
Καὶ τὰ μὲν ἂν προθὶ πυθμένι ἐλαίης ἀθρόα θῆκαν

Lapideæ; ibi verò præterea mellificant apes.
Intùs etiam telæ lapideæ prælongæ, illicque Nymphæ,
Velamina texunt cærulea, mirabile visu.
Intùs quoque aquæ perpetuæ, duæque ei januæ sunt;
Hæ quidem ad Boream permeabiles hominibus:
Illæ autem rursus ad Notum, sunt sanctiores; neque illâc
Viri intrant; sed immortalium via est.
Hùc illi invecti sunt, priùs quàm scirent: hæc quidem postea
Terræ appulit, quantum ad dimidium totius i. e. *dimidiâ sui parte*,
Concitata: talium enim impellebatur manibus remigum.
Hi igitur ex navi egressi benè-transtratâ in terram,
Primum Ulyssem concavâ ex nave sustulerunt,
Ipso cumque lineo, & culcitrâ splendidâ:
Atque in arenâ deposuerunt, captum somno.
Res autem extulerunt, quas Phæaces illustres
Dederant domum eunti, propter magnanimam Minervam.
Et has quidem porrò apud radicem olivæ cumulatas posuerunt

Σ Χ Ο Λ Ι Α.

106. Τιθαιδώσασιν.] Ἀποπέμπουσι τὴν βόαν, ὅ ἐστι τὸ μίλι· οἷον ἡσυχίζουσι τὰ κηρία, ἐκ * πεποτηφόσι. Εὖ σωιζόμενα μίλια.

107. Λίθοισι.] Λίθινοι.

109. Ἀενάοντα.] Ἀεὶ ῥέοντα.

110. Καταιβατὰ ἀνθρώποισι.] Βάσιμοι, δι' ὧν καταίβασίς ἐστιν ἀνθρώποις.

111. Θεώτεραι.] Θειότεραι, δι' ὧν μόνοι θεοὶ εἰσέρχονται.

116. Βάντες.] Ἐκβάντες, ἐξελθόντες. Ἐϋζύγου.] Εὐ σωιζόμενα.

117. Ἄειραν.] Ἐκόμισαν.

119. Καὶδ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν.] Οὐ λελήθασιν αὐτὸν, παρὰ δὲ μὴ δοκεῖν χάριν τῆς παροιμιώδους ἀπειπεῖν· ἢ ἵνα μὴ καθαιρεθῶσιν ὑπ' αὐτοῦ ἢ ὅτις φόνον ἐμήσησεν αὐτῷ τὰ ἑξῆς· ἀνήγετο γὰρ ὑπὸ τῆ μητρυιᾶ, φασὶ, καλῶν.

122. Πυθμένα.] Ῥίζαν.

N O T Æ.

108. Φάρε' ὑφαίνουσιν — θαῦμα ἰδέσθαι) Ità *Psalm.* 139. v. 13. 14. &c. Φοβερῶς ἐθαυμάσθην ἐγὼ καὶ ἐνδόξως.

110. Ἃ μὲν ἔπειτα Βορέαο καταιβατὰ ἀνθρώποισιν) Huc refer illud *Orphei*, Ἀντολίη τε, Δύσις τε, θεῶν ὁδοὶ ἀμφιπολεύων, *Euseb.* Præparat. Evangel. l. 3. c. 9. Per *Capricornum* fingunt *Platonici*, *Animas Corpore solutas*, *in Cœlum* ascendere. De quâ re vid. *Cœl. Augustin. Curionem*, in Hieroglyph. apud *Pierium*, fol. 436. F. & Epistol. Dr. *Fryar*, VIII. fol. 421. Verùm ex ipsis *Platonicis* contrarium profert *Cœl. Rhodigin.* Antiqu. Lect. l. 15. c. 23. Scribunt, inquit, *Platonici*, & in Naturalibus non prætermisit *Macrobius*, *Capricornum*, *Cancrumque* dici à *Physicis*, *Solis Portas*. Quià in utroque obviante Solstitio, ulteriùs Solis inhibeatur accessus. Per has item Portas, Animas de Cœlo in Terras meare, rursumque de Terris Cælestia repetere; proindeque *Hominum* Unam dici, alteram *Deorum*. *Hominibus* dicari *Cancrum*, quia per hunc fiat ad ima defluxus; *Diis* verò *Capricornum*, quià illac post liminiò Cælestibus Animæ restituantur sedibus, *&c. Mox*, Adde, quòd *Boream* tradunt Generationi percommodum; quo fit, ut Morientes Spiritu credatur excitare, *&c.* quibus ultimis verbis alludit ad locum *Iliad. ε'.* v. 697. ubi *Sarpedon* ex deliquio recreatur, à *Boreâ*.

NOTÆ IN SCHOLIA.

106. * Πεποτηφόσι) Ità emendo, pro *Schrevelii* corrupto πεποτοφόσιν, ex MSto *Aloysii*, *Aldinâ*, *Morrhii* & *Bedroti* Edittt.

VARIÆ LECTIONES.

109. Ἀενάοντα) γρ. αἰενάοντα, *H. Steph.*

115. Τοίων) γρ. τῶν, *H. Steph.*

Ἐκτὸς

Ἐκτὸς ὁδῦ, μή πού τις ὁδιζάων ἀνθρώπων,
Πρίν γ' Ὀδυσῆ ἔγρεσθαι, ἐπελθὼν δηλήσαιτο.
Αὐτοὶ δ' αὖτ' οἰκόνδε πάλιν κίον· ὐδ' Ἐνοσίχθων
Λήθεν ἀπφλάων, τὰς ἀντιθέῳ Ὀδυσῆϊ
Πρῶτον ἐπιπτείλησε· Διὸς δ' ἐξείρετο βουλήν,
Ζεῦ πάτερ, οὐκέτ' ἔγωγε μετ' ἀθανάτοισι Θεοῖσι
Τιμήεις ἔσομαι, ὅτε μὲ βροτοὶ οὔτι τίουσι
Φαίηκες, τοί πέρ τοι ἐμῆς ἐξ εἰσὶ γενέθλης.
Καὶ γὰρ νῦν Ὀδυσῆα φάμην κακὰ πολλὰ παθόντα
Οἴκαδ' ἐλθέσθαι· Νόστον δέ οἱ οὔποτ' ἀπηύρων
Πάσχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο, καὶ κατένευσας.
Οἱ δ' εὕδοντ' ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
Κάτθεσαν εἰν Ἰθάκῃ, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
Χαλκόν τε, χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν,
Πολλ', ὅσ' ἂν οὐδέ ποτε Τροίης ἐξ ἤρσε Ὀδυσσεύς,
Εἴπερ ἀπήμων ἦλθε, λαχὼν σὺν λητίδος αἶσαν.
Τόνδ' ἀπαμφθόμενος προσέφη νεφεληγερέτα Ζεύς,
Ὤ πόποι, Ἐννοσίγαι' εὐρυσθενές, οἷον ἔειπες;
Οὔτι σ' ἀπειλέουσι Θεοί· χαλεπὸν δέ κεν εἴη
Πρεσβύτατον καὶ ἄριστον ἀπειλήσιν ἀέλλαν.
Ἀνδρῶν δ' εἴπερ τίς τε βίῃ καὶ κάρτεϊ εἴκων
Οὔτι πέει, σοὶ δ' ἔστι καὶ ἐξοπίσω τίσις αἰεί.
Ἔρξον, ὅπως ἐθέλῃς, καί τοι φίλον ἔπλετο θυμῷ.

Extra viam; ne aliquis viatorum hominum.
Antequam Ulysses expergisceretur, offendens violaret.
Ipsique adeò retrò domum *versus* redierunt: neque Neptunus
Oblitus est minarum, quas divino Ulyssi
Priùs minatus erat: Jovis tamen *prius* rogavit sententiam,
" Jupiter pater, non ampliùs ego in immortalibus Deis
" Honoratus ero, quandò me mortales minimè honorant
" Phæaces, qui tamen meo orti sunt ex genere.
" Etenim nunc Ulyssem dicebam mala multa passum
" Domum iturum; reditum verò illi nunquam eripui
" Omninò, quoniam tu primùm promisisti, & annuisti.
" Hi autem dormientem in navi veloci in pontum ducentes
" Deposuerunt in Ithacâ, dederuntque ei ingentia dona,
" Æsque, aurúmque multum, vestémque textam,
" Multa, quot nunquam Trojâ extulisset Ulysses;
" Si incolumis venisset sortitus de prædâ portionem.
Huic respondens affatus est nubicogus Jupiter:
" Vah! Neptune late-potens, quale dixisti?
" Non te despiciunt Dii; difficile etenim esset
" Maxime-seniorem, *post Jovem*, & optimum ignominiâ prosequi.
" Virorum autem si quis te vi & robore cedens
" Non colit, tibi est & posthac ultio semper:
" Fac, ut vis, & tibi jucundum est animo.

ΣΧΟΛΙΑ.

123. Ὁδιτέων.] Ὁδοιπόρων.
124. Ἔγρεσθ.] Ἀναστῶσι. Δηλήσαιθ.] Βλάψειε αὐτὸ ἢ ἀφέλῃ).
129. Τιμήεις.] Τίμιος. Τίουσι.] Τιμῶσιν.
130. Ἐμῆς ἔξεσι γενέθλης.] Ἐν ᾗδε ταῦτα· ὁ γὰρ Φαίαξ, Ποσειδῶνος καὶ Κορκύρας, τοῦ Ἀσωποῦ.
132. Ἀπηύρων.] Αὐτὶ τοῦ, ἀφειλόμην.
133. Ἐπὶ σὺ πρῶτον.] Χρονικῶς.
136. Ἄλις.] Ἱκανῶς.
137. Ἐξήρεαντο.] Ἐξαίρετα ἔλαβεν.
142. Πρεσβύτατον.] Ἐνημόταται· * ἢ μᾶλλον τὸν Δία· ἀλλαχοῦ γὰρ λέγει, Ἀλλὰ Ζεὺς πρεσβύτερος καὶ μητίετα. Ἄριστον.] Δυνατώτατον. Ἰθέμεν.] Περιβαλέσθαι, ἀδύνατα, ἀκατόρθωτον.
143. Βίῃ καὶ κάρτει εἴκων.] Νικώμενος ὑπὸ τοῦ ἰσχυροτέρου βίας, καὶ τοῦ ἰσχύος· ὥστε λέγει τοῦτο ἐξυβρίζειν.
144. Τίει.] Τιμᾷ.

NOTÆ.

130. Ἐμῆς ἔξεσι γενέθλης) Hæc potior *Scriptio*, quàm ἐμῆς ἔξεισι, quod sæpe notamus. Vid. ad α'. v. 406.
136. Ἄλις, ἐσθῆτά θ' ὑφαντήν) Vid. supra, ad v. 51.

NOTÆ IN SCHOLIA.

132. Ἀπηύρων) Hoc *Scholion* malè ad præcedens jungebatur. in Priscis. Ἀπήυρων, *Aldin.*
142. Voces, * ἢ μᾶλλον τὸν Δία, Addo. * Γειγάνει) Ità pro ἰγειγάνει, ex ipso *Homero*, *Iliad.* υ'. v. 355.

VARIÆ LECTIONES.

130. Ἐξ εἰσὶ) γρ. ἔξεισι, vid. Not. in *Textum*.
132. Ἀπηύρων) γρ. ἀπῆυρον, *Br. Schol.* & *H. Steph.*
137. Τρίπος ἐξ ἤρατ') γρ. Τρίπος ἐξήρατ', vid. suprà, ad v. 130.

Τόνδ' ἠμείβεθ' ἔπειτα Ποσειδάων ἐνοσίχθων,
Αἰψά κ' ἐγὼν ἔρξαιμι, Κελαινεφὲς, ὡς ἀγορεύεις·
Ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι, ἠδ' ἀλεείνω.
Νῦν αὖ Φαίηκων ἐθέλω θοὴν ἀλλέα νῆα
Ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέϊ πόντῳ
Ῥαῖσαι· ἵν' ἤδη σχῶν, ἀπολήξωσι πομπῆς
Ἀνθρώπων· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.
Τόνδ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς,
Ὦ πέπον, ὡς μοὶ ἐμῷ θυμῷ δοκεῖ εἶναι ἄριστα,
Ὁππότε κεν δὴ πάντες, ἐλαυνομένῃσι προσηδών,
Λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης
Νηῒ θοῇ ἴκελον, ἵνα θαυμάσσωσιν ἅπαντες
Ἀνθρωποι· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
Βῆ ῥ' ἴμεν ἐς Σχερίην, ὅθι Φαίηκες γεγάασιν,
Ἔνθ' ἔμενε· νὴ δὲ μάλα σχεδὸν ἦλυθε πουλυπόρος νηῦς
Ῥίμφα διωκομένη· τὴν δὲ σχεδὸν ἦλθ' ἐνοσίχθων,
Ὃς μιν λᾶαν ἔθηκε, καὶ ἐρρίζωσεν ἐνερθε,
Χειρὶ καταπρηνεῖ ἐλάσας· ὁ δὲ νόσφι βεβήκει.
Οἱ δὲ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον
Φαίηκες δολιχήρετμοι ναυσίκλυτοι ἄνδρες·
Ὥδε δέ τις εἶπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Ὤμοι, τίς δὴ νῆα θοὴν ἐπέδησε κατὰ πόντον,

Huic respondit postea Neptunus quassator-terræ,
" Statim utique ego fecero, Nubium-coactor, sicut dicis:
" Sed tuum semper animum observo, & vereor.
" Nunc itaque Phæacum volo perpulchram navem
" Ex Deductione redeuntem in nigro ponto
" Perdere (ut jam abstineant, desistantque à deductione
" Hominum) magnumque ipsis montem urbi imponere.
Huic respondens affatus est nubicogus Jupiter,
" O Chare, sic quidem meo animo videtur esse optimum,
" Cùm jam omnis incitatam intuebitur
" Populus ab urbe, tum facere lapidem prope terram
" Navi velocis simílem, (ut admirentur omnes
" Homines) magnum autem ipsis montem urbi circumdare.
At postquam hoc audivit Neptunus quassator-terræ
Ingressus est iter in Scheriam, ubi Phæaces erant,
Illic ut esset, vel, ibi manebat: at valdè propè venit navigatrix navis
Celeriter remigando-acta; hanc igitur pe venit Neptunus,
Qui ipsam lapidem fecit & radicavit internè,
Manu pronâ feriens; hic verò recessit.
Alii inter se verba velocia loquebantur
Phæaces longorum-remorum navibus-inclyti viri:
Sic itaque aliquis dixit intuens in propinquum alium,
" Heu, quisnam navem velocem ligavit in ponto,

Σ Χ Ο Λ Ι Α.

118. Ὀπίζομαι.] Φυλάττομαι, αἰδέομαι, εὐτρέπομαι.
150. Ἀνιοῦσαν.] Ἀνερχομένην.
151. Ῥαῖσαι.] Διαφθεῖραι. Σχὼν.] Ἀπέχων. κωλύσωσιν. Ἀπολήξωσι.] Παύσωνται.
157. Θαυμάσσωσιν.] Ὁρῶντες ἐκπλήττωνται.
163. Ἐρρίζωσεν.] Ἀκίνητον ἐποίησεν.
164. Καταπρηνεῖ.] Καταπεφαμμένῃ. Ἐλάσας.] Τύψας, κρούσας.
168. Ἔπεδησεν.] Κατέσχεν, ἐνεπόδισεν.

N O T Æ.

157. Θαυμάσσωσιν) Ità, pro θαυμάσσωσιν, scribo; de quâ re mox, ad v. 184. *Aldina* tamen *Scholia* legunt θαυμάζωσιν, ut & Editio *Morrhii* & *Bedroti*. *Johannis Selleni* Illustrationes, in *Michaelis Draytoni* Polyolbion, Cant. 3. fol. 49. & 50. ubi & de *Stonehenge*.
163. Ὅς μιν λᾶαν ἔθηκε) Præter Interpretes, vid.

NOTÆ IN SCHOLIA.

168. * Ἐνεπόδισεν) Pro corrupto, ἐνεπόδησεν.

VARIÆ LECTIONES.

147. Κελαινεφὲς) γρ. διοτρεφὲς, ut *Br. Schol.* ad *Iliad.* ι'. v. 534.
151. Ἀπολήξωσι) γρ. ἀπολίξωσι.
157. Θαυμάσσωσιν) γρ. θαυμάσωσιν, malè; θαυμάζωσιν, melius; vid. Not. in *Textum*.
161. Ἔμεν) γρ. ἴμεν', pro ἴμεναι, ut sit Sensus, *Ibi expectabat*, &c.

Οἴκαδ'

Οἶκαδ' ἐλαυνομένην; ἡ δὴ πρὸφαίνετο πᾶσα.
Ὡς ἄρα τις εἶπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπεν,
Ὦ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει
Πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
Ἡμῖν, ὕνεκα πομποὶ ἀπήμονες εἰμὲν ἁπάντων.
Φῆ ποτε Φαιήκων ἀνδρῶν θοὴν ἀλλέα νῆα
Ἐκ πομπῆς ἀνιοῦσαν ἐπὶ ἠεροειδέϊ πόντῳ
Ῥαισέμεναι, μέγα δ' ἦμιν ὄρος πόλει ἀμφικαλύψαι.
Ὣς ἀγόρευ' ὁ γέρων· τάδε δὴ νῦν πάντα τελεῖται.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
Πομπῆς μὲν παύσασθε βροτοῖσι, ὅτε κέν τις ἵκηται
Ἡμέτερον πρὸς ἄστυ· Ποσειδάωνι δὲ ταύρους
Δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ,
Μήδ' ἡμῖν περίμηκες ὄρος πόλει ἀμφικαλύψῃ.
Ὣς ἔφατ'· οἱ δ' ἔδδεισαν, ἑτοιμάσαντο δὲ ταύρους·
Ὡς οἱ μὲν ῥ' εὔχοντο Ποσειδάωνι ἄνακτι
Δῆμοι Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἑστάότες περὶ βωμόν· ὁ δ' ἔγρετο δῖος Ὀδυσσεύς,
Εὕδων ἐν γαίῃ πατρωίῃ, οὐδέ μιν ἔγνω,
Ἤδη δὴν ἀπέων· περὶ γὰρ θεὸς ἦέρα χεύεν,

" Domum verùs incitatam? & jam apparebat tota.
Sic utique quis dixit; hæc autem non intelligebat, quomodo facta essent.
His Alcinous concionatus est, & affatus,
" Dii Boni! Certè me valdè nunc antiqua Vaticinia attingunt
" Patris mei, qui dixit Neptunum iratum fore
" Nobis, quoniam Deductores innocui sumus omnium:
" Dixit aliquando Phæacum virorum perpulchram navem
" Ex Deductione redeuntem in nigro ponto
" Perditurum, magnúmque nobis montem urbi impositurum.
" Sic dixit senex, hæc autem jam nunc omnia perficiuntur:
" Sed agè, sicut ego dicam, parete omnes.
" Deductionem quidem omittite hominum, cùm forte quis veniat
" Nostram ad civitatem; Neptunoque tauros
" Duodecim electos sacrificemus, si misereatur.
" Neque nobis ingentem montem urbi imposuerit.
Sic dixit; hi autem metuerunt, paraverunt tamen tauros.
Sic hi quidem supplicabant Neptuno regi
Populi Phæacum duces & curatores,
Stantes circùm altare. Excitatus est autem divinus Ulysses,
Recubans in terrâ patriâ, neque ipsam cognovit,
Jam diù temporis: circùm enim Dea nubem fudit,

ΣΧΟΛΙΑ.

169. Πρὸφαίνετο.] Προφανὴς ἦν.
170. Οὐκ ἴσαν.] Οὐκ ᾔδεισαν.
173. Ἀγάσασθαι.] Ἄγαν ὀργισθῆναι.
182. Κεκριμένους.] Ἐπιλέκτους.
183. Περίμηκες.] Μέγα. Ἀμφικαλύψῃ.] Περικαλύψῃ.
185. Ὡς οἱ μὲν ῥ' εὔχοντο.] Καλῶς τὸ σιωπώμενον ἐφανίσθησαν· τὸ γὰρ κυρωθῆναι ὑπὸ θεῶν, ἐξ ἀνάγκης πληρῶται.
189. Ἀπέων.] Ἀπὼν, ἀποδημῶν. Χεῦεν.] Κατέχεεν.

NOTÆ.

170. Ὡς ἄρα τις εἶπεσκε) Vid. ad *Iliad.* β'. v. 271.
177. Μέγα δὲ ἦμιν ὄρος) De retracto Circumflexo, vid. ad *Anacreon*, v. 903. & ad *Sophocl.* Ajac. v. 748.
184. Ἑτοιμάσαντο δὲ ταύρους) Ubi *Vocalis*, ante *simplex* σ', corripitur *Naturâ*, σ', *duplicandum* censeo, ut in hâc voce, *Iliad.* τ'. v. 197. Κάπεσον ἑτοιμοσάντες παμείειν Διΐ τ', Ἠελίῳ τε. Et *Iliad.* α'. v. 118. Αὐτὰρ ἐμοὶ γέρας αὐτὸς ἑτοιμασάσθω, ὅττι μὴ οἶος. Quare ubi eadem *Syllaba* producenda, ex necessitate geminatur Litera; ut *Iliad.* κ'. v. 571. Θῆκε Ὀδυσεὺς, ὅπρ' ἱερὸν ἑτοιμασσαίατ' Ἀθήνῃ. Et hoc in Optimis & Vetustissimis *Iliados Exemplaribus*; quare & hic fiat idem, ob eandem causam; ut & suprà. v. 157. & aliàs.
188. Πατρωίῃ) In Pluribus olim πατρώῃ, at cùm *Homerus* Incontractis libentius utatur, & rotundius ità sonet Metrum, πατρωίῃ scribendum duximus, alterâ *Lectione*, in *Variis* reservatâ, ut & mox, v. 251.

VARIÆ LECTIONES.

173. Ἀγάσασθαι) κ. ἀγάσεσθαι, & *Futurum* designatur.
184. Ἑτοιμάσαντο) κ. ἑτοιμάσατο, vid. Not. in *Textum*.
188. Πατρωίῃ) κ. πατρώῃ, vid. Not. in *Textum*.

Παλλὰς Ἀθηναίη, κούρη Διός· ὄφρα μὲν αὐτὸν
Ἄγνωστον τεύξειεν, ἕκαστά τε μυθήσαιτο·
Μή μιν πρὶν ἄλοχός γε νοήσῃ, ἀστοί τε, φίλοι τε,
Πρὶν πᾶσαν μνηστῆρσιν ὑφαασθῆναι ἀποτῖσαι.
Τοὔνεκ' ἄρ' ἀλλοιοίδεα φαινέσκετο πάντα ἄνακτι,
Ἀτρεμπιοί τε διηνεκέες, λιμένες τὲ πάνορμοι,
Πέτραι τ' ἠλίβατοι, καὶ δένδρεα τηλεθόωντα.
Στῆ δ' ἄρ' ἀναΐξας, καὶ ῥ' εἰσίδε πατρίδα γαῖαν·
Ὠΐμωξέν τ' ἄρ' ἔπειτα, καὶ ὡ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσ'· ὀλοφυρόμενος δ' ἔπος ηὔδα,
Ὤ μοι ἐγὼ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
Ἦ ῥ' οἵγ' ὑβρισταί τε, καὶ ἄγριοι, οὐδὲ δίκαιοι,
Ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
Πῇ δὴ χρήματα πολλὰ φέρω τάδε; πῇ δὲ καὶ αὐτὸς
Πλάζομαι; αἴθ' ὄφελον μεῖναι ταῦθι Φαιήκεσσιν
Αὐτοῦ· ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων
Ἐξικόμην, ὅς κέν μ' ἐφίλησε καὶ ἔπεμπε νέεσθαι.
Νῦν δ' οὔτ' ἄρ πη θέσθαι ἐπίσταμαι, οὐδὲ μὲ αὐτοῦ
Καλλείψω, μήπως μοὶ ἕλωρ ἄλλοισι γένηται.
Ὤ πόποι, ὄντ' ἄρα πάντα νοήμονες, ἠδὲ δίκαιοι
Ἦσαν Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
Οἵ μ' εἰς ἄλλην γαῖαν ἀπήγαγον· ἦτέ μ' ἔφαντο
Ἄξειν εἰς Ἰθάκην εὐδείελον· οὐδ' ἐτέλεσσαν.
Ζεὺς σφέας τίσαιτο ἱκετήσιος, ὅς τε καὶ ἄλλους

Pallas Minerva, filia Jovis, ut illum ipſum
Ignotum faceret, ſingulaſque profaretur:
Ut non ipſum ante uxor cognoſceret, civéſque, amicique,
Quàm omnem procis intemperiem rependeret.
Propteres variata videbantur omnia regi,
Viæque perpetuæ, portúſque conteſti.
Petræque altæ & arbores virescentes.
Stetit igitur ſurgens, & inſpexit, patriam terram,
Plevisque poſtea, & ſua percuſſit femora,
Manibus dejectis, lugenſque locutus eſt.
" O ego, quorumnam rurſus hominum in terram venio?
" Nunquid injuriosique & crudeles, neque juſti?
" An hoſpitales, & ipſis mens eſt ſancta?
" Quò jam res multas porto has? quò autem & ipſe
" Erro? utinam manſiſſem apud Phæaces
" Illic; ego utique ad alium magnanimorum regum
" Perveniſſem, qui me dilexiſſet, & comites dediſſet ad revertendum.
" Nunc autem neque uſquam ponere ſcio, neque itidem illic
" Relinquam, ne quandò mihi præda aliis fiat.
" O Dii; Papæ! non enim omnia intelligentes, neque juſti
" Erant Phæacum duces & curatores,
" Qui me in aliam terram abduxerunt: namque me dicebant
" Ductum iri in Ithacam claram; neque perfecerunt.
" Jupiter ipſos ulciſcatur ſupplicum vindex, qui & alios

Σ Χ Ο Λ Ι Α.

191 Ἄγνωστον.] Ἀφανῆ.
192. Γνοίη.] Ἴδοι, ἢ ἐπιγνῷ. Ἀστοί.] Οἱ πολῖται.
193. Ὑπερβασίῃσι.] Ὕβρεσιν. Ἀποτῖσαι.] Ἀποδῶναι.
194. Ἀλλοιοίδεα.] Ἀλλοῖα. Φαινέσκετο.] Ἐφαίνετο.
195. Ἀτρεμπιοί.] Αἱ μὴ ἔχουσαι ἐπιστροφὴν ὁδοῦ. Διηνεκέες.] Μακραί. Πάνορμοι.] Σκέπην ἔχουσαι πάντες ἀνίμου.
196. Τηλεθόωντα.] Ἄγαν θάλλοντα.

N O T Æ.

193. Ἀποτῖσαι) *Penultima* hujus Vocis, in *Infinitivo*, Naturâ longâ, quare *Circumflecto*, ut μ'. v. 378.
194. Τοὔνεκ' ἄρ' ἀλλοιοίδεα φαινέσκετο) *Incontractim* ἀλλοιοίδεα *Scribendum*, verùm in *Scanſione*, quaſi ἀλλοίδη ſcriberetur, conſiderandum. Vid. ad β'. v. 346. & infrà, ad v. 200.

NOTÆ IN SCHOLIA.

204. Πλάζομαι) γρ. πλάγχομαι, Editio *Aldina*.

204. Πλάζομαι.] Πλανῶμαι. Αἴθ' ὄφελον μεῖναι.] Τὰ χρήματα ἀλλοτέρα.
206. Ἐξικόμην.] Ἱκέτευσα.
207. Θέσθαι.] Θεῖναι, κατθέσθαι.
208. Καλλείψω.] Καταλείψω. Ἕλωρ.] * Ἔγκύρημα.
212. Οὐδ' ἐτέλεσσαν.] Οὐκ ἐπλήρωσαν.
213. Ἱκετήσιος.] Ἱκετῶν ἐπόπτης.

200. Ὤ μοι ἐγὼ· τέων αὖτε βροτῶν) Τὸ τέων Scribendum διυλιζόμενον, verum Legendum μετουσιαζόμενον, quaſi τοῦ, & ponitur pro τινῶν, *Interrogativè*. Vid. ſuprà, ad v. 194.
213. Ζεὺς σφέας τίσαιτο ἱκετήσιος) An, Ζεὺς σφέας τίσαιτ' ἀφ' ἱκετῶν;

208. * Ἔγκύρημα) Ità, pro ἔγκυρμα, ex *Aldinâ* MS. κύρημα enim & ἔγκυρμα, *Poeticæ* ſunt.

Ἀν-

Ἀνθρώπους ἐφορᾷ, ἠδ' ὅστις ἁμάρτῃ,
Ἀλλ' ἄγε δὴ καὶ χρήματ' ἀριθμήσωμεν, ἰδώμεθα,
Μή τί μοι οἴχωνται κοίλῃσ' ἐπὶ νηὸς ἄγοντες.
Ὡς εἰπὼν, τρίποδας θ' ἁλιμάλλους, ἠδὲ λέβητας,
Ἠείρατο, ἠδὲ χρυσὸν, ὑφάσματά τε εἵματα καλά·
Τῶν μὲν ἄρ' ἔπι πόσσι· ὁ δ' ὀδύρετο πατρίδα γαῖαν,
Ἐρπύζων παρὰ δῖνα πολυφλοίσβοιο θαλάσσης,
Πόλλ' ὀλοφυρόμενος· χεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
Ἀνδρὶ δέμας εἰκυῖα νέῳ, ὀπιδώτορι μήλων,
Παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν,
Δίπτυχον ἀμφ' ὤμοισιν ἔχων εὐεργέα λώπην·
Ποσσὶ δ' ὑπαὶ λιπαροῖσι πέδιλ' ἔχε, χερσὶ δ' ἄκοντα·

" Homines inspicit, & plectit, quicunque peccat.
" Verùm agè jam res numeremus, & videamus,
" Ecquid mihi *surreptum* discesserint concavâ in navi ferentes.
Sic dicens tripodas purpulchros & lebetes
Numerabat, & aurum, textásque vestes pulchras;
Horum quidem nihil desiderabat: hic tamen lugebat patriam terram,
Perreptans juxtà littus personantis maris,
Multum plorans; at propè eum venit Minerva,
Viro corpore similis juveni, pastori ovium,
Permolli, qualesque regum filii sunt,
Duplicem circa humerum habens pulchram vestem;
Pedibus verò sub teneris calceos habebat, manúque jaculum.

Σ Χ Ο Λ Ι Α.

214. Τίνυ.] Τιμωρεῖται.

215. Ἀλλ' ἄγε δὴ καὶ χρήματα.] Ἵνα τὸν γνώμονα * αὐτῶν Φαιάκων καθομολογήσῃ· εἰ γὰρ μηδὲν ἔλειπε τῶν χρημάτων, ψευδὴς ἦν τὸ εἰς ἀπιστείαν γλῶ αὐτὸν ἀφιγμένα· ἢ πιστεύῃ ὃ τῷ δίσμῳ τῆς Κίρκης, ὅτι λέλοιπε τὸν ἕκπλεξιν, ἢ οἰηθεὶς μεμηχανῆσθαι αὐτὸς τὸν δίσμον.

216. Οἴχωνται.] Ἀπολωλέκασι. Ἄγοντες.] Ἀπάγοντες.

217. Περικαλλέας.] Ἄγαν εὐπρεπεῖς.

219. Πόθῳ.] * Ἐζήτει. Ὀδύρετο.] Ἀπωλαμέτο.

220. Ἑρπύζων.] Καθὸ τὸν αὐτὸν τόπον ἀναστρεφόμενον· ἢ ἕρπων, ἢ βαδίζων.

222. Ἐπιβώτορι.] Νεωτέρῳ. Ἐπιβώτορι μήλων.] Ποιμενικῷ, ἀπὸ τῶν βοσκημάτων τιθεμένῳ.

223. Παναπάλῳ.] Τοιούτῳ ὁμοίωται αὐτὸς τὸ ἁρμοῦσαν τῇ Ὀδυσσείᾳ· ὅθεν καὶ ἐπιφέρει, Ὀδυσσεὺς γήθησεν· παναπάλῳ ὄν, ἀπαλῷ. Οἷοί τε ἀνάκτων παῖδες ἔασι.] Τὸ παλαιὸν καὶ οἱ τῶν βασιλέων παῖδες * παναπάλοι ὑπελαμβάνοντο, καὶ ἁπαλόμαστοι.

224. Δίπτυχον.] Ἀντὶ τοῦ, διπλοῦν. Λώπην.] Ἱμάτιον, ὅτου τὸ βλαβόλαιον· ἔνθεν καὶ λωποδύτης, ὁ τοῦτον ἀφαιρούμενος, λῃστής.

225. Ἔχε.] Ὑπεδέχετο.

N O T Æ.

222. Ἐπιβώτορι) Videtur *Hesychius* ἐπιβήτορι legisse, qui ità exponit, Ἐφιππασῆς· οἱ γὰρ τῶν βασιλέων υἱοὶ σχῶντον ἐπὶ τῶν κελῶν ἱππεύειν ἐμάνθανον. Vid. *Petri Victorii* Var. Lect. l. 8. c. 9. *Johan. Meursius* ad *Lycophron.* v. 91. Rectè docet, Regium esse Antiquitus pecora pascere, ubi tamen *Scholia* non rectè movet, ut probamus in Notis ad *Scholia*, v. 223.

223. Οἷοί τε) Haud rarò *Phrasis*, οἷός τε, & οἷός τε εἰμὶ, dicitur elegantèr, pro δύναμαι, nunc simplicitèr, pro ὡς οἷον, vel οἷοί δὴ, quod Observandum.

224. Εὐεργέα λώπην) Præter *Br. Schol.* vid. quæ Nos ad *Anacreon.* v. 1267. & v. 1272.

N O T Æ IN S C H O L I A.

215. * Αὐτῶν Φαιάκων) Pro αὐτῷ scribo αὐτῶν, ex MSto. & Φαιάκων addo, Lectoris causâ. Hunc locum alludit & explicat *Eustath.* fol. 513. lin. 7. Ἐθέλῃ Ὀδυσσεὺς ποιήσειν τοῦτο, ὡς σμικρολογούμενον, ἀλλὰ τελειομερούμενον, τοῦτο σημεῖον ἐστὶν, περιζώμενον· εἰ γὰρ μηδὲν τῶν χρημάτων ἐλείπετο, ἐδόκει ἄρα εἰς ἀπιστείαν γλῶ αὐτὸν καταλαμβάνειν· ἐπεὶ δὲ ἄλλως δὴ εἰπὼν, οἱ φίλοι τὰ χρήματα ἔπλασαν, ἐδόκει ἄρα εἰς Ἰθάκην αὐτὸν ἄγαγειν. Οὐ πιστεύῃ ὃ, φασὶν, ἐδὲ τῷ τῆς Κίρκης δίσμῳ αὐτὸς βεβλεμένος ὅτι, ὡς ἡ Δῆλος τὸν ἄγαν ἔκπλεξιν ἐκπεφευγὼς ὢν σκέψασθαι αὐτὸν, ἢ καὶ ὡς εἰκὸς, οἰηθεὶς τοὺς Φαιάκας μεμηχανῆσθαι αὐτὸς τὸ τοιοῦτον δισμόν.

219. * Πόθῳ) Ἐζήτει· Ὀδύρετο) Ἀπωλαμέτο. Olim malè, Πόθῳ) Ἀπωλαμέτο. MS. Ἀπωζήτῃ. Cætera ex *Textu*.

222. Ἐπιβώτορι) Vid. Not. in *Textum*.

223. Παναπάλῳ) *Meursius* legit παναπάλῃ, satis subtilitèr; quam *Lectionem*, propter sequens ἐπαίμαστον, *Veram* aliquis putârit; nisi Poeta ipse * παναπάλοι legendum ostendisset, illaque Vox sola per *Versum* stare posset. Vid. Not. in *Textum*.

V A R I Æ L E C T I O N E S.

214. Τίνυ) γρ. τίννυ.

222. Ἐπιβώτορι) γρ. ἐπιβήτορι, vid. Not. in *Textum*.

223. Παναπάλῳ) γρ. παναπάλῃ, vid. Not. in *Scholia*.

225. Χερσὶ) γρ. χερσὶ, *H. Steph.*

Τιμῶ δ'

Τὴν δ' Ὀδυσεὺς γήθησεν ἰδὼν, ᾗ ἀντίος ἦλθε,
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα,
Ὦ φίλ', ἐπεί σε πρῶτα κιχάνω τῷδ' ἐνὶ χώρῳ,
Χαῖρέ τε, καὶ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις·
Ἀλλὰ σάω μὲ ταῦτα, σάω δ' ἐμέ· σοὶ γὰρ ἔγωγε
Εὔχομαι, ὥς τε θεῷ, καὶ σοὶ φίλα γούνατ' ἰκάνω.
Καί μοι ταῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Τίς γῆ; τίς δῆμος; τίνες ἀνέρες ἐγγεγάασιν;
Ἦ πού τις νήσων θυδειελάων, ἦέ τις ἀκτὴ
Κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο;
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Νήπιος εἶς, ὦ ξεῖνε, ἢ τηλόθεν εἰλήλουθας,
Εἰ δὴ τήνδε γε γαῖαν ἀνείρεαι· οὐδέ τι λίην
Οὕτω νώνυμός ἐστιν· ἴσασι δέ μιν μάλα πολλοί,
Ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ', ἠέλιόν τε,
Ἠδ' ὅσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα.
Ἦτοι μὲν τρηχεῖα, καὶ οὐκ ἰπποβότος ἐστὶν,
Οὐδὲ λίην λυπρὴ, ἀταρ οὐδ' εὐρεῖα τέτυκται.
Ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, ἐν δέ τε οἶνος
Γίγνεται· αἰεὶ δ' ὄμβρος ἔχει, τεθαλυῖά τ' ἔέρση.

Hanc Ulyſſes lætabatur conſpicatu
& obvius venit,
Et ipſam compellans verbæ velocia
locutus eſt;
" O amice, poſtquam te primùm in-
venio hoc in loco,
" Salve, & neutiquam mihi malo ani-
mo occurreris.
" Sed ſerva hæc, ſerva etiam me, tibi
enim ego
" Supplico, tanquam Deo, & ad tua
chara genua accedo.
" Et mihi hæc dic verè, ut certò
ſciam,
" Quæ terra? quis populus? qui viri
inſunt?
" Num qua inſularum amœna? an ali-
quod littus
" Jacet ad mare vergens fertilis con-
tinentis?
Hunc contrà affata dea cæſia-oculis
Minerva:
" Stultus es, ò hoſpes, aut longè veni-
ſti;
" Siquidem hanc terram interrogas?
neque enim uſque
" Adeò ignobilis eſt, norunt eam val-
dè multi,
" Tam quicunque habitant ad Auro-
ram, Solemque,
" Quàm quicunque ponè ad noctem
obſcuram.
" Certè quidem aſpera, & non equi-
tabilis eſt;
" Neque valdè ſterilis, at neque lata
eſt.
" Ibi etenim Triticum multum, ibi
quoque Vinum
" Adeſt ſemper; quæ pluvia habet illam
virentemque ros:

ΣΧΟΛΙΑ.

228. Κιχάνω.] Καταλαμβάνω.
229. Ἀντιβολήσῃς.] Συναντήσῃς.
230. Σάω.] Σῶσον.
235. Κεκλιμένη.] * Περιεχομένη.
239. Νώνυμος.] Ἀνώνυμος.
241. Μέτοπισθε.] Ἐις τὰ ἑσπερία μέρη.
243. Οὐδὲ λίην λυπρὴ.] Οὐδὲ ὅλως εὐτελής.
245. Τεθαλυῖα.] Θαλλει ποιοῦσα καὶ αὔξειν τὰ φυτὰ καὶ βόσκουσα· πῶς ἂν ἔνδροσος, εἰ σὺ ἀπείρων νέφων; ἢ δὲν κωλύει καὶ σὺ Ἰθάκην. ἢ βόσκουσα, βοσκημάτων πλήρης. * Εἴρση.] Δρόσος.

NOTÆ.

* Ita *Aldina* Editio.

244. Ἐν μὲν γάρ οἱ σῖτος) In pluribus *Exemplaribus*, pro σὺ, ſemper σῦ legitur, ut bis in hoc Verſu, & ſemel, v. 247. nempe, in *Florentin. Aldinâ, Lovanian.* &c. Verùm *Euſtath.* in *Textu* & παρεκβολαῖς, τὸ σὺ ubique retinet, ut & *H. Steph.* qui tamen σῦ inter *Var. Lect.* habent. In aliquibus ſemel tantùm σῦ occurrit, aut bis, toties quoque σὺ. Verùm *ter*, in omnibus, vel σὺ, vel σῦ, retinendum; σὺ tamen magis arridet.

NOTÆ IN SCHOLIA.

235. * Περιεχομένη) Ità pro corrupto περιεχομένη, ex MS. *Aloyſiano.*

245. Τεθαλυῖά τ' ἔέρση) Hoc *Scholion* benè explicat *Euſtathius* fol. 514. lin. 44. Φασὶ δὲ οἱ Παλαιοὶ, ψευδῶς τῷ ῥητῖσαι ἔκφρασιν· ἐ μὴ λέγειν τὸ Ποιητὴν τῷ, οἷα ἐστὶν ἡ κραναὴ αὐτὴ νῆσος, ἀλλ' οἵαν εἶναι χρὴ νῆσον εὐδαιμόνως οἰκουμένην· ὄλχα δὲ τὰ ἄλλων ὑδὰ βόσκουσα ἡ νῆσος, εἶτα τὸ δὲ Ὀδυσσέως βυσσία, φασὶν, τὸ Ἡσιόδου ἦν· εἰ μὴ ἄρα συνηπλωκὼς ἦσαν τῇ Ἰθάκῃ σωρηπιτοειδέστερον ἐ τῷ αἰπηρὸν αὐτῆς κωμῳδῆσαι Ἡσίοδον.

VARIÆ LECTIONES.

226. Ἐναντίος) γρ. ἐναντίον. *H. Steph.*
233. Ἐγγεγάασιν) γρ. ἐκγεγάασιν, *Seberi* Index, haud benè.
244. Ἐν μὲν — σὺ δ') γρ. σῦ μὲν — σῦ δ', vid. Not. in *Textum.*
245. Τεθαλυῖά τ' ἔέρση) γρ. τεθαλυῖά τ' ἔρση·

Αἰγαβό-

Αἰγίβοτός δ' ἀγαθὴ, ἡ βόσκοτος· ἔστι μὲν ὕλη
Παντοίη, ἡ δ' ἁδμοὶ ἐπηετανοὶ παρέασιν.
Τῆ τοι, ξεῖν', Ἰθάκης γε καὶ ἐς Τροίην ὄνομ' ἵκοι,
Τῆν περ τηλοῦ φασὶν Ἀχαιΐδος ἔμμεναι αἴης.
Ὣς φάτο· γήθησεν δῖος πολύτλας δῖος Ὀδυσσεύς,
Χαίρων ἢ γαίῃ πατρωίῃ, ὡς οἱ ἔειπε
Παλλὰς Ἀθηναίη, κούρη Διὸς Αἰγιόχοιο.
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Οὐδ' ὅγ' ἀληθέα εἶπε, πάλιν δ' ὅγε λάζετο μῦθον,
Αἰεὶ σὺν δήθεσι νόον πολυκερδέα νωμῶν,
Πυνθανόμην Ἰθάκης γε καὶ ἐν Κρήτῃ εὐρείῃ,
Τηλοῦ ὑπὲρ πόντου· νῦν δ' εἰλήλουθα καὶ αὐτὸς
Χρήμασι σὺν τοῖσδεσι· λιπὼν δ' ἔπι παισὶ τοσαῦτα
Φεύγω, ἐπεὶ φίλον υἱὸν κατέκτανον Ἰδομενῆος,
Ὀρσίλοχον πόδας ὠκύν, ὃς ἐν Κρήτῃ εὐρείῃ
Ἀνέρας ἀλφηστὰς νίκα ταχέεσσι πόδεσσιν·
Οὕνεκά με στερέσαι ἑ λιτόδος ἤθελε πάσης
Τρωϊάδος, ἑ εἵνεκ' ἐγὼ πάθον ἄλγεα θυμῷ,
Ἀνδρῶν τε πτολέμους, ἀλεγεινά τε κύματα πείρων·
Οὕνεκ' ἄρ' οὐκ ὤ παρὲξ χαριζόμενος θεράπευον
Δήμῳ ἔνι Τρώων, ἀλλ' ἄλλων ἦρχον ἑταίρων·
Τὸν μὲν ἐγὼ καλιόντα βάλον χαλκήρεϊ δουρὶ

" Pascendis capris commoda & bubus: est quidem sylva
" Omnigena, ibi quoque aquationes perpetuæ adsunt.
" Itaque, hospes, Ithacæ & in Trojam nomen pervenerit,
" Quam longe dicunt Achaicâ esse à terrâ.
Sic dixit; lætatus est autem patiens divinus Ulysses,
Gaudens suâ terrâ patriâ, sicut ei dixit
Pallas Minerva, filia Jovis Ægiochi;
Et ipsam appellans velocia verba dixit,
Neque vera dixit, iterúmque cœpit sermonem,
Semper in præcordiis mentem perastutam movens,
" Audiebam de Ithacâ & in Cretâ latâ,
" Longè supra pontum, nunc autem veni, & ipse
" Rebus cum his: Relinquens verò adhuc filiis totidem,
" Fugio, quoniam dilectum filium interfeci Idomenei,
" Orsilochum pedibus velocem, qui in Cretâ latâ
" Viros artifices vincebat velocibus pedibus;
" Quoniam me privare prædâ volebat omni
" Trojanâ; cujus gratiâ ego passus sum dolores animo,
" Virorum que bella, tristésque undas penetrans:
" Quoniam non suo patri gratificatus serviebam
" Agro in Trojanorum; sed aliis imperabam focis.
" Hunc quidem ego discedentem percussi ærcâ lanceâ

ΣΧΟΛΙΑ.

246. Αἰγίβοτος.] Αἶγας βόσκειν δυνατόν.
247. Ἀρδμοί.] Πολυσυρεῖ. Ἐπιζῶοι.] Σωιχεῖς, διηκριβωμένως. Παρέασι.] Παρεισιν, ὑπάρχουσι.
251. Πατρωίῃ.] Πατρικῇ.
254. Πάλιν δ' ὅγε λάζετο.] Εἰς τοὐναντίον δὲ ἀληθῆ. ἔστιν ὅτε δὲ ὑπέρ τινος λόγον ἀναλαμβάνεται.
255. Πολυκερδέα.] Σωφρονοῦντα, ἢ πανοῦργον. Νωμῶν.] Διανοούμενον.
256. Πυνθανόμην.] Ἤκουον. * Hæc in Al-
258. Τοῖσδεσι.] Τοῖς ἐνταῦθα. dimâ desunt.
259. * Φεύγω, ἐπὶ φίλον υἱὸν κατέκτανον Ἰδομενῆος.] Ἰδομῆ εὐς, παῖς μὲν ἦν Δευκαλίωνος, ἦρξε δὲ Μίνωος Κρήτης ὃ τὸ γένος ἄριστος καὶ πολέμια πρὸ ἁπάσης γῆς ἐρωτήσας

σεμνὸς φανόμενος, μάχεται τὸν νόσον ἄριστος διεφυλάχθη· ἦτοι ὃ, ὡς λέγεται, χθονοῦνται δὲ καὶ Εὐβοεῖς καὶ Μῶνος, ὑπὸ δ' Ἀθηνᾶς, ἀκμὴν μὲν δὲ Καλχαντος καὶ Σφηνέλω, εἰς Κολοφῶνα, καὶ σὺν αὐτοῖς τὸν βίον καταστρέψεν. ἡ δὲ ἰσχὺς παρὰ Λυκόφρονι. Κατέκτανον.] Ἀνεῖλον, ἐφόνευσα.
260. Ὀρσίλοχον.] Τὸν παῖδα Ἰδομενέως.
261. Ἀλφηστάς.] Εὐχειρώτας.
262. Σπερέσαι.] Ἀποστερῆσαι.
263. Τρωϊάδος.] Τρωικῆς.
264. Πείρων.] Διαπερῶν, διερχόμενος.
267. Τὸν μὲν ἐγὼ καλιόντα.] Σκήπτεται τὸν Ἰδομενέως ὑὸν ἀνηρηκέναι, ἵνα αὐτὸν * πορσήνῃ οἱ μνηστῆρες, ὡς ἐχθρὸν δὲ Ὀδυσσέως φίλον· ἑαυτῷ δὲ ὁ Κρήτης ὑὸς

NOTÆ IN SCHOLIA.

267. * Παρσόσωσι] Olim παρήσουσι, in *Elzevir.* δὲ τῷ ῥητῷ χωρίῳ ἐγκεῖνται οἱ Παλαιοὶ, ὅτι πλανᾶς παρεώσωσι, in Aldin. & in Mss. Aloysii. Verum ὁ σοφὸς Ὀδυσσεὺς, πρὸς τὸ φαινόμενον Ἰθακήσιον παῖδα, *Eustath. hæc Scholia* illustrat, fol. 516. lin. 34. Ἐν- πολέμιοι ἀνηρηκέναι τὸν Ἰδομενέως, δὲ φιλομύθως τῷ Ὀ-

VARIÆ LECTIONES.

247. Ἐν) γρ. εὖ, ut suprà, v. 244.
251. Πατρωίῃ) γρ. πατρώῃ, vid. suprà v. 188.

Ἀγγέ-

Ἀγρόθεν, ἐγγὺς ὁδοῖο λοχησάμενος σὺν ἑταίρῳ.
Euntem *viz.* in domum ſubulcum: celeriter autem ſtatim

ΣΧΟΛΙΑ.

308. Εἰδεῖ.] Τῇ μορφῇ.
309. Τραπεζῆες.] Οἱ ἐπὶ πὰς τραπέζας ὄντες.
310. Ἀγλαΐης.] Καλλονῆς.
317. Κνώδαλον.] Κυρίως μὲ τὸ θαλάσσιον θηρίον, τὸ κῆτος· νῦν δὲ θηρίον, ὑπὸ κυνῶν ἁλισκόμενον.
318. Ἔχεται.] Σωίζεται. Κακότητι.] Βλάβῃ, νόσῳ.
Ἄλλοθι πάσης.] Ἀντὶ τοῦ, ἐπὶ ξένης.
319. Ἀκηδέες.] Ἀμελεῖς. Οὐ κομέουσι.] Ἐπιμελείας οὐκ ἀξιοῦσιν.
322. Ἀρετῆς.] Τῆς ἐκουσίου πρὸς τὰ ἔργα ὁρμῆς.
Ἀπαίνυται.] Ἀφαιρεῖται.
323. Δῆλιον ἦμαρ.] Ἡ δηλητήριον.

NOTÆ.

315. Ταχυτῆτα) De ratione hujus Vocis Accentûs, vid. ad *Iliad.* χ'. v. 363.
322. Ἥμισυ γάρ τ' ἀρετῆς ἀπαίνυται) *Plato*, l. 6. De Legibus, & *Athen.* l. 6. fol. 264. legunt, Ἥμισυ γάρ τι νόου ἀπαμείρεται. *Scholiaſtes Ariſtophanis*, Plut. ut Nos, legit. Ita in proximo Verſu, pro ἀνέρα, εὖτ' ἂν μιν, *Athenæus*, ἀνέρα· ὃς ἂν δὴ, & *Plato*, ἀνδρῶν, ὃς ἂν δὴ. *Etymolog.* M. agnoſcit, τὸ Ἀπαμείρεται, in v. at ἀπαίνυται in v. Δηλος.
326. Ἄργον αὖ κῆρ μοῖρ' ἔλαβεν) De Canum longævitate ſupra, ad v. 291.

VARIÆ LECTIONES.

322. Ἥμισυ γάρ τ' ἀρετῆς ἀπαίνυται) γρ. ἥμισυ γάρ τι νόου ἀπαμείρεται, vid. Not. in *Textum*.
323. Ἀνέρα εὖτ' [illegible] *Athenæ* Ἀνδρ[illegible]

Νέδσ' ἐπὶ οἱ καλέσας· ὁ δ', παπλήνας ἔλε δίφρον,
Κείμηλον, ἐνθάδε δαιτὸς ἐφίζεσκεν, κρέα πολλὰ
Δαιμόνιος μνηστῆρσι, δόμον κάτα δαινυμένοισι.
Τὸν κατέθηκε φέρων ποδὸς Τηλεμάχοιο τράπεζαν
Ἀντίον· ἐνθάδ' ἄρ' αὐτὸς ἐφέζετο· τῷ δ' ἄρα κῆρυξ
Μοῖραν ἑλὼν ἐτίθη, κανέῳ τ' ἐκ σῖτον ἀείρας.
Ἀλχίμολον δ' μετ' αὐτὸν ἐδύσετο δώματ' Ὀδυσῆος,
Πτωχῷ λυγαλέῳ ἐναλίγκιος, ἠδὲ γέροντι,
Σκηπτόμενος· τὰ δ' λυγρὰ περὶ χροΐ εἵματα ἕστο·
Ἷζε δ' ἐπὶ μελίνῃ ὑπὲρ ἔντοθε θυρέων,
Κλινάμενος καλαμῷ Κυπαρισσίνῳ, ὅν ποτε τέκτων
Ξέσσεν ὀπταμένως, καὶ ἐπὶ γνάμπτῳ ἴθυνε.
Τηλέμαχος δ' ἐπὶ οἱ καλέσας προσέφη συβώτην,
Ἄρτον τ' ἦλον ἑλὼν περικαλλέα κανέοιο,
Καὶ κρέα, ὡς οἱ χεῖρες ἐχάνδανον ἀμφιβαλόντι,
Δὸς τῷ ξείνῳ ταῦτα φέρων· αὐτόν τε κέλευε,
Αἰτίζειν, μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ πρήκτῃ.
Ὣς φάτο· τὸν δ' ὑποδὺς, ἐπεὶ τ' μῦθον ἄκουσεν,
Ἀλχῦς δ' ἰσάμενος ἔπεα πτερόεντα προσηύδα,

Annuit ad se vocans; hic igitur ubi conspicatus esset, accepit sedem
Jacentem, ubi coquus fecerat, carnes multas
Incidens procis, in domo convivantibus.
Hanc deposuit portans ad Telemachi mensam
E regione, ubi & ipse sedit: illi autem præco
Partem captam proposuit, ex canistroque panem elevatum.
At paulò post ipsum intravit domum Ulysses,
Pauperi tristi similis & seni,
Baculo innixus: laceraque circum corpus vestimenta indutus erat:
Sedit autem in fraxineo limine intra januas,
Accinatus postli Cypariſſino, quem olim faber
Poliverat scienter, & in perpendiculum direxerat.
Telemachus verò ad se vocatum alloquutus est subulcum,
Panemque totum capiens perpulchro ex canistro,
Et carnes, quantum ei manus erant capaces circumjacienti,
" Da huic hospiti hæc ferens, ipsumque jube
" Petere victum, valdè omnes adeuntem procos:
" Pudor enim non est bonus indigenti viro supplici.
Sic dixit; ivitque subulcus, postquam verbum audivit;
Et propè stans verba velocia alloquutus est,

Σ Χ Ο Λ Ι Α.

335. Περτιθῆ.] Παρεθῆ. Καπίω.] Καπισίω.
336. Ἐδυσεῦ.] Εἰσῆλθεν.
339. Μελίνῃ.] Ἀπὸ μελίας ξύλου γλυφῆς.
340. Κλινάμενος.] Πεφοινικλιθείς. Κυπαρισσίνῳ.] Ἀπὸ Κυπαρίσσου γλυμμένῳ.
341. Εἵσσεν.] Εἰργάσατο.
342. Ἐπὶ οἱ.] Πρὸς ἑαυτόν.
343. Οὖλον.] Ὅλον, καὶ ἀκλινῆ τὸ ν. Περικαλλέα.] Πάνυ καλόν.
344. Ἐχάνδανον.] Ἐχώρησαν.

N O T Æ.

331. Ἐνθάδε) Ità junctim scribo, pro ἔνθα δ', quod malè olim divisim, ab *Imperitis* primò scriptum, tum nè à *Peritis* notatum satis; quod & sæpè aliàs contigit, & mox, v. 334. ubi ideò quoque junctim lego.

334. Ἐνθάδ') Ità, pro ἔνθα δ', omninò scribendum probo, ut ad v. 331.

342. Ἄρτον τ' ἦλον) Ità quidem *Florentina*, omnium Vetustissima, ità *Aldina*, & *Lovaniana*; etiam utraque *Eustathii*, *Romana* & *Basileensis*; quare malè *Henr. Stephanus*, pro τ', scripsit δ', ut qui Distichon, quod hinc inchoat, *Telemachi* Orationis partem putabat; cùm nihil minùs: Oratio enim non nisi his verbis incipit. Δὸς τῷ ξείνῳ. *Castellio* quidem τὸ videtur in *Latinâ* Versione agnoscere; non tamen ausus est *Stephani* auctoritati contrà ire. Judicet Peritus Lector, qui viderit, ἄρτον τὸ, ad τὸ, ᾧ κρέας referri, & hanc esse Actionem *Telemachi* jam locuturi, nondum loquentis.

347. Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ) *Michael Apostolius*, Proverb. Centur. 1. Αἰδὼς γὰρ οὐ κακῶσιν ἐδὲν ὠφελεῖ. Vid. quæ Nos ad *Euripid.* Hippolyt. v. 385. *Hesiod.* l. 2. v. 118. Ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένοι ἀνδρὶ κομίζει. De Πρήκτῃ, vid. infra, ad v. 352.

V A R I Æ L E C T I O N E S.

331. Ἐνθάδε) γρ. ἔνθα δ', olim, malè. Vid. Not. in *Textum*.
334. Ἐνθάδε) γρ. ἔνθα δ', vid. suprà, v. 331.
335. Ἐπῖθ') γρ. ποδὸς θ', *Brevia Scholia*.
343. Ἄρτον τ') γρ. ἄρτον δ', vid. N. in *Textum*.
347. Πρήκτῃ) γρ. πρηξίνῃ, *Plato* in *Charmide*. Vid. *Duport.* Gnomolog.

Τηλέ-

Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε, καί σε κελεύει
Αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
Αἰδὼς δ' οὐκ ἀγαθὴ φησ' ἔμμεναι ἀνδρὶ προίκλῃ.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
Καί οἱ πάντα γένοιτ', ὅσσα φρεσὶν ἦσι μενοινᾷ.
Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἐδέξατο, καὶ κατέθηκεν
Αὖθι, ποδῶν προπάροιθεν, ἀεικελίης ἐπὶ πήρης.
Ἤϊεν δ', ὡς ὅτ' ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν,
Εὖτ' ὅδ' ἐδειπνήκῃ, ὅδ' ἐπαύσατο θεῖος ἀοιδός.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'· αὐτὰρ Ἀθήνη,
Ἄγχι παρισταμένη, Λαερτιάδην Ὀδυσῆα
Ὤτρυν', ὡς ἂν πύρνα κατὰ μνηστῆρας ἀγείροι,
Γνοίη θ', οἵ τινές εἰσιν ἐναίσιμοι, οἵ τ' ἀθέμιστοι·
Ἀλλ' οὐδ' ὣς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.
Βῆ δ' ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον,
Πάντοσε χεῖρ' ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
Οἱ δ', ἐλεαίροντες δίδοσαν, καὶ ἐθάμβεον αὐτόν·
Ἀλλήλους τ' εἴροντο, τίς εἴη, καὶ πόθεν ἔλθοι·
Τοῖσι δὲ καὶ μετέειπε Μελάνθιος, αἰπόλος αἰγῶν,
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
Τοῦδε πέρι ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
Ἦ τοι μὲν οἱ δεῦρο συβώτης ἡγεμόνευεν·
Αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὐχετάασθαι.
Ὣς ἔφαθ'· Ἀντίνοος δ' ἔπεσιν νείκεσσε συβώτην,

" Telemachus tibi, ô hospes, dat hæc, & te jubet
" Petere victum valdè omnes adeuntem procos:
" Pudorem enim non bonum dicit esse viro mendico.
Hunc respondens allocutus est prudens Ulysses,
" Jupiter rex, Telemachus mihi inter Viros beatus sit,
" Et ei omnia nant, quæcunque mentibus suis cogitat.
Dixit, & ambabus suscepit, & deposuit
Illic pedes ante, indecenti super perâ.
Comedit autem, quamdiu cantor in domibus canebat;
Et quandò ille cœnaverat, tum cessavit divinus cantor.
Proci verò tumultuabantur in domibus: at Minerva,
Prope accedens ad Laertiadem Ulyssem,
Commovit, ut stipem à procis congreget,
Cognoscatque, qui sint justi, quique injusti;
Sed neque sic aliquem servaturus erat ab infortunio.
Perrexit igitur ire rogaturus dextrorsum virum quemque,
Undique manum porrigens, tanquam pauper diù esset.
Hi verò miserantes dederunt, & admirati sunt ipsum;
Mutuoque interrogabant, quis esset, & unde veniisset.
Inter hos itaque dixit Melanthius, custos caprarum,
" Audite me, proci inclytæ reginæ,
" De hoc hospite; utique enim antèà ipsum vidi.
" Certè quidem huic hùc subulcus præivit:
" Ipsum autem non apertè scio, unde genus dicat esse.
Sic dixit: Antinous verò igitur verbis arguebat subulcum,

ΣΧΟΛΙΑ.

350. Διδοῖ.] Δίδωσιν.
352. Προίκτη.] Μισθίτη, παρὰ τὸ ἱκετεύειν καὶ προσαιτεῖν. * Ἀρχίλοχος, Προϊέντα χεῖρα, Προίσσομαι.
354. Ὄλβιον εἶναι.] Ἀπὸ κοινοῦ, ποιῆσον.
357. Ἀεικελίης.] Εὐτελοῦς. Ἐπὶ πήρης.] Ἐπάνω τῆς πήρης· ἐπλάσατο γὰρ τὸν πήραν, ἀντὶ τραπέζης, ἐπάνω ἔθηκεν. Αὖθι ποδῶν προπάροιθεν.
358. Ὡς ὅπ.] Μίκελος ὁ.
362. Πύρνα.] Πύρινα σιτία. Ἀγείροι.] Συναθροίσοι.
363. Ἀθέμιστοι.] Ἄδικοι.
364. Ἀπαλεξήσειν.] Ἀποκωλύσῃ. Κακότητος.] Τῆ θανατικῆ κινδύνῳ.
365. Αἰτήσων.] Ἐπαιτήσων ὠφελῶν. Ἐνδέξια.] Ἀπὸ τῆ δεξιοῦ μέρους.
367. Ἕλκε χοῖρε.] Ἕλκυσε.

NOTÆ IN SCHOLIA.

352. * Ἀρχίλοχος, &c. ex *Etymolog.* M. v. Προίκτης. Vid. & *Suidam*, in v.

VARIÆ LECTIONES.

352. Προίκτη) γρ. παρεῖναι, ut suprà, v. 347.
358. Ὡς) γρ. ἴσως, *Eustath.* fol. 636. lin. 21.

certè pro ἴσως positum rectè astruit; & id *Brevia Scholia* videntur innuere, in ἐξηγήσ.

Ω

Ὦ ῥίγιστε συβῶτα, πῇ ἦ σὺ τόνδε πόλινδε
Ἦγαγες; ἦ ὄχ ἄλις ἦμιν ἀλήμονές εἰσι κὴ ἄλλοι
Πτωχοὶ ἀνίηροὶ, δαιτὸς ὀπλυμανῖῆρες;
Ἦ ὄιοσαι, ὅτι τοὶ βίοτον κατέδουσιν ἄνακτος
Ἐνθάδ' ἀγειρόμενοι; σὺ δὴ καὶ πόθι τόνδ' ἐκάλεσσας;
Τόνδ' ἀπαμφιέπομενος προσέφης, Εὔμαιε συβῶτα,
Ἀντίνο', ὃ μὴν καλὰ κὴ ἐσθλὸς ἐὼν ἀγορεύεις·
Τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
Ἄλλον γ', εἰ μὴ τοῦ, οἱ δημιοεργοὶ ἔασιν;
Μάντιν, ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων,
Ἦ κὴ θέσπιν ἀοιδὸν, ὅ κεν τέρπῃσιν ἀείδων;
Οὗτοι γὰρ κλητοί γε βροτοῦ ἐπ' ἀπείρονα γαῖαν·
Πτωχὸν δ' ὄκ ἄν τις καλέσι τεύξασθαι ἑ αὐτόν.
Ἀλλ' αἰεὶ χαλεπὸς πέρι πάντων εἰς μνηστήρων
Δμωσὶν Ὀδυσῆος, πέρι δ' αὖτ' ἐμοί· αὐτὰρ ἔγωγε

" O valde-cognite Subulce, quare verò
" Duxisti? an non satis nobis errantes & alii
" Pauperes importuni, conviviorum
" An pro nihilo-ducis, quod facultates edunt heri
" Hìc congregati? tu autem & alicunde
Hunc respondens alloquutus es, Eumæe subulce,
" Antinoe, non quidem bona, etiamsi bonus sis, dicis:
" Quis enim hospitem vocat aliunde
" Alium, nisi horum
" Vatem, vel medicum malorum, vel
" Vel & venerandum cantorem, qui
" Hi enim invitandi utique hominum
" Pauperem autem non aliquis vocaret vexaturum
" Sed semper difficilis super omnes
" Servis Ulyssis, præcipue verò mihi: at ego

Σ Χ Ο Λ Ι Α.

375. Ὦ ῥίγιστε.] Ἐπίσημε, ἄγαν ἴκθηλε, ὅτι συβώτης ἐπάρχεις.
376. Ἀλήμονες.] Πλανῆται.
378. Ὄιοσαι.] Νόει, ἀντὶ δ, ὠφελῇ.
379. Πόθι.] Πόθεν.
383. Δημιοεργοί.] Δημιουργοὶ, πχνίται.
384. Κακῶν.] Τῶν νόσων.
385. Θέσπιν.] Θεῖον, θαυμαστόν.
386. Κλητοί.] Κεκλημένοι.
387. Τρύξασθαι.] Καθαπονήσασθαι.

N O T Æ.

376. Ἦγαγες· ἦ ὄχ ἄλις ἦμιν ἀλήμονές εἰσι) In *Scansione*, τὸ ἦ & τὸ ὄχ, in Unam Syllabam coalescunt, ut *Iliad.* ι'. v. 533. Ἦ λάθετ', ἦ οὐκ ἐνόησεν. *Ibid.* Ἦμιν) *Eustath.* fol. 637. lin. 25. Ἐν δὲ τῷ, ἦμιν ἀλήμονές εἰσιν, ἀλήμονας μὲν τὰς ἀλήτας λέγει· δὲ ἦμιν, συστείλας μὲ τὸ ω λήγουσαν, ὡς ἐποίησε δὲ τὸν ἄρχουσαν λόγῳ ἐγκλιτικῷ, καθά που καὶ ἀλλαχοῦ ἐποίησε. Vid. *Etymolog.* M. v. Ἄμμι.

378. Ἦ ὄιοσαι) *Eustath.* fol. 637. lin. 26. Τὸ δὲ, ἦ ὄιοσαι, ἀπλῶς ἔφη, ἀντὶ δ, ἦ μέμφῃ, ἡμῖν δηλαδὴ, ἢ πῶς ἀλήτας, ὡς μὴ βοσκεῖς ὄσι, μηδὲ δαπανᾷν τῷ διαμένοντας τὰ δ' οἶκα τὰ σὰ ἀδεσπότων; κὴ λέξει τοῦτο καὶ ἑτέρως ἄγνως, τὰς ἀξιολογώτερον κεκαφαγμένας σκεῖνα; Καὶ ἔστιν ἴσως οἰκεία ὡσαύτως. Ἀλλ' οὐδ' ὡς σε ἴολπα ὀνόσεσθαι κακόπλοον· ὅσῳ σὺ τῇ ἐ. ῥαψῳδίᾳ ὁ Ποσειδῶν φησὶ τὸν Ὀδυσέα· καὶ ὅτι μὲ καλῶς

NOTÆ IN SCHOLIA.

378. Ἦ ὄιοσαι) Νῦν, ἀντὶ δ ὠφελῇ, ità pro *Elzevirìano* ὠφελεῖ, ex *Aldinâ*, *Bedrotianâ*, *Morrhianâ*, *Hervagianâ*, & ipso MS. *Aloysiano*. Videtur autem in hâc parte errare *Scholiastes*, qui ὄιομαι hìc pro *Juro*, capit, quùm potius pro *Parvi-pendeo*, sumatur. Vid. Not. in *Textum*.

VARIÆ LECTIONES.

375. Ὦ ῥίγιστε) γρ. ὦ ἀρίγνωτε.
378. Κατεδύσιν) γρ. κατέδυμεν.
382. Τίς γὰρ δὴ) γρ. ἀλλ' οἷον, &c. vid. Not. in *Textum*.
384. Ἰητῆρα κακῶν) γρ. ἰητῆρα νόσων.
385. Ἦ θέσπιν ἀοιδὸν) γρ. ὃν καλέσσιν ἀοιδὸν, *Aristot.* Polit. 8. 3. *Ibid.* Ὅ κεν) γρ. ὃς ἂν, *H. Steph. Ibid.* Ἀοιδὸν) γρ. ἄπαντας, *Aristot.* ibid.
387. Τρύξασθαι ἑ αὐτὸν) γρ. τρύξεσθαι ἑαυτόν. Et τρύξασθαι ὃν οἶκον. Vid. Not. in *Textum*.

Οὐκ

Οὐκ ἀλέγω, εἴως μοὶ ἐχέφρων Πηνελόπεια
Ζώει ἐνὶ μεγάροις ἠδὲ Τηλέμαχος θεοειδής.
Τόνδε αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Σίγα, μή μοι τοῦτον ἀμείβεο πόλλ' ἐπέεσσιν·
Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
Μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους.
Ἦ ῥα, καὶ Ἀντίνοον ἔπεα πτερόεντα προσηύδα,
Ἀντίνο', ἦ μάλα καλὰ, πατὴρ ὡς κήδεαι ἡμέων,
Ὅς τ' ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι
Μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειε.
Δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαί γε καὶ αὐτὸς.
Μήτ' ἂρ μητέρ' ἐμὴν ἄζευ τόγε, μήτε τιν' ἄλλον
Δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ φρεσὶ νόημα·
Αὐτὸς γὰρ φαγέμεν πολὺ βέλεαι, ἢ δόμεν ἄλλῳ.
Τόνδε αὖτ' Ἀντίνοος ἀπαμείβετο προσέφη τε,
Τηλέμαχ' ὑψαγόρη, μῦθος ἄχος, ποῖον ἔειπες;
Εἴ οἱ τόσσον ἅπαντες ὀρέξειαν μνηστῆρες,
Καί κέν μιν τρεῖς μῆνας ἀπέρυθεν οἶκον ἐρύκοι.
Ὣς ἄρ' ἔφη, καὶ θρῴσκε ἐλὼν ὑπέφηνε τραπέζῃ
Κείμενον, ᾧ ῥ' ἔπεχεν λιπαρὼς πόδας εἰλαπινάζων.
Οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην
Σίτου καὶ κρειῶν· τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς,
Αὖτις ἐπ' εὐδὴν ἰὼν, προικὸς γεύσεσθαι Ἀχαιῶν·
Στῆ δὲ παρ' Ἀντίνοον, καί μιν προσέφη μῦθον ἔειπεν,
Δός, φίλος· οὐ μάν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν
Ἔμμεναι, ἀλλ' ὄρνιθος, ἐπεὶ βασιλῆϊ ἔοικας.

" Non curo, usquedum mihi prudens Penelope
" Vivit in domibus, & Telemachus divinus.
Hunc rursus Telemachus prudens contrà loquutus est,
" Tace, ne mihi huic respondeas multùm verbis.
" Antinous autem consuevit malè contendere semper
" Verbis pravis, quin ad *hoc* incitat & alios.
Dixit, & Antinoum verbis velocibus alloquutus est,
" Antinoe, tu quidem præclarè me curas, ut pater filium,
" Qui hospitem jussisti à domo exire
" Verbo necessario: non hoc Deus perficiat.
" Da ei *aliquid* captum: non equidem invideo, jubeo enim ego:
" Neque quid matrem meam vereris hâc *in* re, neque aliquem
" Servorum, qui in ædibus *sunt* Ulyssis divini.
" Sed non tibi talis in pectoribus dispositio animi:
" Ipse enim comedere multò mavis, quàm dare alii.
Huic rursus Antinous respondens loquutus est,
" Telemache altiloque, robur indomite, quale dixisti?
" Si ei tantum omnes dederint proci,
" Et ipsum tres menses procul hinc domus *sua* detineret.
Sic dixit, & scabellum capiens ostendit mensæ
Jacens, quo fulciebat unctos pedes convivans.
Ei tamen alii omnes dederunt, impleveruntque peram
Pane & carnibus; citò & futurus erat Ulysses,
Rursus ad limen iens, munus gustare Achivorum:
stetit tamen apud Antinoum, & ipsum verbo alloquutus est,
" Da, amice; non mihi videris pessimus Achivorum
" Esse, sed optimus; quoniam regi similis es.

ΣΧΟΛΙΑ.

393. Ἀμείβεο.] Ἐξ ἀμοιβῆς ἀπεκρίνου.
394. Εἴωθε.] Ἔθος ἐστὶ. Ἐρεθιζέμεν.] Παροξύνειν.
399. Μύθῳ ἀναγκαίῳ.] Ἀναγκαστικῶς.
407. Ὀρέξειαν.] Δοῖεν.
408. Τρεῖς μῆνας ἀπέρυθεν οἶκον ἐρύκοι.] Οὐκ ἂν ἐπὶ τρεῖς μῆνας προσέλθοι αὐτήσων.
409. Ὑπέφηνε.] Ἔξω εἵλκυσε, φανερὸν ἐποίησε.
410. Ἔπεχεν.] Ἐπῆγε.
413. Προικὸς.] Τῆς δωρεᾶς δόσεως.

VARIÆ LECTIONES.

394. Σίγα, μή μοι) γρ. ἄπια, μή μοι, *Eustath.* fol. 638. lin. 22. & *H. Steph.* malè tamen; quandoquidem *Ultima* Ϝ ἄπια brevis est.
398. Ἀπὸ) γρ. ἀπαί.
401. Μήτ' ἂρ μητέρ' ἐμὴν) γρ. μήπ τι μητέρ' ἐμὴν, *H. Steph.*
406. Ἔειπες) γρ. ἴσπας, *H. Steph.* & MSS.
409. Ὑπέφηνε) γρ. ὑπ' ἴφηνε.
415. Μέν μοι) γρ. μέν τοι, *H. Steph.*
416. Ὄρνις) γρ ὄρτις, vid. ad *Iliad.* λ'. v. 488.

Τ᾽ σε χρὴ δόμῳ ᾗ λώϊον, ἠέ περ ἄλλοι,
Σίτου· ἐγὼ δ᾽ ἄν σε κλείω καὶ ἀπείρονα γαῖαν.
Καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
Ὄλβιος ἀφνειὸν, πολλάκι δόσκον ἀλήτῃ
Τοίῳ, ὁπποῖός ἔοι, καὶ ὅτῳ κεχρημένος ἔλθοι·
Ἦσαν δ᾽ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
Οἷσίν τ᾽ εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται·
Ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων, ἤθελε γάρ πω,
Ὅς μ᾽ ἅμα λῃστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν
Αἰγυπτίηνδ᾽ ἰέναι, δολιχὴν ὁδὸν, ὄφρ᾽ ὀλοίμην·
Στῆσα δ᾽ ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
Ἔνθ᾽ ἦτοι μὲν ἐγὼ κελόμην ἑταίρους
Αὐτῷ πὰρ νήεσσι μένειν, καὶ νῆας ἔρυσθαι,
Ὀπτῆρας δ᾽ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι·
Οἱ δ᾽ ὕβρει εἴξαντες, ὑπισπόμενοι μένεϊ σφῷ,
Αἶψα μάλ᾽ Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
Πέρθεον, ἐκ δ᾽ γυναῖκας ἄγον, καὶ νήπια τέκνα,
Αὐτούς τ᾽ ἔκτανον· τάχα δ᾽ ἐς πόλιν ἵκετ᾽ ἀϋτή.
Οἱ δ᾽, ἅμα ἠοῖ φαινομένῃφιν,
Ἦλθον· πλῆτο δ᾽ πᾶν πεδίον πεζῶν τε, καὶ ἵππων,
Χαλκῷ τε στεροπῆς· ἐν δ᾽ Ζεὺς τερπικέραυνος
Φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν· οὐδέ τις ἔτλη
Στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
Ἔνθ᾽ ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
Τοὺς δ᾽ ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
Αὐτὰρ ἔμ᾽ ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι
Δημήτορι Ἰασίδῃ, ὃς Κύπρῳ ἶφι ἄνασσεν·
Ἔνθεν δὴ νῦν δεῦρο τόδ᾽ ἵκω, πήματα πάσχων.
Τόνδ᾽ αὖτ᾽ Ἀντίνοος ἀπαμείβετο, φώνησέν τε,

" Ideò te oportet dare & melius, quàm alii,
" E pane; ego autem te laudabo in latâ terra
" Etenim ego aliquando domum inter homines habitavi
" Beatus divitem, & sæpè dedi erroni
" Tali, qualis esset & cujuscunque tandem rei indigus veniret.
" Erant etiam servi valdè multi, aliáque multa,
" Quibus bene vivunt, & divites vocantur.
" Sed Jupiter destruxit Saturnius, voluit enim nimirum,
" Qui me cum latronibus multùm errantibus misit
" In Ægyptum ire longam viam, ut perirem.
" Statui verò in Ægypto fluvio naves utrinque agitatas:
" Tunc sanè ego jussi amabiles socios
" Illic apud naves manere, & naves in portum ducere,
" Speculatoresque ad speculas jussi ire.
" Hi verò intemperantiæ cedentes, & obsecuti animo suo,
" Statim valdè Ægyptiorum virorum perpulchros agros
" Populati sunt: mulieres verò captivas duxerunt & infantes filios,
" Ipsosque interfecerunt: citò verò in civitatem ivit clamor.
" Hi itaque clamore audito, simul Aurorâ apparente
" Venerunt; impleruſque est omnis campus peditibus & equis,
" Ærisque splendore: sed Jupiter gaudens fulmine
" Fugam meis sociis malam injecit, neque aliquis sustinuit
" Stare contrà; circum enim mala undique stabant.
" Tunc nostrûm multos quidem interfecerunt acuto ære;
" Aliosque abduxerunt vivos ipsis operaturos necessitate:
" At me in Cyprum *deferendum* hospiti dederunt occurrenti,
" Dmetori Iasidæ, qui Cypro fortitèr imperabat:
" Hinc jam nunc huc venio, necumenta patiens.

Huic rursus Antinous respondit & compellavit,

Σ Χ Ο Λ Ι Α.

418. Κλείω] Δοξάσω, ὑμνήσω.
420. Ἀλήτῃ.] Πλανωμένῳ, πτωχῷ.
423. Οἷσί τ᾽ εὖ ζώουσι.] Δι᾽ ὧν καλῶς ζῶσιν.
424. Ἀλάπαξε] Καπῴθειρε, πένητα ἐποίησεν.
425. Πολυπλάγκτοισι] Πολλὰ πλανωμένοις.
443. Δημήτορι Ἰασίδῃ.] Καὶ ἐν Ἰλιάδι πόλεις ὑπὸ βασιλέως ἦσαν.
444. Τόνδ᾽ ἵκω.] Ἐντεῦθεν παραγίνομαι.

Variæ Lectiones.

423. Οἷσίν τ᾽ εὖ ζώουσι) γρ. οἷσί τ᾽ εὖ ζώουσι, Br. Bibl. & MS. Aloysii.
431. Μένειν σφῷ) γρ. μένειν ᾧ, melius.

Τίς

Τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίλιν;
Στῆθ' ὅπως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,
Μὴ τάχα πικρὸν Αἴγυπτον καὶ Κύπρον ἴδηαι·
Ὡς τις θαρσαλέος καὶ ἀναιδὴς ἔσσι πρόϊκτης.
Ἐξείης πάντεσσι παρίσασαι· οἱ δὲ δίδοῦσι
Μαψιδίως· ἐπεὶ οὔτις ἐπίσχεσις, οὐδ' ἐλεητὺς
Ἀλλοτρίων κατίσασθε, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ.
Τὸν δ' ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς,
Ὤ πόποι· οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν·
Οὐ σύ γ' ἂν ἐξ οἴκου σῷ ἐπιρρήτῃ οὐδ' ἄλα δοίης,
Ὃς νῦν ἀλλοτρίοισι παρήμενος, οὔπω τοι ἔτλης
Σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν.
Ὣς ἔφαθ'· Ἀντίνοος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
Καί μιν ὑποδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα,
Νῦν δή σ' οὐκ ἔτι καλὰ δι' ὤκα μεγάροιό γ' οἴω
Ἅψ ἀναχωρήσειν, ὅτε δὴ καὶ ὀνείδεα βάζεις.
Ὣς ἄρ' ἔφη· καὶ θρῴσκων ἑλὼν βάλε δεξιὸν ὦμον,
Πρυμνότατον κατὰ νῶτον· ὁ δ' ἐρείσθη, ἠΰτε πέτρη,
Ἔμπεδον· οὐδ' ἄρα μιν σφῆλεν βέλος Ἀντινόοιο,
Ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Ἅψ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν καὶ ἄρ' ἔζετο, κὰδ δ' ἄρα πήρην
Θῆκεν εὐπλείῃσι· μυθήσασθαι δὲ καὶ ὧδε
Κέκλυτέ μοι, μνηστῆρες ἀγακλυτῆς βασιλείης,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Οὐ μὰν οὐδ' ἄχος ἐστὶ μετὰ φρεσίν, οὐδέ τι πένθος,

" Ecquis malus Genius hanc cladem adduxit, convivii molestiam?
" Sta hic in medio, meâ procul à mensâ,
" Ne citò amaram Ægyptum, & Cyprum videas.
" Adeò quidam petulans & impudens es mendicus.
" Singulatim omnibus astas: hi autem dant
" Temerè; quoniam nulla est parsimonia, neque frugalitas
" Ex alienis donare; quoniam adsunt multa unicuique.
Hunc recedens alloquutus est prudens Ulysses,
" Dii Boni! Non tibi cum hâc formâ mentes sunt:
" Non tu utique ex tuâ domo ei, qui à te petierit, neque salem dares,
" Qui nunc alienis assidens, non aliquid mihi toleras
" De pane præcerptum dare; quamvis multa adsunt.
Sic dixit; Antinous verò iratus est animo magis,
Et ipsum torve tuens verba velocia alloquutus est,
" Nunc jam te non amplius benè ex domo puto
" Retrò cessurum, quando utique & opprobria dicis.
Sic dixit, & scabello capto percussit dextrum humerum,
Ultimum in dorsum: hic tamen stetit tanquam petra
Firmiter, neque ipsum commovit ictus Antinoi:
Sed tacite movit caput, mala profundè cogitans.
Rursus itaque super limen iens desedit, peramque
Deposuit bene-pleram: & inter Procos locutus est,
" Audite me, proci perinclytæ reginæ,
" Ut dicam quæ me animus in pectoribus jubet:
" Non quidem, neque dolor est in mentibus, neque luctus,

ΣΧΟΛΙΑ.

451. Ἐπίχυσις.] Κάλυσις, σκέπασις. Ἐλεητύς.] Ἐλεός, οἶκτος.

455. Οὐδ' ἄλα δοίης.] Ὁ μὲν Ἀρίσταρχος δασέως ἀνέγνω, καὶ ἀπιδόντες τὰς ἄλας· Καλλίστρατος δὲ ψιλῶς, * ὕδαλα, ἐκδιχόμενος αὐτὶ, τὰ κόπρια, ἃ παρὰ τῷ

ὐδὸς κεῖται· ὐδὸς ὁ, ὁ βατήρ.

463. Πρυμνότατον.] Ἐσχατον.

464. Σφῆλεν.] Ἔσφηλεν, ἔσεισεν.

467. Εὐπλείῃσι.] Πλήρη πεπληρωμένα.

NOTÆ.

455. Οὐδ' ἄλα δοίης) Imitatur *Theocrit.* Idyl. 27. v. 60. — πάρα δ' ὕστερον ὐδ' ἄλα δοίης. De Lectionibus ὐδ' ἄλα & ὕδαλα, vid. *Meric. Casaubon.* de Nuperâ *Homeri* Editione, p. 58. & *Iudolphi Küsteri* Suidam, v. Ἄλα, in Notis, etiam *Eustath.* fol. 642. lin. 12. & *Br. Schol.*

NOTÆ IN SCHOLIA.

455. * Οὐδ' ἄλα, corrigo, & emendo, in ὕδαλα, vid. Not. in *Textum.*

VARIÆ LECTIONES.

448. Ἴδηαι) γρ. ἴκηαι. *H. Stephanus*, non benè.

451. Ἐπίχυσις) γρ. ἐπὶ χύσις.

455. Οὐδ' ἄλα) γρ. ὕδαλα, vid. N. in *Textum.*

457. Ἀποπροελὼν) γρ. ἀπὸ προελὼν, *H. Steph.*

Ὁππότ' ἀνὴρ ἀμφὶ οἷσι μαχήμων ἠὲ πάσσι
Βλήεται, ἢ ἀμφὶ βουσὶν, ἢ ἀργεννῇς ὀΐεσσιν·
Αὐτάρ ἐμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
Οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.
Ἀλλ' εἴπερ πεφυκῶν γε θεοὶ κῆρες εἰσίν,
Ἀντίνοον πρὶν γάμοιο τέλος θανάτοιο κιχείη.
Τόνδ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός,
Ἔδ' ἔκηλος, ξεῖνε, καθήμενος, ἢ ἄπιθ' ἄλλη·
Μή σε νέοι δμῳὶ δώμαθ' ἑλοῦσσιν, οἵ' ἀγορεύεις,
Ἢ ποδὸς, ἢ καὶ χειρὸς, ἀποδρύψωσι δὲ πάντα.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν·
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων,
Ἀντίνο', ἦ μὴν κάλ' ἔβαλες δύστηνον ἀλήτην,
Οὐλόμεν', εἰ δή που τις ἐπουράνιος θεός ἐστι;
Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι,
Παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.
Ὣς ἄρ' ἔφαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
Τηλέμαχος δ' ἐν μὴν κραδίῃ μέγα πένθος ἄεξε
Βλημένου· οὐδ' ἄρα δάκρυ χαμαὶ βάλεν ἐκ βλεφάροιϊν,

" Quando vir, pro ſuis pugnans poſſeſſionibus,
" Percutitur, vel de bobus, vel candidis ovibus:
" At me Antinous percuſſit ventris gratiâ mali,
" Pernicioſi, qui multa mala hominibus dat.
" Sed ſicubi pauperum Dii & *Ultrices* furiæ ſunt,
" Antinoum antè nuptias finis mortis inveniat.
Hunc Antinous alloquutus eſt, Eupithei filius,
" Comede tacitus, hoſpes, ſedens, vel abi alió;
" Ne te juvenes per domos trahant, qui ſic loquaris,
" Vel pede, vel & manu; lacerentque omnia.
Sic dixit; hi verò omnes vehementèr indignati ſunt;
Sic autem aliquis dixit *etiam* juvenum ſuperborum,
" Antinoë, non quidem bene percuſſiſti infelicem erronem;
" Perdite, *quid* ſicubi forte quis cœleſtis Deus ſit?
" Etenim Dii, hoſpitibus ſimiles peregrinis,
" Omnimodi exiſtentes, verſantur per civitates,
" Hominum faſque nefaſque inſpicientes.
Sic dixerunt proci; hic autem non curavit verba.
Telemachus verò in corde quidem magnum luctum augebat
Illius percuſſi *gratiâ* neq; tamen lachrymâ humi emiſit ex palpebris.

ΣΧΟΛΙΑ.

472. Βλήεται.] Βληθείη.
479. Ἐρύσσειν.] Ἑλκύσσειν.
480. Ἀποδρύψωσιν.] Ἀποδιέρωσιν.
486. Τελέθοντες.] Γινόμενοι, φαινόμενοι. Ἐπιστρωφῶσιν.] Ἐπιέρχονται.
487. Εὐνομίην.] *Εὐνεμωσίαν· καθ' ἣν εὖ νεμόμεθα καὶ ἀφελούμεθα.

NOTÆ.

475. Ἀλλ' εἴπερ πεφυκῶν γε θεοὶ κῆρες εἰσίν) *Dio Chryſoſtomus*, Orat. 7. Ὡς ἐστι Πενία χρῆμα πρὸ ὄντι ἱερὸν καὶ ἄσυλον· καὶ ἐδεῖς ἀδικεῖ πένητα, ἐδὲ γε ἥττον, ἢ τοὺς τὰ κηρύκεια ἔχοντας.

485. Καί τε θεοὶ ξείνοισιν ἐοικότες) Hoc omninò ex Hiſtoriâ ſumptum, *Geneſeos*, c. 18. & 19. ubi oſtenditur, Deum ipſum cum Duobus Angelis deſcendiſſe ad *Sodomitarum* ſcelera flagitioſa reprimendum, aut vindicandum, *Abrahamique* & *Loti*, Juſtorum hominum, Defenſionem. Confer *Hebræ.* c. 13. v. 2. *Gerardus Croeſius* libro, cui titulus, Ὅμηρος Ἑβραῖος, p. 115. " Eſt hæc mea Opinio, " *Homerum* non modò multas habere γνώμας, ſeu " ſententias, conſimiles SS. Scripturæ, verùm eas " quoque mutuatum eſſe è Scripturâ Sacrâ; neque " tamen alias, quàm quas invenit in Libris *Moſis*, " nonnullas, quas in reliquis Libris Hiſtoricis, " itemque in *Jobo*, & *Pſalmis*, & Libris *Solomonis*. Vid. *Max. Tyr.* §. 26. in ipſo fine, & Doctiſſimi Viri, *Reginenſis*, *Joh. Daviſii* Not. ibidem.

NOTÆ IN SCHOLIA.

487. *Εὐνεμωσίαν, pro corrupto, εὐνεμεσίαν, lego, propter illud *Heſychii*, ſi emendatè legas, Νέμ) Ὁ ποιητὴς τὸ καθ' ἡμᾶς νόμον οὐκ οἶδε· δίκαιος ὁ Θ εὐνομίαν λέγει, ἀπὸ τοῦ νεμέσεως, Ἀνθρώπων ὕβριν τε Θ εὐνομίαν ἐφορῶντες.

VARIÆ LECTIONES.

478. Ἄλλη) γρ. ἄλλῃ.
487. Ὕβριν τε Θ εὐνομίην) γρ. ὕβρεις τε καὶ εὐνομίας, *Sextus Empiricus*, adverſ. Mathemat. *Ibid.* Ἐφορῶντες) γρ. ἐφόρουσιν, *Syneſius*, De Regno.

Ἀλλ'

Ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τῷ δ' ὡς οὖν ἤκουσε φέρων Πηνελόπεια,
Βλημένου ἐν μεγάρῳ, μετ' ἄρα δμωῇσιν ἔειπεν,
Αἶψ' ὅτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων.
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη φάτο μῦθον ἔειπεν,
Εἰ γὰρ ἐπ' ἠρῆσιν τέλος ἡμετέρῃσι γένοιτο,
Οὐκ ἄν τις τούτων γε εὐδρονον ἠῶ ἵκοιτο.
Τὴν δ' αὖτε προσέφη φέρων Πηνελόπεια,
Μαῖα, ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται·
Ἀντίνοος δ' ἤ μάλιστα μελαίνῃ κηρὶ ἔοικεν.
Ξεῖνός τις δύστην' ἀλητεύει χατὶ δώματα,
Ἀνέρας αἰτίζων· ἀχρημοσύνη γὰρ ἀνώγει·
Ἔνθ' ἄλλοι μὲν πάντες ἐπέπληγόν τ', ἔδοσάν τε·
Οὗτος δ' ἠρίνυϊ πρυμνὸν βάλε δεξιὸν ὦμον.
Ἡ μὲν ἄρ' ὣς ἀγόρευε μετ' δμωῇσι γυναιξίν,
Ἡμένη ἐν θαλάμῳ· ὁ δ' ἐδείπνεε δῖος Ὀδυσσεύς.
Ἡ δ' ἐπὶ οἱ καλέσασα προσηύδα δῖον ὑφορβόν,
Ἔρχεο, δῖ' Εὔμαιε, κιὼν τ' ξεῖνον ἀνωχθι
Ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι, ἠδ' ἐρέωμαι,
Εἴ που Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται,
Ἢ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτῳ γὰρ ἔοικεν.
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα,
Εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί,
Οἵ' ὅδε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
Τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ' ἤματ' ἔρυξα
Ἐν κλισίῃ, πρῶτον γὰρ ἐμ' ἵκετο νηὸς ἀποδράς·
Ἀλλ' οὔπω κακότητα διήυσεν ἣν ἀγορεύων.

Sed tacitus movit caput, mala profundè cogitans.
Hunc poſtquam igitur audivit prudens Penelope
Percuſſum in domo, ſtatim inter ancillas dixit,
Utinam ſic ipſum te percutiat inclytus-arcu Apollo.
Hanc rurſus Eurynome promaconda alloquuta eſt,
" Si enim votis exitus noſtris fieret,
" Haud quis horum ad pulchram Auroram perveniret, *i. e. cras ſuperſſet.*
Hanc rurſus alloquuta eſt prudens Penelope,
" Nutrix, inimici quidem omnes, quoniam mala excogitant;
" Antinous verò maximè nigræ mortì ſimilis eſt.
" Hoſpes quidam infelix mendicat in domo,
" Viros rogans: egeſtas enim cogit:
" Ibi alii quidem omnes impleverunt-que, dederuntque;
" Hic autem ſcabello extremum percuſſit dextrum humerum.
Hæc quidem ſic dixit inter famulas mulieres,
Sedens in thalamo, verùm cœnavit divinus Ulyſſes;
Hæc autem ad ſe vocatum alloquuta eſt divinum ſubulcum,
" Vade, divine Eumæe, profectus hoſpitem jube
" Venire, ut ipſum ſalutem & interrogem,
" Sicubi de Ulyſſe miſero vel audivit,
" Vel vidit oculis; errabundo enim ſimilis eſt.
Hanc reſpondens allocutus es, Eumæe ſubulce,
" Utinam.en m tibi, regina, tacerent Achivi, *Proci.*
" Qualia hic loquitur, mulceret tibi dilectum cor.
" Tres enim jam ipſum noctes habui, tres autem dies detinui
" In ſtabulo, primum enim *ad* me venit, ubi à nave aufugiſſet;
" Sed nondum calamitatem ſuam explicuit dicendo.

Σ Χ Ο Λ Ι Α.

496. Ἐπ' ἠρῆσιν.] Ἐπὶ ταῖς εὐχαῖς.
501. Ἀλητεύει.] Νῦν, ἀντὶ δὲ ἐπαιτεῖ.
502. Ἀχρημοσύνη.] Ἀπορία, ἔνδεια.
503. Ἐνέπληγον.] Ἐκέρτομουν.
507. Ἔπι οἱ.] Πρὸς ἑαυτήν.
509. Προσπτύξομαι.] Νῦν, προσδέξομαι· γράφει δὲ καὶ, φίλησομαι.
514. Θελγοῖτο.] Εὐφραίνοιτο.

Ν Ο Τ Æ.

513. Ἀχαιοί) Μνησῆρες σύνταθα, Ἀχαιοὶ λέγει. Ità ſuprà, v. 415. infrà v. 596. & *mox*, v. 93.

Vᴀʀɪæ Lᴇcᴛɪoɴᴇs.

496. Τέλος) γρ. τέκος, *Euſtath.* fol. 645. lin. 6. Τὸ δὲ τέλος, γράφει καὶ τέκος· ἵνα λέγῃ ἡ χαῦς ἄτας, Ὦ τέκνον, εἰ γὰρ ἐπ' αἴσης ἡμετέρας, ἦγεν ἂν ἐκεῖ ἡμῶν ὁ Ἀπόλλων γένοιτο, πάντες ἂν ἀπόλοιντο.
506. Ὁ δ' ἐδείπνει) γρ. ἐδίπτει, *H. Steph.*
509. Προσπτύξομαι) κ. προσφθέγξομαι, *Er. Schol.* & MS. ad *Florentin. Etonenſ.*

Ὡς;

Ὡς δ' ὅτ' ἀοιδὸν ἀνὴρ πολυδέρκεϊ), ὅς τε Θεῶν ἐξ
Ἀείδῃ δεδαὼς ἔπε' ἰμερόεντα βροτοῖσι,
Τῷ δ' ἅμιλλον μεμάασιν ἀκουέμμεν, ὁππότ' ἀείδῃ·
Ὡς ἐμὲ κεῖν@ ἔθελγε παρήμενος ἐν μεγάροισι.
Φησὶ δ' Ὀδυσῆος ξεῖν@ πάζιόν εἶναι,
Κρήτῃ ναιετάων, ὅθι Μίνω@ γένο@ ἐστίν.
Ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο πήματα πάσχειν,
Πρὸς πρόκυλινδόμενος· τεῦ) δ' Ὀδυσῆος ἀκοῦσαι,
Ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
Ζωὸν· πολλὰ δ' ἄγε κειμήλια οἵδε δόμοιδε.
Τόνδ' αὖτε πρόσθεν πεῖφρων Πηνελόπεια,
Ἔρχεο, δεῦρο κάλεσσον, ἵν' ἀντίον αὐτὸς ἐίσπῃ.
Οὗτοι δ' ἠὲ θύρῃσι καθήμενοι ἐψιάασθον,
Ἦ αὐτῷ χρὴ δῶμαί· ἐπεὶ σφίσι θυμὸς ἐΰφρων.
Αὐτῶν μὲν γὰρ κτήματ' ἀκήρατα κεῖτ' ἐνὶ οἴκῳ,
Σῖτος τε μέθυ τε ἡδὺ· τὰ μὲν οἰκῆες ἔδουσιν·
Οἱ δ' εἰς ἡμέτερον πολύμηλοι, ἤματα πάντα,
Βῆς ἱερεύοντες, τε ὄϊς, τε πίονας αἶγας,
Εἰλαπινάζουσιν, πίνουσί τε αἴθοπα οἶνον
Μαψιδίως· τὰ δὲ πολλὰ κατέβρωδε)· ὑγρὸν ἔπ' ἀνὴρ,
Οἷος Ὀδυσσεὺς ἔσκεν, ἀλεὼ ἀπὸ οἶκον ἀμῦναι.
Εἰ δ' Ὀδυσεὺς ἔλθοι, τε ἵκοιτ' ἐς πατρίδα γαῖαν,
Αἶψά κεν ὦ σὺν παιδὶ βίας ἀποτίσετ) ἀνδρῶν.

" Sicut verò quando cantorem quis aſpicit, qui à Diis
" Canit doctus verba ſuavia hominibus,
" Hunc indefinenter prompti ſunt audire, quando canit;
" Sic me ille mulſit aſſidens in domibus.
" Dicit inſuper *ſe* Ulyſſis amicum paternum eſſe
" In Cretâ habitantem, ubi Minois genus eſt.
" Hinc jam nunc huc venit clades patiens,
" Hinc & hinc verſatus: prædicat autem de Ulyſſe ſe audiviſſe, *quòd*
" Propè Theſprotorum virorum in pingui populo
" Vivus *ſit*, multos autem ducit theſauros ſuam domum.
Hunc rurſus alloquuta eſt prudens Penelope,
" Vade, huc voca; ut coràm ipſe dicat.
" Hi autem vel in januis ſedentes delectentur,
" Vel ill c in domibus, quando ipſis animus lætus *eſt*.
" Ipſ.rum quidem enim poſſeſſiones, inconſumptæ jacent in domo;
" Panis & vinum dulce; hæc quidem domeſtici comedunt:
" Hi verò in noſtrâ *domo* verſantes, dies omnes,
" Boves ſacrincantes, & oves, & pingues capras
" Convivantur, bibuntque nigrum vinum
" Incaſſum; plurima autem abſumuntur: non enim adeſt vir,
" Qualis Ulyſſes tuit, qui cladem domo exc llat.
" Sin Ulyſſes venerit, & acceſſerit in patriam terram,
" Stat m ſuo cum filio injurias rependet *ipſorum* virorum.

Σ Χ Ο Λ Ι Α.

524. Τόδ' ἵκεθ'.] Ἐντεῦθα παρεγένετο.
525. Πρὸς πρόκυλινδόμενος.] Πλανώμενος.

530. Ἐψιάασθον.] Ἀντὶ τοῦ παίζετε, ἀγελαγέλωτες.

N O T Æ.

533. Τὰ μὲν οἰκῆες ἔδουσιν) Τὸ μὲν producitur, in *Ceſurâ*, vi Literæ, *Tonique* ſui, & ob *Hiatum*; quanquam hic puto meliùs μὲν legi debere.

537. Καβάινε)) Ità lego, rejecto penitùs corrupto illo καβάίνετο, quod, licet *Henricus Stephanus* & illius ſequaces admittant, nullibi extat, nihil ſignificat. Καβάινετο verò ab *Heſychio* exponitur, καβαινύετο, ἀναλίσκει). Ità *Odyſſ. β'.* v. 58. ubi hic idem Verſus occurrit, καβάινετο legitur in Omnibus Exemplaribus, & ab *Euſtathio* inibi exponitur, καβαδαπανᾶτο, à *Brevibus Scholiis*, καβαναλίσκει). Sic *Iliad. κ'.* v. 251. ἄνετο, & *Odyſſ. γ'.* v. 496. ἴτον ὁδόν. Sic *Apollon.* Argon. l. 2. Ἥματος ἀνομένοιο. Quin hoc ipſo in loco, *Florentina* Editio, Omnium Vetuſtiſſima, καβάϊνε) legit apertè, ut *Aldina*, & *Lovaniana Reſcis.*

538. Ἀλεὼ ἀπὸ οἶκον ἀμῦναι) De Voce ἀλεὼ, videſis intrà, ad χ'. v 208.

540. Αἶψά κεν ὦ σὺν παιδὶ) Si, ut olim, Αἶψά κε σὺν ὦ παιδὶ, Τὸ σὺν producitur, in *Ceſurâ*, vi *Finalis* & *Toni*, etiam ob *Aſperum* ſequentem, cum *Circumflexo*. At noſtra *Lectio* tutior, meliorque.

Vᴀʀɪæ Lᴇᴄᴛɪᴏɴᴇs.

533. Μὲν) γρ. μὰν, vid. Not. in *Textum*.
534. Ἡμίτεον πολεύμενοι) γρ. ἡμίτεόν γε πολεύμενοι, *Euſtath.* & *H. Steph.*
538. Ἀλεὼ) γρ. ἄλεο, vid. ad χ'. v. 208.
540. Αἶψά κεν ὦ σὺν παιδὶ) γρ. Αἶψά κε σὺν ὦ παιδὶ, olim; non benè.

Ὡς

Ὣς φάτο· Τηλέμαχος δ᾽ μέγ᾽ ἔπταρεν· ἀμφὶ δ᾽ ὦμα
Σμερδαλέον κονάβησε· γέλασσε δ᾽ Πηνελόπεια·
Αἶψα δ᾽ ἄρ᾽ Εὔμαιον ἔπεα πτερόεντα προσηύδα,
Ἔρχεό μοι, τ ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
Οὐχ ἰδέας, ὅ μοι υἱὸς ἐπισπέρχει πᾶσιν ἔπεσσιν;
Τῷ κε καὶ οὐκ ἀτελὴς θανάτῳ μνηστῆρσι γένοιτο
Πᾶσι μάλ᾽, οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξοι.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
Αἴκ᾽ αὐτὸν γνώω νημερτέα πάντ᾽ ἐνέποντα,
Ἕσσω μὲν χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά.
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τ μῦθον ἄκουσεν·
Ἀλχῦ δ᾽ ἰσάμβως ἔπεα πτερόεντα προσηύδα,
Ξεῖνε πάτερ, καλέῃ σὲ περίφρων Πηνελόπεια,
Μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί ἑ θυμὸς
Ἀμφὶ πόσῃ κέλεται, καὶ κήδεά περ πεπαθυίῃ.
Εἰ δέ κε γνοίη νημερτέα πάντ᾽ ἐνέποντα,
Ἕσσῃ σὲ χλαῖνάν τε, χιτῶνά τε, τῶν σὺ μάλιστα
Χρῄζεις· σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον,
Γαστέρα βοσκήσῃς· δώσῃ δέ τοι, ὅς κ᾽ ἐθέλῃσιν.
Τόνδ᾽ αὖτε προσέπτε πολύτλας δῖος Ὀδυσσεὺς,
Εὔμαι᾽, αἶψά κ᾽ ἐγὼ νημερτέα πάντ᾽ ἐνέποιμι
Κούρῃ Ἰκαρίοιο περίφρονι Πηνελοπείῃ.

Sic dixit; Telemachusque altè sternutavit, circumque domus
Horrendum resonuit; risit verò Penelope.
Statimque Eumæum verbis velocibus alloquuta est,
" Vade mihi, hospitem coràm hùc voca;
" Nonne vides, quòd mihi filius sternutavit ad omnia verba?
" Ideò & non imperfecta mors procis fiet
" Omnibus valdè; neque quisquam mortem & fatum vitabit.
" Aliud autem dico, tu verò in mentibus pone tuis;
" Si ipsum cognoscam, vera omnia dicentem,
" Induam ipsum chlænamque, interulamque, vestimenta pulchra.
Sic dixit, ivit verò subulcus postquam verbum audivit.
Propeque stans verbis velocibus alloquutus est,
" Hospes pater, vocat te prudens Penelope,
" Mater Telemachi; inquirere aliquid ipsam animus
" Circa maritum jubet, quamvis dolores passa sit.
" Sin te cognoscet vera omnia dicentem,
" Induet te chlænamque, interulamque, quorum tu maximè
" Indiges; panem autem & petens in populo
" Ventrem pasces; dabit verò tibi, quicunque voluerit.
Hunc rursus alloquutus est multa passus divinus Ulysses,
" Eumæe, statim ego vera omnia dicam
" Filiæ Icarii perprudenti Penelopæ.

ΣΧΟΛΙΑ.

559. * Βοσκήσῃς.] Ὁρίῳνες.

NOTÆ.

541. Τηλέμαχον δὲ μέγ᾽ ἔπταρεν) *Eustath.* fol. 647. lin. 6. Ὄρνις γὰρ ποτὲ ἦν τις Παλαιοῖς, καὶ ὁ πταρμὸς· ἐπὶ ᾧ ἡ κεφαλὴ πρώτη, ἐξ ἧς τὸ τοιοῦτον σύμβολον· διὸ καὶ ἐσείσθη τὸ ὁ πλαίσιον· καὶ τοῦτο αἰτίαν λέγουσιν οἱ σοφοὶ, ὃ εἶς ὁ Ἀριστάρχης. Huc refer *Catullianum* illud, De *Septimio* & *Acme*.

555. Πεπαθυίῃ) Pro πεπαθηκυίῃ. *Eustath.* fol. 647. lin. 49. Ἐπιῶσα κεῖ ῥῆμα καινὸν, ἤτοι Σολοικοφανὲς ἐν τῷ, μεταλλῆσαί τ᾽ ἑ θυμὸς κέλεται καὶ κήδεά περ πεπαθυίῃ. τὸ μὲν οὖν ὀρθὸν, Ὅτι κέλεται αὐτὸν ὁ θυμὸς μεταλλῆσαί τι καὶ κήδεα περ παθόντα. Ὁ δὲ συ-

βώτης, ἢ ὡς ὅλῳ βαρβαρίζων, ἢ καὶ τῷ ἐ Ἀστυμούσῳ, αὐτὶ τ οἱ λαβών, ὡς εἰσῆ εἶπεν, ὅτι ὁ θυμὸς αὐτῇ βέλεται μεταλλῆσαι, ἐπάγει τὸ πεπαθυίῃ αὐλιπαρῶς· ὡς ἐὰν εἴπῃ, αὐτῇ παθέσῃ. Τὸ δὲ πεπαθυίῃ, ἀσύνηθες εἰς χρῆσιν· διὸ δεῖ μεταλλήσῃς, εἰ μὴ μόνον, ὅτι σὺ ἔπηλυς, ἀχρεῖα εἰσεῖπες, γίνεται, ὡς τὸ παθὼν δηλοῖ· ὀφὼν τὸ πάσχω· ἐξ οὗ τὸ παθήσω, ὡς πεχήσω· ὁ παρακείμενος, πεπαθηκώς· ἐκ τοῦ πάθω, πεπαθώς, ὅθεν ἡ πεπαθυῖα, ὡς Ἡρακλείδης ἐμπλατύνεται.

NOTÆ IN SCHOLIA.

559. * Βοσκήσεις) Ὁρίῳνες, MS. *Aloysian.*

VARIÆ LECTIONES.

542. Κονάβησε) γρ. καναύχησε, *Eustath.* fol. 647. lin. 46. *H. Steph.*

545. Ἐπισπέρχει πᾶσιν) γρ. ἐπέσπερχεν οἵοις, *Origen.* contra *Celsum* l. 1. p. 226. verùm error.

555. Πεπαθυίῃ) γρ. πεπαθυῖαν, vid. Not. in *Textum.*

559. Ὅς κ᾽ ἐθέλῃσιν) γρ. ὅς κε θέλῃσιν, vid. Not. in *Textum*, ad v. 19.

Οἶδα

Οἶδα γὰρ εὖ φρεσὶ καὶ ἐμοί, ὁμῶς δ' ἀνεδείμεθ' ὀϊζύν.
Ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδείδι' ὅμιλον,
Τῶν ὕβρις τε, βίη τε, σιδήρεον οὐρανὸν ἵκει.
Καὶ γάρ νύ μοι, ὅτε μ' ἔνδοθεν ἀνὴρ καταδῶμα κιόντα
Οὔπω κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,
Οὔτε τι Τηλέμαχος τόγ' ἐπήρκεσεν, οὔτε τις ἄλλος.
Τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
Μεῖναι, ἐπειγομένῳ περ, ἐς ἠέλιον καταδύντα.
Καὶ τότε μ' εἰρέσθω πόσιος πέρι νόστιμον ἦμαρ,
Ἀστοτέρω καθίσασα παρὰ πυρί· εἵματα γάρ τοι
Λύγρ' ἔχω· οἶδα καὶ αὐτός, ἐπεί σε πρῶτ' ἱκέτευσα.
Ὣς φάτο· βῆ δὲ συφορβός, ἐπεὶ τ' μῦθον ἄκουσεν·
Τόνδ' ὑπὲρ οὐδὸν βάντα προσηύδα Πηνελόπεια,
Οὐ σύ γ' ἄγεις, Εὔμαιε; τί τῆτ' ὀτρύνησεν ἀλήτης;
Ἦ πού πω δείσας ἐξαίσιον; ἠέ νυ ἄλλως
Αἰδεῖται κατὰ δῶμα; κακὸς δ' αἰδοῖος ἀλήτης.
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα,
Μυθεῖται κατὰ μοῖραν, ἅτ' εἴ τις καὶ ἄλλος,
Ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.
Ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδῦναι.
Καὶ δέ σοι αὖτῃ πολὺ κάλλιον, ὦ βασίλεια,
Οἴην τὸν ξεῖνον φάσθαι ἔπεσ', ἠδ' ἐπακοῦσαι.
Τόνδ' αὖτε προσέφη πεφιδωμένη Πηνελόπεια,
Οὐκ ἄφρων ὁ ξεῖνος ὀΐεται, ὅς τὰρ ἂν εἴη·
Οὐ γάρ πω τινὲς ὧδε κατηφέες ἀνθρώπων

" Scio enim benè de ille, parem enim
" sustinemus ærumnam.
" Sed procorum dirorum timeo
" multitudinem;
" Quorum superbiaque, visque, ad
" terreum cœlum surgit.
" Etenim modò, quando me hic vir
" per domum euntem
" Nihil mali patrantem percutiens
" doloribus dedit,
" Neque aliquid Telemachus hâc *in re*
" adjuvit, neque aliquis alius.
" Ideò nunc Penelopen in domibus ex-
" ora
" Manere, festinantem licet, in Solem
" occidentem.
" Et tunc me interroget mariti de re-
" ditûs die,
" Propiùs componens apud ignem,
" vestimenta enim
" Mala habeo, scis & ipse, quoniam
" te priùs oravi.
Sic dixit; ivit igitur subulcus post-
quam verbum audivit:
Hunc super limen euntem allecuta
est Penelope,
" Non tu ducis, Eumæe? quid hoc
excogitavit *ille* erro?
" An aliquem reveritus nimium? an
& aliter
" Verecundatur in domo? malè vero
sibi consulit verecundus peregrinus.
Hanc respondens alloquutus es, Eu-
mæe subulce,
" Loquitur, ut par est, quæ putaret
alius,
" Petulantiam fugiens virorum super-
borum:
" Sed te manere orat in solem occi-
dentem.
" Tibi verò sic ipsi multò melius, ò
regina,
" Solam ad hospitem loqui verbum &
audire.
Hunc rursus alloquuta est prudens
Penelope,
" Non insipiens hospes videtur, qui-
cunque demùm sit;
" Non enim aliqui sic mortalium ho-
minum

Σ Χ Ο Λ Ι Α.

563. Ὀμήν.] Τὴν αὐτήν. Ἀνεδείγμεθα.] Ἀνεδεξάμεθα.
571. Εἰρέσθω.] Ἐρωτησάτω.
572. Ἀστοτέρω.] Ἐγγυτέρω.
575. Βάντα.] Ἐπιβάντα, εἰσελθόντα.
577. Ἐξαίσιον.] Μεγάλως.
578. Αἰδοῖος.] Νῦν, ὁ αἰδήμων.
580. Οἴοιτο.] Νομίσει, ὑπολάβοι.
581. * Ἀλυσκάζων.] Ἐκφυγεῖν.

N O T Æ.

579. Τὸν δ' ἀπαμειβόμενος) Olim in pluribus *Editionibus*, τὸνδε erat, errore gravissimo ab *H. Stephano* orto; at τὸνδε *Florentina* exhibet, *Aldina*, *Lovaniana Rescii*, utraque *Eustathii*, & *Sensus* eò accedit. *Penelopen* enim alloquitur, ut mox v. 583. — ὦ βασίλεια. Quin etiam in corruptis *Latina* Versio habuit, *Hanc*, &c.

NOTÆ IN SCHOLIA.

581. * Ἀλυσκάζων) Ἐκφυγεῖν, MS. *Aloysianum*.

Variæ Lectiones.

579. Τὸν) γρ. τὸνδε, malè olim. Vid. N. in *Textum*.
581. Ἀλυσκάζων) γρ. ἀλυσκάζειν, *H. Steph.* & *Br. Schol.* MSS. *Aloysiana*.
587. Πὼ) γρ. πῶ, *H. Steph.*

Ἀνέρες

Ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.
Ἦ μὲν ἄρ' ὡς ἀγόρευεν· ὁ δ' ὤιχετο δῖος ὑφορβὸς
Μνηστήρων ἐς ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα.
Αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα,
Ἄγχι κάρη κεφαλῇ, ἵνα μὴ πθυθοίατ' οἱ ἄλλοι·
Ὦ φίλ', ἐγὼ μὲν ἄπειμι, σύας τε καὶ εἵνατα φυλάξων,
Σήν τε ἐμόν τε βίοτον· σοὶ δ' αὖθάδε πάντα μελόντων.
Λύτην μέν σε πρῶτα σάου, καὶ θεράζεο θυμῷ,
Μή τι πάθῃς· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν·
Τοὺς Ζεὺς ἐξολέσειε, πρὶν ἡμῖν πῆμα γενέσθαι.
Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἔστω οὕτως, ἄπα· σὺ δ' ἔρχεο δειελιήσας·
Ἠῶθεν δ' ἴεναι καὶ ἄγειν ἱερήια καλά·
Αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει.
Ὣς φάτο· ὁ δ' αὖπις ἄρ' ἕζετ' εὐξέστῳ ἐπὶ δίφρῳ,
Πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος, ἠδὲ ποτῆτος,
Βῆ ῥ' ἰέναι μετ' ὕας· λίπε δ' ἕρκεά τε, μέγαρόν τε
Πλεῖον δαιτυμόων· τοὶ δ' ὀρχηστύϊ καὶ ἀοιδῇ
Τέρποντ'· ἤδη γὰρ καὶ ἐπήλυθε δείελον ἦμαρ.

" Viri petulantes injusta cogitant.
Hæc quidem sic dixit; ivit autem divinus subulcus
Procorum in cœtum, postquam dixerat omnia.
Statim autem Telemachum verbis velocibus allocutus est,
Collato capite, ut non audirent alii,
" O dilecte, ego quidem abeo, sues & illa custoditurus,
" Tuum *nimirùm* & meum victum: tibi verò hic omnia curæ sint.
" Ipsum quidem te primùm serva, & considera in animo,
" Ne quid patiaris; multi enim mala cogitant Achivorum:
" Quos Jupiter disperdat, antequam nobis nocumento sint.
Hunc rursus Telemachus prudens contra alloquutus est,
" Erit sic, ò pater: tu igitur vade merendâ sumptâ:
" Manè autem veni, & duc sacrificia pulchra:
" At mihi hæc omnia & immortalibus curæ erunt.
Sic dixit; hic igitur rursus sedit benè politâ in sede;
Ubi replevit verò animum cibo & potu,
Perrexit ire ad sues, liquitque claustraque, domumque
Plenam convivarum: hi verò saltu & cantu
Delectabantur: jam enim & egressus erat meridianus dies.

ΣΧΟΛΙΑ.

592. Ἄγχι κάρη.] * Ἐγγὺς σφσεισγκαν.

599. Δειελιήσας.] Πρὸς τὴν δειλινὴν ὥραν παραγενόμενος. τινὲς, τὴν μεσημβρίαν. ἢ τὴν ἐπιτηρητὴν διέξεισας. ἔνιοι δὲ τὴν δειλινὴν τροφὴν αἰτῶν, καὶ Καλλίμαχος φησὶ, Δείελον αἰτήσασιν, ἄγασσι δ' χεῖρας ἀπ' ἴργα, τὴν σφῶν τῇ δειλινῇ τροφῇ αἰτοῦντες, ἃ διόντας. σφσεισγκαμμένην δ', ὅτι οἱ ἀρχαῖοι τελεσὶ μόνον τροφαῖς ἐχρῶντο.

606. Δείελον ἦμαρ.] Τὸ τῆ δειλινῆς ὥρας.

NOTÆ.

589. Διὸς ὑφορβὸς) Vid. suprà, ad ξ'. v. 3.

592. Ἄγχι κάρη κεφαλῇ) Hic Versus aliàs occurrit plus simplici vice. Vid. ad α'. v. 157. undè & hoc *Scholion* ad hunc locum *Duporti*us notavit.

599. Ἄπα) De hâc Voce diximus, ad *Iliad.* ι'. v. 603.

604. Βῆ ῥ' ἰμεναι) Idem Versus, suprà, π'. v. 341. *Ibid.* Ἕρκεα) γρ. ἑρκία, ut ad *Iliad.* ι'. v. 472.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ
ΟΔΥΣΣΕΙΑΣ
ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Σ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Σ'.

Ὁ Δεσπότης καὶ Ἶρος πυγμὴν γίνεται· φαίνεται δὲ καὶ Πηνελόπη τοῖς Μνηστῆρσι, καὶ παρ' αὐτῶν δῶρα λαμβάνει. γίνεται δὲ καὶ πᾶσα κοινολογία ἐν τῇ ἐξῆς Ὀδυσσείας τοῦ Εὐρύμαχου.

Ἐπιγραφή.

Ὀδυσσέως ἐς Ἶρον πυγμή.

Ἄλλως.

Σίγμα· ἔριν Ἴρου, εὐχὼ Ὀδυσσεύς, δῶρά τ' ἀνάκτων. LIB. XVIII.

Ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ἄστυ
Πτωχεύεσκ' Ἰθάκης, μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ,
Ἄζηχὲς φαγέμεν καὶ πίνεμεν· οὐδέ οἱ ἦν ἴς,
Οὐδὲ βίη· εἶδος δὲ μάλα μέγας ἦν ὁρᾶσθαι.
Ἀρναῖος δ' ὄνομ' ἔσκε· τὸ γὰρ θέτο πότνια μήτηρ

VEnit autem *ad illos* pauper publicus,
qui in civitate
Mendicabat Ithacæ, excellebat verò
ventre edaci,
Inceſſanter comedere & bibere; ne-
que ei erat vis,
Neque robur; ſtaturâ autem valdè
magnus erat conſpectu.
Et Arnæus nomine erat: hoc enim
impoſuit veneranda mater

ΣΧΟΛΙΑ.

1. Πτωχός.] Ἐπαίτης. Πανδήμιος.] Ὁ καθ' ὅλον τὸν δῆμον ἐπαιτῶν, καὶ οὐ τῆς πόλεως ἐπιών.

2. Γαστέρι μάργῃ.] Γαστριμαργίᾳ μαινομένῃ.

3. Ἄζηχές.] * Δεινὸν, μέγα, συνεχὲς, διηνεκὲς, ἀδιάλειπτον, μεγαλόφωνον· ἀφ' οὗ τὸ, Ἀζηχὲς μεμακυῖαι. * Πολλαί.

NOTÆ.

V. 2. Γαστέρι μάργῃ) Ἀντὶ τοῦ, γαστριμαργίᾳ, διαλελυμένως εἴρηται· ὁμοίως τοῦ, πόλις ἄκρη, ἀντὶ τοῦ, ἀκρόπολις. Vid. *Euſtath.* fol. 651. lin. 11.

3. Ἄζηχὲς φαγέμεν, καὶ πιέμεν) *Etymolog.* M. v. Ἀναλτον, legit πιέμεναι, de quâ re Nos ſatis ad π'. v. 143.

4. Μάλα μέγας ἦν) *Ultima* in μάλα producitur, in *Ceſurâ*, ante *Liquidam*, &c.

5. Ἀρναῖος δ' ὄνομ' ἔσκε) *Ptolemæus Hephæſtion*, l. 5. Ὡς ὁ παρ' Ὁμήρῳ Ἶρος, Βοιωτὸς ἦν, quod & *Photius* ex illo laudat, fol. 250. Credo, quod ut *Stephanus* περὶ πόλεων, Ἄρνη, πόλις Βοιωτίας· Ὅμηρος·

NOTÆ IN SCHOLIA.

V. 2. Ex hoc Scholio corrige *Heſych.* v. Γαστέρι μάργῃ, & lege γαστριμαργίᾳ, pro γαστριμάργῃ.

3. Δεινὸν) Hoc *Scholion*, præter διηνεκὲς & ἀδιάλειπτον, ex Παλαιαῖς, ut *Euſtath.* fol. 651. lin. 19. Οἱ δὲ Παλαιοὶ λέγουσι, καὶ ὅτι ἀζηχὲς, δεινόν· μέγα· συνεχὲς· ἀδιάλειπτον· μεγαλόφωνον· εἴρηται δὲ παρ' αὐτῆς τὸ μεγαλόφωνον, ἀφ' οὗ καὶ τέτταρα ῥηθήσεται, Ἀζηχὲς μεμακυῖαι, *Iliad.* δ'. v. 435. Vocem * πολλαὶ, ex MS. *Aloyſii* addo, in quo tamen reliquæ duæ Voces minimè apparent.

VARIÆ LECTIONES.

V. 3. Πιέμεν) *ſc.* πιέμεναι, *Etymolog.* M. vid. Not. in *Textum*.

5. Πότνια μήτηρ) *ſc.* εἰ ποτε μήτηρ, *Etymolog.* M. v. Ἀρναῖος.

Ex

Ἐκ γενετῆς· Ἶρον δ' νέοι κίκλησκον ἅπαντες,
Οὕνεκ' ἀπαγγέλλεσκε κιὼν, ὅτε πᾶ τις ἀνώγοι.
Ὡς ῥ' ἐλθὼν Ὀδυσῆα διώκελο οἷο δόμοιο,
Καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα,

Ex nativitate: Irum tamen juvenes vocabant omnes;
Quoniam nuncios deferebat profectus, quando aliquis jubebat.
Qui superveniens Ulyssem expellere *voluit* suâ domo,
Et ipsum objurgando verba velocia dixit,

Εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκῃ·
Οὐκ ἀΐεις, ὅτι δή μοι ὑπαλλίζουσιν ἅπαντες,
Ἑλκέμεναι δ' κέλονται; ἐγὼ δ' αἰδύομαι ἔμπης.
Ἀλλ' ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται.

" Recede, senex, è vestibulo, ne jam citò & pede traharis;
" Non sentis, quòd jam mihi innuunt omnes;
" Trahereque hortantur? Ego tamen verecundor omninò.
" Verùm surge, nè citò nobis contentio etiam manibus fiat.

Τόνδ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς,
Δαιμόνι', οὔτε τί σε ῥέζω κακὸν, οὔτ' ἀγορεύω,
Οὔτε τινὰ φθονέω δόμεναι, καὶ πόλλ' ἀνελόντα.
Οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται· ἠδέ τι σὲ χρὴ
Ἀλλοίων φθονέειν· δοκέεις δέ μοι εἶναι ἀλήτης,
Ὡς περ ἐγών· ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
Χερσὶ δὲ μήτι λίλαιο προκαλίζεο, μή με χολώσῃς,
Μή σε, γέρων περ ἐών, σῆθεν καὶ χείλεα φύρσω
Αἵματι· ἡσυχίη δ' ἂν ἐμοὶ καὶ μᾶλλον ἔτ' εἴη
Αὔριον· ἠ μὴν γάρ τί σ' ἐπωφρέψεσθαι οἴω

Hunc torvè conspicatus, alloquutus est altutus Ulysses,
" Miser, neque aliquid tibi facio mali, neque dico,
" Neque aliquem invideo dare, quantumvis multa acceperit.
" Limen tamen ambos hoc capiet: neque aliquid te oportet
" Ex alienis invidere alteri; videris etenim mihi esse erro,
" Sicut ego; opulentiam verò Dei differunt præbere,
" Manibus autem nè valdè provoca, ne me in iram concitas,
" Nè te, licet sim senex, pectus & labra commaculem
" Sanguine; quietque mihi & magis adhuc erit
" Cras: non quidem enim te reversurum puto

ΣΧΟΛΙΑ.

6. Ἶρον.] Παρὰ τὸ εἴρειν.
8. Διώκελο.] Ἐοίκειν.
10. Εἶκε.] *Ὑποχώρει.
11. Ἐπιλίζουσι.] Τοῖς ὄμμασι λοιδοροῦσιν.
16. Ἀνελόντα.] Ἀντὶ τοῦ. ἀνελόμενον, λαβόντα.
17. Χείσεται.] Χωρήσει· ὅθεν καὶ χειὰς, τὰς καθεδούσας τῶν ὀρνίων.
19. Ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.] Εἰώθασι δὲ οἱ θεοὶ *διανεμητικοὶ εἶναι εὐδαιμονίας, ὥσπερ ὁ Φαίνοπος ἡμῖν ἴλιος. Ὀπάζειν.] Παρέχειν, δωρεῖσθαι.
20. Προκαλίζεο.] Προκάλει. Χολώσῃς.] Ὀργιεῖς ποιήσῃς.
21. Φύρσω.] Μολυνῶ.

NOTÆ.

ἐστὶν, Οἵ τε πολυσταφυλόν τ' Ἄριλλαν ἶχον. Vid. *Etymol.* M. v. Ἀριλλᾶται, & *Eustath.* fol. 651. lin. 38. *Ibid.* Τὸ δὲ θέτο πότνια μήτηρ) Vid. ad *Var. Lect.* & quæ Nos ad *Euripid.* Electr. v. 1126.

11. Οὐκ ἀΐεις, ὅτι δή μοι ἐπιλίζουσιν ἅπαντες) Similiter locutus Poeta, ε'. v. 545. Οὐκ ὀρᾷς, ὅ μοι ὧδε ἐπέτραφεν εἰν μεγάροισιν; ubi τὸ ὀρᾷς, de re *audibili*, ut hic τὸ ἀΐεις, de re *visibili*; rectè omninò & ex mente Philosophiæ filiorum: Nam quùm *Animus* omnia in Sensibus agat, & Organa sint Sensus *Animi*, quævis Perceptio per quemvis Sensum potest exprimi; undè *Epicharmus*, Νῦς ὁρᾷ, & νῦς ἀκούει· τἄλλα κωφὰ καὶ τυφλά. Et *Ovid.* de *Pythagorâ*, ——*quæ Natura negavit Visibus humanis, Oculis ea Pectoris hausit.* Quod siquis malit esse litigiosior, referri potest ad sequentia verba, Ἑλκέμεναι δ' κέλονται. Vid. *Eustath.* fol. 1831. lin. 50. Edit. *Roman.* & fol. 652. lin. 19. Edit. *Basil.* de voce ἐπιλλίζω, & *Porphyr.* Ζητημ. Ὁμηρικ. ια'. *Etymolog.* M. v. Ἐπιλίζουσιν. *Suidas*, v. Ἐπιλλίζω.

22. Αἵματι) Τὸ ἐξῆς, φύρσω τῷ αἵματός σου φύρματι. Ut *Act.* c. 27. v. 1. Ἀπεκδέχῃ δ' ἀπολλύειν, δηλονότι τὸ κελεύσαντα.

NOTÆ IN SCHOLIA.

10. *Ὑποχώρει) Ità pro ὑποχώρει, scribo, quòd εἶκε sit *Imperandi* Modo in hoc loco, &c.

19. *Διανεμητικοὶ, MS. *Aloysii* δεξητικοὶ, voce ejusdem significationis.

VARIÆ LECTIONES.

7. Πᾶ τις) κ. κάν τις, *H. Steph.*
11. Ἄπαντες) κ. Ἀχαιοὶ, *Etymol.* M. v. Ἐπιλίζουσιν.
18. Ἀλλοτρίων φθονέειν) κ. ἀλλοτριοφθονέειν, *H. Steph.*

Δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
Τόνδε χολωτάμενος προσεφώνεεν Ἶρος ἀλήτης,
Ὤ πόποι, ὡς ὁ μολοβρὸς ὑπεροχάδην ἀγορεύει,
Γρηῒ καμινῷ ἴσος· ὃν ἂν κακὰ μηκασαίμην,
Κόπτων ἀμφοτέρῃσι, καμὼ δ' ἐκ πάντας ὀδόντας
Γναθμῷ ἐξελάσαιμι, συὸς ὡς ληϊβοτείρης.
Ζῶσαι νῦν, ἵνα πάντες ὑπαγνώσωσι καὶ οἵδε
Μαρναμένους· πῶς δ' ἂν σὺ νεωτέρῳ ἀνδρὶ μάχοιο;
Ὣς οἱ μὲν προπάροιθε θυράων ὑψηλάων
Οὐδῷ ἐπὶ ξεστῷ παντυμαδὸν ὀχριόωντο.
Τοῖσιν δ' ξυνέηκε ἰερὸν μένος Ἀντινόοιο,
Ἡδὺ δ' ἄρ' ἐγγελάσας μετεφώνεε μνηστῆρσιν,
Ὦ φίλοι, ἢ μέν πω τι πάρος τοιοῦτον ἐτύχθη·
Οἷλον τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα;
Ὁ ξεῖνός τε καὶ Ἶρος ἐείζετον ἀλλήλοιϊν
Χερσὶ μαχέσασθαι· ἀλλὰ ξυνελάσομεν ὦκα.

" Iterum intra domum Laërtiadæ Ulyſſis.
Hunc iratus alloquutus eſt Irus mendicus,
" Vah! ut iſte guloſus volubilitèr loquitur
" Vetulæ ruliginoſæ ſimilis; quem malè mulctabo,
" Percutiens ambabus *manibus*; in terram etenim omnes dentes
" Maxillis expellam, porci ſicut ſegetem depaſcentis.
" Cinge nunc; ut omnes agnoſcant & hi
" Nos pugnantes: quomodo enim tu juniori viro pugnabis?
Sic hi quidem ante januas altas
Limine in polito toto-animo litigabant.
Hos autem animadvertit ſacrum robur Antinoi;
Suaviterque ridens alloquutus eſt proco,
" O amici, non quidem unquam aliquid antea tale tactum eſt;
" Qualem delectationem Deus duxit in hanc domum!
" Hoſpesque & Irus contendunt mutuò
" Manibus pugnare: verum committamus cito.

Σ Χ Ο Λ Ι Α.

26. Ἐπιτοχάδην.] Ἐπισπερχῶς. Ἀγορεύει.] Διαλέγεται.

27. Καμινοῦ.] Καμινωδεία, φρυγέσση κεφαλή· ἔστι δὲ ἡ εὐθία, καμινώ.

28. Κόπτων.] Πλήσσων, τύπτων.

29. Ληϊβοτείρης.] Τῆς καταβιβρώσκουσης τὸ λήϊον, ὅ ἐστι τὸ σπερμάτιον χωρίον· ἐὰν γὰρ εὑρεθῇ σὺς ἀλλότριον σπόρον πατοῦσα βοσκομένη, ἐξολοθρεύεται.

30. Ἐπιγνώσωσιν.] Ἀντὶ εὖ, γνόωσιν.

31. Μαρναμένους.] Μαχομένους.

33. Παντυμαδόν.] Ἐκθύμως, πάσῃ τῇ ψυχῇ, ἄγαν ὀργίλως. Ὀκριόωντο.] Ἐτραχύνοντο, διαφιξοῦντο, διεπλεκίζοντο.

37. Οἷλον.] Ὁποῖον. Τερπωλήν.] Τέρψιν.

38. Ἐείζετον.] Φιλονεικεῖσθον. Ἀλλήλοιϊν.] Πρὸς ἀλλήλους.

39. Ξυνελάσομεν.] Συμβαλοῦμεν.

N O T Æ.

27. Μηλοσαίμην) Ità ſcribendum, Duplici σ', ob *Metrum*; ut ad μ'. v. 373.

29. Συὸς ὡς ληϊβοτείρης) Huc refer *Ælian.* Animal. l. 5. c. 45. in ipſo fine, Ἐν Σαλαμῖνι δὲ, χλωρᾷ σίτῳ καὶ ληΐῳ κομῶντος, ἐὰν σὶς ἐμπίσῃ καὶ λυμήνηται, νόμος ἐστὶ Σαλαμινίοις τὰς ὀδόντας ἐκτρίβειν αὐτῆς· καὶ τοῦτο τίνα τὸ παρ' Ὁμήρῳ, συὸς ληϊβοτείρης φασίν· οἱ δὲ ἕτεροι τοῦτον, καὶ λέγουσι, χλωρᾷ σίτῳ τὴν ὑν μυσαμένοις, ἀφειδεῖς ἔχειν τοὺς ὀδόντας. *Euſtath.* fol. 653. lin. 36. Σὺς δὲ ληϊβότειρα, ἡ ἀλλοτρίαν ἀλλοτρίου λήϊον· ἢν ἐξωλοθρεύσωσιν οἱ δεσπόζοντες χωρίου· ὁ νόμος δὲ φασι παρὰ Κυπρίοις. Confer *Br. Schol.* quòd *Edentatio* Suum, alienam ſegetem depaſcentium, ex Lege *Cypriorum*, vel *Salaminiorum Cypriorum* fiat, vid. *Conrad. Geſneri* Hiſtor. Quadruped. fol. 884. & Hieroglyph. *Pierii*, l. 8. fol. 63. *E.*

34. Ἰερὸν μένος) Qui ἱλαρὸν legebant, neſciebant *Homerum* ad *Antinoi* μένος referre, quod à Deo provenit, non ad ipſum; & ἱλαρὸν, minimè Vox *Homerica*. Ità olim, II. ſive Hymn. *Apollin.* v. 371. ἵμερον, pro ἱερόν.

293. Κλῆσιν.] Καλέσασθαι, εἰς ἃς καθίσασα τὰς περόνας. Εὐγνάμπτοις.] Καλῶς ἐπικεκαμμένας.

294. Ὅρμον.] Τὸν καλῶς ἔχοντα κόσμον.

296. Ἔρματα.] Δῶρα, * ἅτινα κόσμον· ὅ ἐστι τὶ σύνθετα.

297. Τείγλλωα.] Τέλεια κόσμια, ἐν ᾧ τὸ τελίσφαλμα τέθεικε. Μορόεντα.] Τὰ μὲν πολλῆ μόρῳ καὶ κακοπαθείᾳ κατασκευασθέντα.

298. Πολυκτορίδαο.] Πολύκτορος παιδός.

299. Ἶδμον.] Περίκαλλες· ἔστιν δὲ παρόμοια. Διαφέρει δὲ τῷ ἕρματι· τὸ μὲν γὰρ περιέρχεται τῷ τραχήλῳ, ὁ δὲ ὅρμος κεχάλασται· ἰδμὼν δέ, ὁ τραχήλου, ἀπὸ εἰσπνοῆς τοῦ τροφοῦ δι' αὐτοῦ.

306. Λαμπτῆρας.] Ἐλαίους μεστοὺς· ἢ τοὺς χρυσοῦς, ἀφ' ὧν ἔκαιον.

307. Φαείνοιεν.] Λάμποιεν. Θῆκαν.] Ἔπεθηκαν.

308. Κεκεασμένα.] Ἐκκεκομμένα.

NOTÆ.

297. Τείγλλωα. μορόεντα.) *Ultima* τείγλλωα producitur, in *Cæsurâ*, ante *Incisum*, & vi *Liquidæ* sequentis, vid. infrà, ad τ'. v. 92. Voces τείγλλωα & μορόεντα satis explicant *Eustath.* ad *Iliad.* ξ'. v. 183 fol. 964. lin. 31. *Hesych.* v. Τρίγλλωα, & v. Μορόεντα. Item *Etymolog.* M. *Suidas*, *Phavorinus*, in iisdem vocibus. Vocem autem μορόεντα. hoc certè in loco, existimo non solùm spectare ad Operis elegantiam exquisitam, aut Opificis industrium & elaboratum ingenium, verùm etiam ad fatalem tandem earundem gemmarum Retributionem; quam nacti sunt ab *Ulyssis* manibus hi Proci: Quasi ejusdem essent generis, cum *Eriphylæ* Armillâ, seu Aureo Monili; aut Equo *Sejani*, & *Auro Tholosano*; quorum Prius ante *Trojana* tempora. Hoc enim maximè decet Poetæ nostri Ingenium.

NOTÆ IN SCHOLIA.

296. * Τῶν ἅτινα &c. ex *Alcyssi* MS. addo, perquam accommoda.

299. Ἶδμονα.) Cum his *Scholiis* confer *Etymolog.* M. v.

VARIÆ LECTIONES.

300. Ἔνεικεν) κ. ἔδωκεν, *H. Steph.*

Καὶ

Καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον
Δμωαὶ Ὀδυσσῆος ταλασίφρονος· αὐτὰρ ὁ τῆσιν
Αὐτὸς διογενὴς μετέφη πολύμηλις Ὀδυσσεύς,
Δμωαὶ Ὀδυσσῆος, δηὶ οἰχομένοιο ἄνακτος,
Ἔρχεσθε πρὸς δώματ', ἵν' αἰδοίη βασίλεια·
Τῇ δ' πάρ' ἠλάκατα τροφαλίζετε· τέρπεΐ δ' αὐτὴν
Ἥμενα σὺν μεγάρῳ, ἢ εἴρια πείκεΐ χερσίν.
Αὐτὰρ ἐγὼ τύποισι φάος πάντεσσι παρέξω.
Ἠοῦς γάρ κ' ἐθέλωσιν ἐΰθρονον ἦμαρ ἰμένειν,
Οὔπι μὲ νικήσουσι· πολυτλήμων δ' ἁλί εἰμί.
Ὣς ἔφαθ'· αἱ δ' ἐγέλασσαν, ἐς ἀλλήλας δ' ἴδον ὀσσε.
Τόνδ' αἰσχρῶς ὀνίνησι Μελανθὼ καλλιπάρῃος,
Τὴν Δολίος μὲν ἔπεφνε, κόμισσε δὲ Πηνελόπεια,
Παῖδα θ' ὡς ἀπάτηλε· δίδε δ' ἄρ' ἀθύρματα θυμῷ,
Ἀλλ' ὅδ' ὡς σχέθε πένθος ὀϊ φρεσὶ Πηνελοπείης·
Ἀλλ' ἤγ' Εὐρυμάχῳ μισγέσκετο, τὸν φιλέεσκεν·
Ἣ ῥ' Ὀδυσῆ ὀνείνησιν ὀνειδείοις ἐπέεσσι,
Ξεῖνε τάλαν, σύ γέ τις φρένας ὄκπεπαλαγμένος ἐσσί,
Οὐδ' ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών,
Ἠέ που ἐς λέσχην· ἀλλ' ὀνθάδε πόλλ' ἀγορεύεις

Et lampadas miſcuerunt; alternatim verò prælucebant
Famulæ Ulyſſis laborioſi: at hic illis
Ipſe generoſus loquutus eſt prudens Ulyſſes,
" Famulæ Ulyſſis, diù abſentis regis,
" Ite ad domos, ubi eſt veneranda regina:
" Huic verò juxta colos vertite; & delectate ipſam
" Sedentes in domo, vel lanas aptate manibus.
" At ego his lumen omnibus præbebo,
" Siquidem volverint pulchræ-ſedis Auroram expectare,
" Non me vincent; perpatiens enim valdè ſum.
Sic dixit; hæ autem riſerunt, & ſe invicem reſpiciebant:
Hunc turpiter corrupit Melantho pulchra-genis,
Quam Dolius quidem genuerat, nutriverat autem Penelope,
Filiamque velut educârat, dabatque delitias animo:
Sed neque ſic tenuit dolorem in mentibus ob Penelopen;
Sed hæc Eurymacho mixta eſt, & amabat.
Hæc Ulyſſem improperabat contumelioſis verbis,
" Hoſpes miſer, tu aliquis es mente attonitus, *i. e. amens*;
" Neque vis dormire æream in domum profectus;
" Vel alicubi in tabernam; ſed hic multa dicis

ΣΧΟΛΙΑ.

309. Μετέμισγον.] Συναναμίσγοντο. Ἀμοιβηδὶς.] Ἀνὰ μίαν.
314. Στροφαλίζετε.] Στρέφετε.
315. Πείκετε.] Ξαίνετε.
321. Κόμισσε.] Μετ' ἐπιμελείας ἔθρεψε.
323. Σχέθη.] Εἶχεν.
324. Μισγέσκετο.] Συνεμίγνυτο.
326. Τάλαν.] Ἄθλιε. Ἐκπεπαλαγμένος.] * Ἐκπεπληγμένος τὰς φρένας, ἄφρων.
327. Χαλκήϊον.] * Χαλκεῖον οἴκημα.
328. Λέσχην.] Δημόσιον οἴκημα, οἷον * λέσχην, παρὰ τὸ ἐν αὐτῷ τοὺς μὴ ἔχοντας οἰκήματα λέσχη ποιεῖσθαι· ἢ παρὰ τὸ λεσχαίνειν ἐν αὐτῷ, ὅ ἐστι ὁμιλεῖν.

NOTÆ.

315. Εἴρια) *Euſtath.* fol. 325. lin. 2. Ὅμηρος μὲ τὸ εἴριον ἐκπαρεξύνει, ὁμοίως τῷ λείριον· οἱ δὲ ὕστερον, παρεξύνουσι πρὸς ἀναλογίαν ἑτέρων παροξυνόντων Δακτυλικῶν λέξεων· ἵνα ᾖ, ὡς πῖχος, πυγμαῖος· ὕπως εἶρος, εἴριον.

NOTÆ IN SCHOLIA.

327. * Χαλκήϊον δῆμον) MS. apertè, χαλκέως δῆμον, & *Euſtath.* fol. 672. lin. 32. χαλκεῖον vocat.

328. * Λέσχη) Ità lego pro λέσχαν, nè ſit idem explicatum per idem. Vid. *Heſych. Etymolog.* M. *Suidam* & *Phavorinum*, in v. *Euſtathius*, fol. 672. lin. 34. Ἦν δὲ λέσχη, δημόσιον αὐθύρωθεν οἴκημα· ἔνθα οἱ ἱππεῖς συναγόμενοι, ὡς λέσχαν τὸ αὐτὸ εἶχον. Ἐ ἐλέσχαινον δέ, ὅ ἐστιν, ὁμίλουν, τὰ δοκοῦντα δηλαδὴ αὐτοῖς. Μίμνην) Ὁ τύπτων Ἐ Ἡσίοδος, Παρ' οἷ' ἴδη χαλκεόν τε δόμον, καὶ ἐπαύλια λέσχαι. At hanc explicationem vox εὐδεῖν evertit; nec enim licuit cuivis, in Fabri ferrarii officinâ dormire & pernoctare; quare χαλκεῖον δῆμον exponendum, ut χαλκοδαίς δῶ, &c. *Suidas*, Λέσχαι ἔλεγον δημοσίας πινὰς τύπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο πολλοί· Ὅμηρος, Οὐδ' ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών, Ἠέ που εἰς λέσχην.

VARIÆ LECTIONES.

321. Δόλιος) *γρ.* Δολίης, vid. ad *Iliad.* β'. v. 856.

Θαρσαλέως πολλοῖσι μεθ' ἀνδράσιν ὐδέ τι θυμῷ
Ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
Τοιοῦτος νόος ἐστὶν, ὃ σὺ μεθαμώλια βάζεις·
Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τ' ἀλήτην;
Μή τίς τοι τάχα Ἰρου ἀμείνων ἄλλος ἀνστῇ,
Ὅς τίς σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ βιβαρῇσι,
Δώμαδος ἐκπέμψῃσι, φυγὼν αἵματι πολλῷ.
Τὼ δ' ἄρ' ὑποδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς,
Ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ' ἀγορεύεις,
Κεῖσ' ἐλθὼν, ἵνα σ' αὖθι κατημελεῖσι τάμησιν.
Ὣς εἰπὼν, ἐπέεσσι διεπτοίησε γυναῖκας.
Βὰν δ' ἴμμασι κατὰ δῶμα· λύθεν δ' ὑπὸ γυῖα ἑκάστης
Ταρβοσύνῃ· φὰν γάρ μιν ἀληθέα μυθήσασθαι.
Αὐτὰρ ὁ πὰρ λαμπῆρσι φαεινὸν * αἰθομένοισιν
Εἰσηλθ' ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ
Ὥρμαινε φρεσὶν ἦσιν, ἃ ῥ' οὐκ ἀτέλεστα γένοντο.
Μνηστῆρας δ' ὃ πάμπαν ἀγλαΐσρας εἴα Ἀθηνὴ
Λώβης ἴσχειν θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
Δύνῃ ἄχος κραδίῃσι Λαερτιάδαο Ὀδυσῆος.
Τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν,
Κερτομέων Ὀδυσῆα· γέλων δ' ἑτάροισιν ἔτυξε.
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλείης βασιλείης,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·

" Confidenter multos inter viros, neque quid animo
" Times: certe tibi vinum habet mentes, vel tibi semper
" Talis mens est, quare & vana dicis.
" An gaudio efferris; quòd Irum vicisti erronem?
" *Cave*, ne quis tibi citò Iro melior alius assurgat,
" Qui te circum caput percussum manibus fortibus
" Domo emittat, fœdatum sanguine multo.
Hanc torvè conspicatus alloquutus est prudens Ulysses,
" Certè citò Telemacho dicam, canis, qualia loqueris,
" Illuc profectus, ut te denuò membratim incidat.
Sic loquutus, verbis perterruit mulieres;
Perrexerunt autem ire per domum, solutaque sunt membra singulis
Timore, putabant enim ipsum vera dicere.
At hic propè lampadibus prælucens accensis
Stabat omnes aspiciens; alia verò ejus animus
Cogitabat mentibus, quæ non imperfecta fuerunt.
Procos igitur non omninò superbos sinebat Minerva
Contumeliâ abstinere molestâ; ut adhuc magis
Ingrederetur dolor cor Laërtiadæ Ulyssis.
His itaque Eurymachus, Polybi filius, incepit dicere,
Incessens Ulyssem; risumque sociis fecit,
" Audite me, proci inclytæ reginæ,
" Ut dicam, quæ me animus in pectoribus jubet;

ΣΧΟΛΙΑ.

332. Ἀλύεις.] Χαίρεις, γανυσᾷς.
333. Ἀνασῇ.] Ἀγωνίσῃ.
335. Φυγὼν ἐκπέμψῃσι.] Μολόντας.
338. * Διαμητιεῖσι.] Διὰ μίλου.
349. Γέλων.] Γέλωτα, Ἀττικῶς.

NOTÆ.

329. Θαρσαλέως πολλοῖσι) Iidem Versus hi Quatuor aliàs leguntur, *viz.* infrà, v. 389. &c.

342. Λαμπῆρσι φαεινὸν * αἰθομένοισιν) Malè in pluribus αἰθομένοισιν. Solæ, *Romana* & *Basileensis Eustathii*, αἰθομένοισι rectè legunt; nam ὁ λαμπτὴρ. *Florentina* certè αἰθομένησιν habet, *Aldina, Lovaniana Rescii, Hervagiana, Stephaniana, Castellionea, Spondan. Elzevir. Cantabrig. Oxonienſ.* Ità aliquandò prudentibus etiam obrepunt Errores, quos Magnorum virorum Auctoritas incautis solet obtrudere.

NOTÆ IN SCHOLIA.

338. * *Aloyſii* MS. hoc dabat.

VARIÆ LECTIONES.

331. Μεθαμώλια) χρ. μεθαμώνια, vid. infrà, ad v. 391.
332. Ἀλύεις) χρ. ἀλύεις, ut ad ι'. v. 398. in Not. ad *Textum*.
338. Διαμητιεῖσι) χρ. Δημμητιεῖσι, & Δὲ μητιεῖσι, vid. ad ι'. v. 291.
342. Αἰθομένοισιν) χρ. αἰθομένησιν, vid. Not. ad *Textum*.
347. Λαερτιάδαο Ὀδυσῆος) χρ. Λαερτιάδην Ὀδυσῆα, *H. Steph.*
349. Ἔτυξε) χρ. ἔτυχε, *H. Steph.*

Οὐκ

Οὐκ ἀθεεὶ ὅδ' ἀνὴρ Ὀδυσῆϊον ἐς δόμον ἵκε·
Ἔμπης μοὶ δοκέει δαίδων σέλας ἔμμεναι αὐτῶ,
Καὶ κεφαλῆς· ἐπεὶ οὔ οἱ ἔνι τρίχες οὐδ' ἠβαιαί.
Ἦ ῥ', ἅμα τὲ προσέφη πολύπορθον, Ὀδυσῆα·
Ξεῖν', ἦ ἄρ κ' ἐθέλοις θητεύεμεν, εἴ σ' ἀνελοίμην,
Ἀγρῶ ἐπ' ἐσχατιῆς, μισθὸς δέ τοι ἄρκιος ἔσται,
Αἱμασιάς τε λέγων, καὶ δένδρεα μακρὰ φυτεύων;
Ἐνθάδ' ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι,
Εἵματά τ' ἀμφιέσαιμι, ποσὶν δ' ὑποδήματα δοίην·
Ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κακὰ ἔμμαθες, οὐκ ἐθελήσεις
Ἔργον ἐποίχεσθαι· ἀλλὰ πλάζεσκι κατὰ δῆμον
Βάλεαι, ὄφρ' ἂν ἔχῃς βόσκειν σὸν γαστέρ' ἄναλτον.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Εὐρύμαχ', εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο
Ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται,
Ἐν ποίῃ, δρέπανον μὲν ἐγὼν εὐκαμπὲς ἔχοιμι,
Καὶ κέ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ἔργου
Νήστιες ἄχρι μάλα κνέφας, ποίη δ' ἐπείη.
Εἰ δ' αὖ καὶ βόες εἶεν ἐλαυνέμεν, οἵ τε μάλιστοι,
Αἴθωνες, μεγάλοι, ἄμφω κεκορηότε ποίης,
Ἥλικες, ἰσοφόρω, τώ τε σθένος οὐκ ἀλαπαδνόν,
Τετράγυον δ' εἴη, εἴκοι δ' ὑπὸ βῶλος ἀρότρῳ,

" Non ſine Deo hic vir Ulyſſeam in domum venit.
" Prorſus mihi videtur facularum ſplendor eſſe ex ipſo,
" Et capite *ipſius*; quoniam non ei ſunt capilli nè tantilli quidem.
Dixit, ſimulque alloquutus eſt Ulyſſem urbium deſtructorem,
" Hoſpes, nunquid vis mercede ſervire, ſi te ſuſcipiam,
" Agri in extremitate, merces etenim tibi ſufficiens erit,
" Sepeſque colligens, & arbores longas plantans?
" Illic ego victum quidem affatim dabo,
" Veſtimentaque circumduam, pedibuſque calceamenta dabo.
" Sed quandoquidem opera mala didiciſti, non voles
" Opus ire; ſed mendicare per populum
" Vis; ut poſſis paſcere tuum ventrem inſatiabilem.
Hunc reſpondens alloquutus eſt prudens Ulyſſes,
" Eurymache, utinam nobis contentio operis eſſet
" Tempore in verno, quando dies longi ſunt,
" In herbâ falcem quidem ego benè flexam haberem,
" Et tu quoque talem haberes, ut experiremur opus
" Jejuni uſque valdè ad tenebras, herba interim adeſſet.
" Utinam rurſus & boves eſſent ad impellendum, qui optimi,
" Pingues, magni, ambo ſaturati herbâ,
" Æquales, pari-oneri-apti, quorum robur non imbecillum,
" Sed arvum magnum eſſet, cedatque gleba aratro;

ΣΧΟΛΙΑ.

352. Οὐκ ἀθεεί.] Οὐκ ἄνευ θεοῦ.
353. Ἔμπης.] Νῦν, ἀντὶ τοῦ, * ὁμοίως.
356. Ἀνελοίμην.] Ἀναλάβοιμι.
357. Ἄρκιος.] Ἱκανός.
358. Αἱμασιάς.] Τὰς ἐκβολὰς τῶν τοίχων, τὰς χάλικας. Λέγων.] Οἰκοδομῶν ἀκ συλλέκτων λίθων.
362. Πτώσσειν.] Πτωχεύειν.
367. Ποίῃ.] * Ἐπαύλῃ ποίᾳ, ὁ Δημοτελὴς χόρτος.
371. Κεκορηότε.] Κεκορεσμένοι.
372. Ἥλικες.] Ὁμήλικες. Ἰσοφόροι.] Ἴσως φέροντες, καὶ ἕλκοντες. * Ἀλαπαδνόν.] Ἀδυνὰς, παρὰ τὸ ἀλαπάζω, τὸ πορθῶ.
373. Τετράγυον.] Τέσσαρας ἔχον γύας· γύον δὲ, μέτρον γῆς.

NOTÆ.

352. Οὐκ ἀθεεί) Σαρκαστικῶς μὲν οὕτως· ἀληθῶς δὲ, ὡς ὕστερον ἐφαίνετο.
361. Ἔμμαθες) Vid. ſuprà, ad ρ'. v. 226. ubi iidem tres Verſus, Mutatis tantùm mutandis.

NOTÆ IN SCHOLIA.

353. * Ὁμοίως, pro ὅμως, ſcribo; nam MS. ὅμοιον habet, & *Euſtath.* tol. 674. lin. 34. per ἐπίσης explicat.
367. * Ἐπαύλῃ ποίῃ, ὁ Δημοτελὴς χόρτος, vo-ces ἐπαύλῃ ποίῃ, addo; ut rectè ſe habeat *Syntaxis*.
372. * Hoc *Scholion* ex *Aloſſii* MS. ubi tamen ἀϊδεῖς, malè.

VARIÆ LECTIONES.

354. Καὶ κεφαλῆς) γρ. κακκεφαλῆς.
356. Ἐθέλοις) χρ. ἐθέλοις, *H. Steph.*
361. Ἔμμαθες) γρ. ἔμαθες. vid. Not. in *Textum*.

Τῷ

Τῷ κέ μ' ἴδοις, εἰ ὦλκα διηνεκέα τεταμοίμην.
Εἰ δ' αὖ ϗ πόλεμόν ποθεν ὀρμήσειε Κρονίων
Σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη, ϗ δύο δοῦρε,
Καὶ κύνεη παλάχη ἐπὶ κροτάφοις ἀραρυῖα·
Τῷ κέ μ' ἴδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα.
Οὐδ' ἄν μοι τλὼ γαστέρ' ὀνειδίζων ἀγορεύοις.
Ἀλλὰ μάλ' ὑβρίζεις, καί τοι νόος ἐστὶν ἀπηνής·
Καί πω τὶς δοκέεις μέγας ἔμμεναι, ἠδὲ κραταιός,
Οὕνεκα πὰρ παύροισι ϗ οὐκ ἀγαθοῖσιν ὁμίλεις·
Εἰ δ' Ὀδυσεὺς ἔλθοι, ϗ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
Αἶψα κέ τοι τὰ θύρετρα, ϗ θύρεα περ μάλ' ἐόντα,
Φεύγοντι στείνοιτο δι' ὤκα τεταθυῖα θέραζε.
Ὣς ἔφαθ'· Εὐρύμαχος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
Καί μιν ὑποδρα ἰδὼν, ἔπεα πτερόεντα προσηύδα,
Ἆ δειλ', ἦ τάχα τοι τελέω κακὸν, οἷ' ἀγορεύεις
Θαρσαλέως, πολλοῖσι μετ' ἀνδράσιν· οὐδέ τι θυμῷ
Ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἦ νύ τοι αἰεὶ
Τοιοῦτος νόος ἐστὶν, ὃ ϗ μεταμώλια βάζεις;
Ἦ ἀλύεις, ὅτι Ἴρον ἐΐκησας τ' ἀλήτην;
Ὣς ἄρα φωνήσας, σφέλας εἵλετο· αὐτὰρ Ὀδυσεὺς
Ἀμφινόμου ποδὸς γοῦνα καθέζετο Δουλιχιῆος,
Εὐρύμαχον δείσας· ὁ δ' ἄρ' οἰνοχόον βάλε χειρὶ
Δεξιτερῇ· πρόχοος δ' ἐχαμαὶ βόμβησε πεσοῦσα·
Αὐτὰρ ὅγ' οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσι.

" Tunc me videret, si sulcum longum profcinderem.
" Sin rursus & bellum alicundè moverit Saturnius
" Hodiè, verùm mihi scutum esset, & duæ lanceæ,
" Et galea tota-ærea in temporibus congruens;
" Tunc me videres primis in pugnatoribus mixtum,
" Neque mihi ventrem exprobrans loquereris.
" Sed valdè insolescis, & animus tibi durus;
" Et quodammodò quidam videris magnus esse & fortis,
" Quoniam cum paucis, & non bonis versaris.
" Sin Ulysses veniret, & accederet in patriam terram,
" Statim tibi portæ, & latæ quamvis sint,
" Fugienti arctarentur è vestibulo forás.
Sic dixit; Eurymachus verò iratus est animo magis,
Et ipsum torvè conspicatus, verba velocia loquutus est,
" Ah miser, certè citò tibi perficiam malum, qualia dicis
" Confidentèr multos inter viros, neque quid animo
" Times: nunquid vinum tuas mentes occupat; an tibi semper
" Talis mens est, quoniam & vana dicis?
" An insolescis-præ-gaudio; quòd Irum vicisti scurram?
Sic locutus scabellum accepit: at Ulysses
Amphinomi ad genua desedit Dulichii,
Eurymachum veritus: hic itaque puerum a poculis percussit manum
Dextram; gutturnium verò humi sonuit cadens;
At hic ploraus cecidit resupinus in pulveribus.

Σ Χ Ο Λ Ι Α.

374. Διηνεκέα.] Τῷ ἀπὸ μιᾶς ὁρμῆς χιζομένῳ. Τεταμοίμην.] Διακόψαιμι.
375. Ὀρμήσειεν.] Ἐγείρῃ, κινήσῃ.
378. Μιχθίζω.] Μιχθίζω, ἀντὶ τοῦ, στωμυλήσομαι.
384. Τὰ θύρετρα φεύγοντι στείνοιτο.] Οὕτως παρασῴζεται ἐν τοῖς ἀρχαίοις· ἐν δὲ τοῖς νεωτέροις ἐστὶν, ἐν θύρῃσι φεύγοντι στείνοιτο. Ἀλλ' ἡ θύρα φεύγει, ὡς δοκεῖ συνεχρήσατο.
393. Σφέλας.] Τὸ ὑποπόδιον· ἢ τὸ βλῆμα, τὸ σφῆλαν δυνάμενον.
396. Πρόχοος.] Ὁ ξύστης.

N O T Æ.

379. Οὐδ' ἄν μοι τλὼ γαστέρ' ὀνειδίζων ἀγορεύοις) Huc pertinet illud *Michaelis Apostolii*, Proverb. Centur. V. Γαστέρα μοὶ πρόφερες· καλλιστον ὄνειδος ἁπάντων· Ἡ πλήρης μέν, ἀλαφροτέρη· κενεὴ δ', βαρεῖα.

389. Θαρσαλέως πολλοῖσι) Versus iidem *quatuor* suprà ab illius Concubinâ *Melantho* usurpati, quos nunc *Eurymachus* ipse profert; adeò sui semper memor Poeta.

Variæ Lectiones.

382. Οὐκ ἀγαθοῖσι) γρ. ἀπειθέσι, confer *Iliad.* α'. v. 231.
391. Μεταμώλια) γρ. μεταμώνια, *Hesych. Eustath.*
394. Εἵλετο) γρ. ἔλαβε, *H. Steph.* Vid. suprà, ad v. 331.

Μνησῆ-

Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
Ὧδε δέ πις εἶπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Αἶψ' ὤφελλ' ὁ ξεῖνος ἀλώμενος ἄλλοθ' ὀλέσθαι,
Πρὶν ἐλθεῖν· τῷ κ' οὔπ τόσον κέλαδον μεθέηκεν.
Νὺν ἦ φεῖ πλωχῷ ἐριδαίνομεν· οὐδέ τι δαιτὸς
Ἐσθλῆς ἔστε ἧδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἰς Τηλεμάχοιο,
Δαιμόνιοι, μαίνεσθε, καὶ οὐκέτι κρύπτετε θυμῷ
Βρῶσιν, οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμ' ὀρθοῖ.
Ἀλλ' εὖ δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες,
Ὁππότε θυμὸς ἄνωγε· δίομαι δ' οὔτιν' ἔγωγε.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φῦλες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν,
Νίσου Φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος,
Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
Ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι.
Μήτε τι τ' ξεῖνον σφηλίζετε, μήτε τιν' ἄλλον
Δμώων, οἳ κεν δῶμα δαΐφρονος Ὀδυσῆος.
Ἀλλ' ἄγε δὴ, οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
Ὄφρα σπείσαντες κατακείομεν οἴκαδ' ἰόντες·
Τὸν ξεῖνον δ' ἐάομεν ἐνὶ μεγάροις Ὀδυσῆος
Τηλεμάχῳ μελέμεν· τῷ γὰρ φίλον ἵκετο δῶμα.

Proci ergò tumultuati sunt in domibus umbrosis:
Atque ita aliquis dixit, ubi aspexisset propinquum aliun,
" Utinam hic hospes errans alibi periisset,
" Antequam venisset; sic non tantum strepitum intulisset.
" Nunc autem de paupere contendimus: neque aliqua convivii
" Bona est voluptas; quoniam pejora vincunt.
Hos quoque inter locuta est sacra vis Telemachi,
" Miseri, infanitis, & non jam retinetis animo
" Cibum, neque potum; Deorum aliquis vos concitat.
" Sed benè convivati dormite domum profecti,
" Quando animus jubet; cogo verò neminem ego.
Sic dixit; at autem omnes, mordicùs labris compressis,
Telemachum admirabantur, quòd audaciter locutus esset.
His Amphinomus concionatus est, & dixit,
Nisi illustris filius, Aretiadæ regis,
" O amici, nequaquam aliquis ob dictum justum
" Contrariis verbis mordens aliquem indignetur:
" Neque ampliùs hospitem verberate, neque aliquem alium
" Famulorum, qui sunt in domibus Ulyssis divini.
" Verùm agite, pocillator incipiat ministrare poculis,
" Ut postquam libaverimus, dormiamus domum profecti:
" Hospitem verò sinamus in ædibus Ulyssis
" Telemacho curæ esse: hujus enim dilectam pervenit domum.

ΣΧΟΛΙΑ.

398. * Ὁμάδησαν.] Θόρυβον ἐποίησαν.
401. Μεθέηκεν.] Ἐποίησεν.
405. Δαιμόνιοι.] Θαυμάσιοι, ἐπὶ κακῷ.
408. Δίομαι δ' οὔτιν' ἔγωγε.] Ἵνα * παροξυνθῶσιν καὶ διαιρεθῶσιν.
409. Φῦλες.] Ἐνδακόντες.
414. Χαλεπαίνοι.] Εἰς ὀργὴν κινήσοι.
415. Σφηλίζητε.] Διώκητε, ὑβρίζητε.
417. Ἐπαρξάσθω.] Ἀπὸ τοῦ πρώτου ἀρξάσθω.
418. Καθακείομεν.] Καθευδήσομεν.
420. Τηλεμάχῳ μελέμεν.] Ἐπιμελείας ἀξιοῦσι τὸν Τηλεμάχου.

NOTÆ.

403. Ἐπὶ τὰ χερείονα νικᾷ) Idem *Iliad.* α'. v. 576. Imitatur *Sophocl.* Philoctet. v. 456. Ὅταν τὸ χεῖρον πρᾶγμ' ἐπὶ μεῖζον θάσσῃ.

411. Τοῖσιν δ' Ἀμφίνομος) De hujus æquitate, diximus suprà, ad v. 145. & ad hunc, velut Patronum, modò fugisse *Ulyssem* constat, v. 394.

NOTÆ IN SCHOLIA.

398. * Et hoc *Aloysii* MS. præbuit, ubi tamen, per Exscriptoris incuriam, θόρυβον.

408. * Παροξυνθῶσιν, pro παραμείνωσιν, lego, MSti, & Trium *Impressorum* Vett. auctoritate.

VARIÆ LECTIONES.

404. Μιπιφ') κ. μιπίφη, ut suprà, v. 59.

415. Μήτε τι) γρ. μήτ' ἐπ.

Ὡς

Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἐαδότα μῦθον ἔειπε·
Τοῖσιν δὲ κρητῆρα κεράσσατο Μύλιος ἥρως,
Κῆρυξ Δυλιχιεύς· θεράπων δ' ἦν Ἀμφινόμοιο·
Νώμησεν δ' ἄρα πᾶσιν ὑποσταδόν· οἱ δὲ θεοῖσι
Σπείσαντες μακάρεσσι, πίον μελιηδέα οἶνον.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
Βάν ῥ' ἴμμεν κείοντες ἐὰ κατὰ δώματ' ἕκαστος.

Sic dixit; & illis omnibus gratum verbum locutus est:
Illis itaque craterem miscuit Mulius heros
Præco Dulichius, famulus verò erat Amphinomi,
Distribuit igitur omnibus ritè: hi autem Diis
Ubi libâssent beatis, biberunt dulce vinum.
At postquam libârunt, biberuntque, quantum voluit animus,
Perrexerunt ire dormitum sua ad cubicula unusquisque.

ΣΧΟΛΙΑ.

421. Ἐαδότα.] *Ἄδιζα, ἀείσκοντα.

424. Ἐπισπένδ.] *Ἐφισπάμβ.

* Ità lego, pro corrupto, ἐπισπάμβ. Vid. ad ν'. v. 54.

NOTÆ IN SCHOLIA.

421. *Ἄδιζα, MS. suppeditat, & Tres Codd. *Impressi*; quibus tamen τὸ ἀείσκοντα excidérit; quare utramque vocem restituo. Est autem ἄδω, & ἄδιω.

VARIÆ LECTIONES.

425. Σπείσαντες) γρ. λοίψαντες, *H. Steph.*

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Τ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Τ'.

ΣΥΝ Τηλεμάχῳ ἔκθεσιν ποιεῖται τῶν ὅπλων Ὀδυσεύς, καὶ ὡς Πηνελόπῃ ἐν Κρήτῃ εἶναι ὑποκρίνεται· γίγνεται δὲ αὐτοῦ δι' ἐλῆς ἀναγνωρισμὸς ὡς Εὐρύκλειαν, τὰς πόδας αὐτῆς νίψασαν καὶ ἅψασθαι ὁ ποιητὴς διηγεῖται, ὡς ὁ Παρνασσὸς ὑπὸ συὸς ἐπλήγη κωνηγῶν.

Ἐπιγραφαί.

Ὀδυσσέως καὶ Πηνελόπης ὁμιλία· καὶ τὰ Νίπτρα· ἢ, ὁ διὰ τοῦ Εὐρυκλείας ἀναγνωρισμός.

Ἄλλως.

Ταῦ δ' ἀναγνωρίζει ἐξ ἐλῆς κεκὶς Ὀδυσσεύς. LIB. XIX.

Αὐτὰρ ὁ δὲ μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
Μνηστῆρσι φόνον σιὼ Ἀθηναίῃ μερμηρίζων·
Αἶψα δὴ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα,
Τηλέμαχε, χρὴ τεύχε' ἀρήια κατθέμεν εἴσω
Πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι
Παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
Ἐκ καπνοῦ κατέθηκ'· ἐπεὶ οὐκέτι τοῖσιν ἐοικώς,

AST in domo remansit divinus Ulysses,
Procis cædem cum Minervâ conſtruens:
Statim igitur Telemachum verbis velocibus alloquutus eſt,
" Telemache, oportet arma bellicosa deponere intùs
" Omnia prorsus; at procos mollibus verbis
" Decipere; quandò à te inquirent curiosè desiderantes:
" Ex fumo depoſui, *inquies*; quoniam non his similia sunt,

Σ Χ Ο Λ Ι Α.

1. Ὑπελείπετο.] Ὑπελείφθη. ἔμεινεν.
4. Χρὴ τεύχεα.] Οἱ ἀστερίσκοι· ὅτι σὺν δάδι ἅπτονται. Κατθέμεν.] Καθιέναι.

Ν Ο Τ Æ.

V. 1. Αὐτὰρ ὁ δὲ μεγάρῳ) Hoc *Diſtichon* mox recurrit, v. 51.

4. Τηλέμαχε, χρὴ τεύχ' ἀρήια) *Euſtath.* fol. 606. lin. 27. Ἴσον δὲ, καὶ ὅτι ἡ περὶ τῶν ὅπλων σύνταξις παραγγελία, τῇ τοῦ τ'. μάλιστα ῥαψῳδίᾳ ὁμοία· καὶ τοὺς Παλαιοὺς· ἀδὴ γὰρ, Ὀβελίζουσι, φασὶ, τὰ τοιαῦτα ἔπη, μὴ Ἀστερίσκων· ὅπερ δὴ καιριώτατα κεῖνται, ὅτε καὶ εἴδεν Ὀδυσσεὺς τὰ ὅπλα· νῦν γὰρ, φασὶν, οὐκ ἀκριβοῖς ὤν, πῶς οἶδεν, ὅτι σκέπαρνα κεῖνται ὅπλα τὸ παλαιόν; Denique idem, ad hunc ipſum locum, fol. 678. lin. 47. Ἔνθα δὲ κεῖται ὡσὰν ἑνὸς ἑκάστου στίχου, Ἀστερίσκος, ὅταν Ὀβελὸς, ὡς σύνταξις τῶν πιθάνων στίχων ἄρασα κεφαλήν, καὶ οἷον ἀστέρος ὀβελὸν λαμπόντων, ἢ μᾶλλον ὅπου, ὡς ἐπεκείνοντο οἱ Παλαιοί. At quicquid Veteres illi *Critici* in hâc parte ſtatuerint, æquè neceſſario ad π'. v. 284. adhibentur, atque hic. Non enim *Ulyſſes* ex præſentibus tantum prudens erat, ſed longè antè proſpexit futura; & abſens etiam ſciebat, quæ Arma in ſuâ eſſent domo, & ubinam. Quare utrinque *Aſteriſci* debent appingi, ſine Obelo; utrobique enim non ſine ſingulari Artificio, à Poetâ conſummatiſſimo ponuntur.

5. Πάντα μάλ') Vid. ſuprà, ad π'. v. 286. ubi hic locus.

NOTÆ IN SCHOLIA.

V. 4. Οἱ Ἀστερίσκοι) Ad explicationem hujus *Scholii* faciunt, quæ in *Textum* notamus.

Οἷά ποτε Τροίηνδε νέων κατέλειπεν Ὀδυσεύς,
Ἀλλὰ κατήκιστα, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
Πρὸς δ' ἔπι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε Δαίμων,
Μήπως οἰνοβαρέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
Ἀλλήλους τρώσητε, καταισχύνητε δὲ δαῖτα,
Καὶ μνηστῦν· αὐτὸς γὰρ ἑφέλκεται ἄνδρα σίδηρος.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί.
Ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν,
Μαῖ', ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας,
Ὄφρα κεν ἐς θάλαμον καταβείομαι ἔντεα πατρὸς
Καλά, τά μοι κτε οἶκον ἀκηδέα καπνὸς ἀμέρδῃ,
Πατρὸς ἀπιχομένοιο· ἐγὼ δ' ἔτι νήπιος ἦα.
Νῶϊ δ' ἐθέλω καθαρέσσαι, ἵν' ὁ πυρὸς ἵξεται ἀϋτμή.
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια,
Αἲ γὰρ δή, τέκνον, ὀπφρασίας ἀνέλοιο,
Οἶκον κήδεσθαι, καὶ κτήματα πάντα φυλάσσειν.
Ἀλλ' ἄγε, τίς τοι ἕπεται μετὰ χερσὶν φάος οἵσει;
Δμῳαὶ δ' οὐκ ἄλλαι προβλωσκέμεν, αἵ κεν ἔφαινον.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ξεῖνος ὅδ'· ὃν γὰρ ἀεργὸν ἀνέξομαι, ὅς κεν ἐμῆς γε
Χοίνικος ἅπτηται, καὶ πηλόθεν εἰληλουθώς.
Ὣς ἄρ' ἐφάνησεν· τῇ δ' ἄπλετος ἔπλετο μῦθος·
Κλῆισεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.

" Qualia quondam ad Trojam proficiscens reliquit Ulysses,
" Sed deformata sunt, quantum ignis pervasit flatus, i.e. *fumus*.
" Adhuc autem mihi & hoc majus in mentibus posuit Saturnius;
" Nè inebriati, contentione inter vos excitatâ,
" Vos vicissim vulneretis, deturpetisque convivium,
" Et sponsalia; ipsum enim attrahit virum ferrum.
Sic dixit; Telemachus verò dilecto obedivit patri:
Extraque vocatam allocutus est nutricem Eurycleam,
" Nutrix, age utique mihi contineas in atriis fœminas,
" Usque dum in thalamum attulero arma patris
" Pulcra, quæ mihi in domo neglecta fumus denigrat,
" Patre absente; ego verò adhuc parvulus eram:
" Nunc autem volo deponere, quò non ignis ibit flatus.
Hunc rursus allocuta est dilecta nutrix Euryclea,
" Utinam enim jam tandem, fili, prudentiam susciperes
" Domum curare, & res omnes servare.
" Sed agè, quæ tibi deindè adsistens lumen portabit?
" Famulas enim non finis exire, quæ præluceant.
Hanc rursus Telemachus prudens contra loquutus est,
" Hospes hic; non enim ociosum tolerabo, qui meum
" Modium, *i.e. cibum*, attingat, etiam si longè venerit.
Sic utique dixit: huic firmum fuit verbum.
Clausit itaque januas domorum benè habitatarum.

Σ Χ Ο Λ Ι Α.

15. Ἐκ δὲ καλεσσάμενος.] Ἔξω δὲ καλέσας.
22. Ἐπιφοσσύνας ἀνέλοιο.] Φροντίσῃς γένῃ.
23. Κηδεσθαι.] Ἐπιμελεῖσθαι.
25. Οὐκ ἄλλαι.] Οὐ συνεχῶς. Προβλωσκέμεν.] Προϊέναι, προερχεσθαι.
27. Ἀεργόν.] Ῥᾴθυμον.
28. Χοίνικος ἅπληται.] Τροφὰς λαμβάνῃ· τὸ, πιστεῦσαι καὶ τὸ πιστεύσαντα, χοῖνιξ. Εἰληλουθώς.] Ἐλθών.
30. Κλῆισεν.] Ἔκλεισεν.

Ν Ο Τ Æ.

13. Αὐτὸς γὰρ ἑφέλκεται ἄνδρα σίδηρος.) De hoc loco diximus, ad π'. v. 294.

16. Ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας) *Eustath.* fol. 679. lin. 12. Ὅτι ἐς πιστὸν αἱ θεραπαιναὶ ὃν Ὀδυσσεὺς ἄπιστοι, ὥστε σὺν ἔχθρᾳ ὁ Τηλέμαχος καθοπλίζει τὸν ὅπλα σὺν ἀσφαλεῖ, εἰ μὴ λάθοι αὐτὰς, τὸ μὴ ἐξεπιτῶν δηλαδὴ τοῖς μνηστῆρσιν· δικαίως ἄρα ὕστερον κλαυσθήσονται.

27. Οὐ γὰρ ἀεργὸν ἀνέξομαι, ὅς κεν ἐμῆς γε Χοίνικος

Ν Ο Τ Æ.

ἅπληται) Hinc illud *Pythagoræ*, Ἐπὶ χοίνικος μὴ καθῆσθαι· ἤγουν, μὴ τρίφειν ἀργόν. *Eustath.* fol. 680. lin. 14. Χοῖνιξ ἡ νῦν, ἡ τροφή· οἷον μοῦ ἡ λίξις· ἐπί τι σκεύους ὃ μετρεῖται, καὶ ὃ μετρεῖν πράγματος· ἵνα ᾖ καὶ ὁ μεδιμνος, ὃ τὸ πάλαι ζυγὸν, καὶ ὁ ξέστης. *Budæus* de Asse, l. 5. & *Otho Gualtperius* in Sylloge, ad Novum Testamentum, p. 444. de *Chœnice*.

30. Κλῆισεν) Ità cum duplici σ'. scribendum, ut & olim, ω'. v. 165. — ἐκλήισεν ὀχῆας, vid. ad π'. v. 15.

Variæ Lectiones.

V. 12. Δὲ) γρ. τέ.
25. Εἴας) γρ. εἰᾷς.
30. Κλῆισεν) γρ. κλήισεν, vid. Not. in *Textum*.

Τὼ

Τὼ δ' ἄρ' ἀναΐξαντ' Ὀδυσεὺς θ' Φαίδιμός τ' υἱὸς
Εἰσφέρεον κόρυθάς τε, θ' ἀσπίδας ὀμφαλοέσσας,
Ἔγχεά τ' ὀξυόεντα· πάροιθε δ' Παλλὰς Ἀθηνὴ,
Χρύσεον λύχνον ἔχουσα, φάος θείοιο καλλὲς ἐποίει.
Δὴ τότε Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα,
Ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
Ἔμπης μοὶ τοῖχοι μεγάρων, καλαί τε μεσόδμαι,
Εἰλάπιναί τε δοκοὶ, θ' κίονες ὑψόσ' ἔχοντες
Φαίνονθ' ὀφθαλμοῖς, ὡσεὶ πυρὸς αἰθομένοιο·
Ἦ μάλα τις Θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσι.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Σίγα, θ' χῇ σὸν νόον ἴσχανε, μήδ' ἐρέεινε·
Αὕτη τοὶ δίκη ἐστὶ Θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
Ἀλλὰ σὺ μὲ καθέλεξαι· ἐγὼ δ' ὑπολείψομαι αὐτῦ,
Ὄφρα κ' ἔπι δμωὰς θ μητέρα σὴν ἐρεθίζω·
Ἡ δέ μ' ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα.
Ὣς φάτο· Τηλέμαχος δὲ δι' ὤκα μεγάροιο βεβήκει
Κείων ἐς θάλαμον, θαλίδων ὑπολαμπομένων,
Ἔνθα πάρος κοιμᾶτ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
Ἔνθ' ἄρα θ τότ' ἔλεκτο, θ ἠῶ δῖαν ἔμιμνεν.
Αὐτὰρ ὁ ὀν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς,
Μνηστῆρσι φόνον σὺν Ἀθηναίῃ μερμηρίζων.
Ἡ δ' ἴεν ὀκ θαλάμοιο θείφρων Πηνελόπεια,

Hi ergò festinantes Ulysses & illustris filius,
Intrò portaverunt galeasque & scuta umbilicosa,
Lanceasque acutas; antè autem Pallas Minerva.
Auream lucernam tenens lumen perpulchrum faciebat.
Jam tunc Telemachus alloquutus est suum patrem statim,
" O pater, certò magnum miraculum hoc oculis video,
" Prorsus mihi parietes domorum pulchraque intercolumnia,
" Abiegnæque trabes, & columnæ sursum arrectæ
" Lucent oculis, tanquam igne ardente:
" Certe omninò aliquis Deus intus eorum, qui cœlum latum habitant.
Hunc respondens allocutus est prudens Ulysses,
" Tace, & in tuo animo retine, neque interroga;
" Hic mos est Deorum, qui Olympum habitant.
" Sed tu quidem cubitum eas; ego verò remanebo hic,
" Ut vel magis famulas & matrem tuam incitem;
" Hæc verò dolens interrogabit circa singula.
Sic dixit: Telemachus itaque ex domo discessit
Dormiturus in cubiculum, lampadibus-lucentibus,
Ubi antea dormiebat, quandò ipsum dulcis somnus capiebat:
Illic igitur & tunc dormivit, & Auroram expectabat.
Ast in domo relictus est divinus Ulysses,
Procis cædem cum Minervâ construens.
Ibat interea ex thalamo prudens Penelope,

Σ Χ Ο Λ Ι Α.

31. Ἀναΐξαντ.] Ἀνορμήσαντες.

32. Εἰσφέρεον.] Εἰσφέρον.

34. Χρύσεον λύχνον.] Τὸν δᾷδα κυρίως· * τὴν δὲ παρ' ἡμῖν καλουμένην λύχνον τὸν ἥρωας χρωμένους ὁ Ποιητὴς οὐκ εἰσάγει, καὶ οὔπω Ἡσίοδος μεμνηται· ὀρθῶς δὲ πεποίηκε τὸν Ἀθηνᾶν, φερόντων ἅπαν, καθαρὸν αὐτὴν παρέχειν τὸ φῶς· καὶ οἰκείως, ἅτε τῆς σοφίας Ἀθηναίοις λυχνίον.

* Ita, pro τὴν, & δὲ, &c.

36. Θαύμα.] Ἔκπληξιν.

37. Μεσόδμαι.] Τὰ μεταξὺ τῶν κιόνων ἀφαιρήματα· οἷς πίτυες ἦσαν ἐπὶ τοὺς τοίχους, τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν.

42. Ἔμιμνεν.] Κάτεχε.

43. Αὕτη τοὶ δίκη ἐστὶ θεῶν.] Οὕτως ὁ τραγῳδὸς, τὸ, ὡς βέλος, φασὶ.

44. Ὑπολείψομαι.] Μενῶ.

N O T Æ.

22. Εἰσφέρεον) Ità pro ἐσφέρεον, paulò enim sonantius, & *Br. Schol.* apertè ità legunt & MS.

40. Ἦ μάλα τις θεὸς ἔνδον) Rectè concluditur, nam *Splendores* magni, *Odores* suavissimi, Musicique *Concentus*, sine causâ aliquâ evidenti, notæ habentur Divinæ Præsentiæ. Vid. ad *Euripid.* Hippolyt. v. 1391.

42. Σίγα, θ κατὰ σὸν νόον ἴσχανε) Simile quid de B. Virgine Matre, D. *Lucas.* c. 2. v. 19. & v. 51.

V A R I Æ L E C T I O N E S.

32. Εἰσφέρεον) γρ. ἐσφέρεον.

38. Ὑψόσ' ἔχοντες) γρ. ὑψοῦ ἔχοντες.

40. Τὶς θεὸς ἔνδον) γρ. τὶς θεῶν ἔνδον, *Stobæus*, *Grotii*, ut sit σωίζουσης.

43. Ὑπολαμπομένων) γρ. δαιδῶν ὑπολαμπομένων, *Schol. Pindari*, ad Olymp. ζ'. & *Henr. Stephan.* fol. 78. lin. ult. *Oxon.* Edit. Vid. ad ψ'. v. 291.

Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσέῃ Ἀφροδίτῃ·
Τῇ ῥα δόμῳ ἐν κλισίῃσι πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἔφιζε,
Δινωτῇσι ἐλέφαντι ἠ ἀργύρῳ· ἦν ποτε τέκτων
Ποίησ' Ἰκμάλιος, ἠ ὑπὸ θρῆνυν ποσὶν ἧκε,
Πρόσφυξ' ἐξ αὐτῆς, ὕπτ' ἐπὶ μέγα βάλλετο κῶας.
Ἔνθα καθέζετ' ἔπειτα θεὰ φρένα Πηνελόπεια.
Ἦλθον δὲ δμῳαὶ λευκώλενοι ἐκ μεγάροιο·
Αἱ δ' ἀπὸ μὲν σῖτον πολλὸν ἤγειραν, ἠδὲ τραπέζας,
Καὶ δέπα, ἔνθεν ἄρ' ἄνδρες ὑφαιμοφόνιες ἔπινον.
Πῦρ δ' ἀπὸ λαμπήνων χαμάδις βάλον· ἄλλα δ' ἐπ' αὐτῶν
Νήησαν ξύλα πολλὰ, φόως ἔμμεν, ἠδὲ θέρεσθαι.
Ἡ δ' Ὀδυσῆι ἐπέπλε Μελανθὼ δεύτερον αὖτις,
Ξεῖν', ἔτι ἠ νῦν ἐνθάδ' ἀνήσεις ἄχρι νύκτα
Δινεύων κατὰ οἶκον; ὀπιπεύσεις δὲ γυναῖκας;
Ἀλλ' ἔξελθε θύραζε, τάλαν, ἠ δαιτὸς ὄνησο·
Ἢ τάχα ἠ δαλῷ βεβλημένος εἶσθα θύραζε.
Τὼ δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς,
Δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεχολημένη θυμῷ;
Ἢ ὅτι ἠ λιπόω; κακὰ δὲ χροῒ εἵματα εἶμαι;

Dianæ similis, vel aureæ Veneri;
Huic apud ignem quidem sedem depoluerunt, ubi utique assidebat,
Circumcirca-ornatam ebore & argento, quam quondam faber
Fecit Icmalius, & sub scabellum pedibus misit,
Aptum ex ipsâ; ubi magna injiciebatur pellis.
Illic sedit tum-temporis prudens Penelope.
Venerunt autem famulæ albæ-ulnis ex domo,
Hæ quidem panem multum asportaverunt & mensas,
Et pocula, unde proci superbi biberant.
Ignem verò à faculis ad terram jecerunt; aliaque supra ipsas
Cumulárunt ligna multa, ad præbendum lumen & calefaciendum.
Aſt Ulyſſem increpuit Melantho secundo rursus,
" Hospes, adhuc & nunc hìc molestus eris per noctem
" Frequentans in domo; observasque mulieres?
" Sed exi foràs, miser, & convivio juvare;
" Vel citò & torre percussus ibis foràs.
Hanc torvè conspicatus allocutus est prudens Ulysses,
" Mala, cur in me sic invehis irato animo?
" Nunquid quòd sordeo? maláque corpori vestimenta sum indutus?

Σ Χ Ο Λ Ι Α.

58. Προσφυία.] Προσαπφυκυῖαι, ἠναιδῶς.
61. Ἥρεσον.] Ἀφῆρεν.
64. Νήησαν.] Ἐσώρευσαν. Θέρεσθαι.] Θέρμην ποιεῖν.
69. Δαλῷ.] Τῇ λαμπάδι.
71. Δαιμονίη.] Θαυμαστὸν * ἐπὶ κακῷ. Ἐπέχεις.] Ἐπέκεισαι.
72. Οὐ λιπόω.] Τῇ πιθανῇ ἠ λιλίπασμαι.

N O T Æ.

54. Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσέῃ Ἀφροδίτῃ) Vid. quæ Nos ad ρ'. v. 37.

56 Δινωτῇσι) *Hesych.* v. Δεινωτὰ, πεποικιλμένα ἐν κύκλῳ· ἢ, πεπριωμένη· ἢ, τὰ ἱμᾶτα διειλημμένη.

58. Ὕπτ' ἐπὶ μέγα βάλλετο κῶας) *Ultima* Ὕ ἐπὶ producitur, in *Cæsurâ*, vi *Toni*, & *Liquidæ*; de quâ re, ad σ'. v. 297. & aliàs.

62. Δέπα') Pro δέπαα, δέπα, *contractum*, ut in aliquibus olim scriptum.

63. Ἀλλὰ δ' ἐπ' αὐτῶν) Cum in *Schreveliana* malè adesset αὐτῆς, emendavi in αὐτῶν auctoritate Editionum *Florentinæ*, *Aldinæ*, *Lovanianæ Rescii*, *Romanæ*, *Basileensis*, *Hervagianæ*, *Stephanianæ*, *Castell. Spondan. Cantabrig.* Oxoniens. &c. refertur autem ad λαμπήνων.

72. Ἢ ὅτι ἠ λιπόω) Ità sanè *Romana*, & *Basileensis*, *Eustathii*, item παρεκβολαὶ, *Hen. Stephanus*, *Castellio*, *Spondanus*, *Schrevelius*, *Cantabrigiensis*, & *Oxoniensis*, *Brevia Scholia* & *Aloysii* MS. at aliæ legunt, Ἢ ὅτι τοὶ ῥυπόω, ut *Florentina*, *Aldina*, *Lovaniana Rescii*, & *Hervagiana*. Eodem recidunt.

NOTÆ IN SCHOLIA.

71. * Ἐπὶ κακῷ) Adduntur, ἐκ τῶν Παλαιῶν, & ex *Aloysii* MS. Vid. *Eustath.* in Perieg. v. 680.

Variæ Lectiones.

54. Ἠδὲ) γρ. ἠὲ, vid. N. in *Textum*. *Ibid.* Χρυσέῃ) γρ. χρυσῇ.
55. Ἔνθ' ἄρ' ἔφιζε) γρ. ἐνθάδ' ἔφιζε. *H. Steph.*
56. Δινωτῇσι) γρ. δεινωτῇσι, *Hesych.* Vid. N. in *Text.*
62. Δέπα') γρ. δέπαα, olim, ut in N. ad *Textum*.
67. Ὀπιπεύσεις) γρ. ὀπιπεύσεις.
72. Ἢ ὅτι ἠ λιπόω) γρ. ἢ ὅτι τοὶ ῥυπόω, vid. Not. in *Textum*.

Πτωχὸς

Πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.
Τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασι.
Καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
Ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ
Τοίῳ, ὁποῖός ἔοι, καὶ ὅτῳ κεχρημένος ἔλθοι.
Ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
Οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
Ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων· ἤθελε γάρ πω.
Τῷ νῦν μή ποτε καὶ σὺ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσῃς
Ἀγλαΐην, τῇ νῦν γε μετ' δμῳῇσι κέκασσαι,
Μή πως τοὶ δέσποινα κολεσσαμένη χαλεπήνῃ,
Ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
Εἰ δ' ὁ μὲν ὡς ἀπόλωλε, καὶ ὀψέπ νόστιμος ἔσται,
Ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἔκηλε
Τηλέμαχος· τὸν δ' οὔτις ἀνὶ μεγάροισι γυναικῶν
Λήθῃ ἀταθάλλουσ'· ἐπεὶ ὀψέπ τηλίκος ἐστίν.
Ὣς φάτο· τὴ δ' ἤκουσε περίφρων Πηνελόπεια·
Ἀμφίπολον δ' ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
Πάντως, θαρσαλέη, κύον ἀδδέες, οὔπ μὲ λήθεις
Ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις.
Πάντα γὰρ εὖ ἤδηθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς,

" Mendico etiam in populo? Neceſſitas enim urget.
" Tales pauperes & erratores viri ſunt.
" Etenim ego quondam domum inter homines habitavi
" Beatus divitem, & ſæpè dedi erroni
" Tali, qualis eſſet, & quacunque re indigens veniret.
" Erant mihi verò ſervi valdè multi, aliaque multa,
" Quibus benè vivunt, & divites vocantur.
" Sed Jupiter diſſipavit Saturnius; voluit enim utique.
" Ideo nunc nè aliquando & tu, mulier, omnem perdas
" Pulchritudinem, quâ nunc inter ancillas ornata es;
" Nè tibi aliquo modo domina irata ſæviat,
" Vel Ulyſſes veniat; adhuc enim & ſpei fatum.
" Sin hic quidem omnino periit, & non ampliùs rediturus eſt,
" Nihilominus jam filius talis Apollinis ope
" Telemachus; quem nulla in domibus mulierum
" Latet, quæ perperam agat; quoniam non ampliùs infra ætatem eſt.
Sic dixit; hunc vero audivit prudens Penelope,
Ancillamque allocuta eſt, verbumque dixit, denominavitque,
" Omninò, audax, canis intrepida, non me iates
" Perpetrans magnum factum, quod tuo capite periues.
" Cuncta enim benè ſcis, quoniam a me audiviſti ipsâ,

ΣΧΟΛΙΑ.

76. * Δόσκον.] Ἐδίδουν.
85. Νόστιμος.] Ἀνακομιδῆναι δυνάμενος.
86. Ἀπόλλωνός γε ἔκηλε.] * Κεχορηγῆσθαι γὰρ ὁ θεός. * Vid. ad XLV. v. 1.
88. Ἀπαθάλλουσα.] Ὑβρίζουσα.
91. * Ἀδδέες.] Ἀπρεπεῖς.
92. Ἔρδουσα.] Περάτωσα. Σῇ κεφαλῇ ἀναμάξεις.] Πάντως ἑαυτῇ ἐπιφέρεις· ἢ ἀναλήψεις.
93. Ἤδηθα.] Ἤδεις, ἐπίστασο.

NOTÆ.

73. Ἀναγκαίη γὰρ ἔπειγε) Hinc illud *Pythagoræ*, Aur. Carm. Δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει. In quem locum videſis *Hieroclem*, & *Duportum*, Gnomologum, in hunc locum.

76. Πολλάκι δόσκον ἀλήτῃ) Vid. *Ariſtotel.* Nicomach. l. 4. c. 4. Ità notat *Iſaac. Caſaubon.* in Codice olim ſuo, nunc Epiſcopi *Elienſis*, *Mori*.

86. Παῖς τοῖος Ἀπόλλωνός γε ἔκηλε) Quoniam *Juvenes* Viros immaturè morientes *Apollo* diceretur tollere, *Puellas Diana*; è contrà cùm *Juvenes* florerent & auctiores fierent, Ἀπόλλωνος ἔκηλε, dicitur id factum: Hinc Ἀπόλλων καὶ Ἄρτεμις κουροτρόφοι. Vid. *Br. Schol.* huc annexa, & ad υ'. v. 71.

92. Ἔρδουσα μέγα ἔργον) *Ultima* & ἔρδουσα producitur, in *Ceſurâ*, & ante *Liquidam*; ut ad σ'. v. 297. *Ibid.* Ὃ σῇ κεφαλῇ ἀναμάξεις) Ità infrà, χ'. v. 217. ——σοὶ δὴ αὐτῇ κεφαλῇ πόνος.

93. Πάντα γὰρ εὖ ἤδηθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς) Quoniam in hoc Verſu Editio *Florentina* malè ſe habuit, *viz.* ità, Πάντα γὰρ εὖ ἤδηθα, ἐπεὶ πανυπερ-

NOTÆ IN SCHOLIA.

76. * Δόσκον) Ἐδίδουν, & hoc ex *Aloyſii* MSto.
91. * Ἀδδέες) Ἀζηρεῖς. Ἐκ τῶν Παλαιῶν, & ex *Aloyſii* MSto.

VARIÆ LECTIONES.

93. Ἤδηθ') γρ. ἤδηθα, vid. Not. in *Textum*.

Ὣς

Ὡς τ' ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν
Ἀμφὶ πόσι εἴρεσθαι· ἐπεὶ πυκινῶς ἀκάχημαι.
Ἦ ῥα, καὶ Εὐρυνόμοιο θαμὶν ἐπὶ πρὸς μῦθον ἔειπεν,
Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἔπ' αὐτῷ,
Ὄφρα καθεζόμενος εἴπῃ ἔπος, ἠδ' ἐπακούσῃ
Ὁ ξεῖνος· ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι.
Ὡς ἔφατ'· ἡ δ' ἅμα' ὀρμαλέως κατέθηκε φέρουσα
Δίφρον εὐξέστον, καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλεν·
Ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια,
Ξεῖνε, τὸ μὲν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ὦ γύναι, οὐκ ἄν τις σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
Νεικέοι· ἡ γάρ σου κλέος οὐρανὸν εὐρὺν ἰκάνει·
Ὡς τε θεοῦ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεσπεσίης
Ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων,
Εὐδικίας ἀνέχησι· φέρῃσι δὲ γαῖα μέλαινα
Πυρούς, καὶ κριθάς, βρίθῃσι δὲ δένδρεα καρπῷ·
Τίκτῃ δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχῃ ἰχθῦς
Ἐξ εὐηγεσίης· ἐρατῶσι δὲ λαοὶ ὑπ' αὐτῷ.
Τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μεταλλᾶ σῷ ἐνὶ οἴκῳ·
Μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,

" Quòd hospitem eram in domibus meis
" De marito interrogatura; quoniam frequenter tristor.
Dixit, & Eurynomen promam condim verbo allocuta est,
" Eurynome, porta jam sedem, & pellem in ipsâ,
" Ut sedens dicat verbum, & audiat
" Hospes ex me; volo enim ipsum interrogare.
Sic dixit; hæc valdè festinanter deposuit portans
Sedem bene-politam, & in ipsâm pellem jecit:
Illic sedit postea laboriosus divinus Ulysses.
Illis autem verba cœpit prudens Penelope,
" Hospes, hoc quidem te primùm ego interrogabo ipsa,
" Quis? unde es virorum? ubi tibi civitas & parentes?
Hanc respondens allocutus est prudens Ulysses,
" O mulier, non aliquis tecum hominum in infinitâ terrâ
" Contendat; certè enim tua gloria ad cœlum latum pervenit:
" Sicut alicujus etiam regis inculpati; qui Deum-colens
" Viris in multis & fortibus regnans,
" Jura distribuat; feratque terra nigra
" Triticæ & hordea, graventurque arbores fructu;
" Pariuntque firma pecora, mare quoque præbet pisces,
" Ex rectâ-administratione: fœliciterque degunt populi sub ipso.
" Ideò me nunc quidem alia inquire tuâ in domo;
" Nè verò meum interroga genus & patriam terram,

Σ Χ Ο Λ Ι Α.

95. Πυκινῶς.] Ἀντὶ τοῦ, πύκνα.
108. Νεικέοι.] Καθηλοιδόρη.
111. Εὐδικίας.] Δικαιοσύνας. Ἀνέχῃσι.] Ἄνω ἔχῃ. αὔξει.
112. Βρίθῃσι.] Πεπλήρωται.
114. Εὐηγεσίης.] Τῆς εὐδαιμονίας· ἢ τῆς εὐαρχίας, παρὰ τὸ εὖ ἡγεῖσθαι· κακῶς δ' οἱ σὺν τῷ ρ γεγράφοιντες, εὐιρρησίης. Ἀρεσπῶσιν.] Ἐν ἀρετῇ καὶ εὐδαιμονίᾳ διάγουσιν.

N O T Æ.

ἀκάχημαι, quod ultimum *Hemistichium*, ex v. 95. ortum, Ἀμφὶ πόσει εἰρέσθαι· ἐπὶ πυκινῶς ἀκάχημαι. Error illius Editionis, quo ἤδηθ' scriberetur suis omnibus literis, per omnes libros, exceptis mox excipiendis, propagatus. At omninò ἤδεώ hìc legendum Versûs causâ; quod monet *Isaac. Casaubon.* in Codice Episcopi *Elienſis*, *Mori.* Et *Romana* quidem Editio, & *Basileenſis Euſtathii*, apertè legunt ἤδεώ, ut & *Oxonienſis*.

113. Παρέχῃ) Prior Syllaba Παρέχῃ producitur, quòd ρ. fit Litera ἀναπλάσεως capax, & *Aſperum* in se habeat, sic *Iliad.* ξ'. v. 62. Αἶσιμα παρειπών. Sic η'. v. 121. idem χ'. v. 792. ο'. v. 404. &c. Idem fit in voce παρά, Ἀχαιῶν, & similibus, quas cum gemino ρ. Poetæ so ent efferre, *Plato* legit, πολιτικῶν. l. 2. fol. 363. Τίκτῃ & παρέχῃ, ut βρίθῃ, &c.

Variæ Lectiones.

113. Τίκτει — παρέχει) γρ. τίκτῃ — παρέχῃ, *Plato*, ut Not. in *Textum*.
114. Εὐηγεσίης) γρ. εὐερρεσίης, *Br. Schol.*

Μή

Μή μοι μᾶλλον θυμὸν ἐνιπλήσῃς ὀδυνάων
Μνησαμένῳ· μάλα δ' εἰμὶ πολύφρονος· οὐδέ π μὲ λῷον
Οἴκῳ ἐν ἀλλοτρίῳ γοόωντά τε, μυρομένην τε,
Ἧσθαι· ἐπεὶ κάκιον πενθήμονα δηρὸν ἀείρειν.
Μή πως μοὶ δμωαὶ νεμεσήσετον, ἠέ σύ γ' αὐτή·
Φῆ δὲ δακρυπλώειν βεβαρηότα μὲ φρένας οἴνῳ.
Τόνδ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
Ξεῖν', ἦτοι μὲν ἐμοὶ ἀρετὴν, εἶδός τε, δέμας τε,
Ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι· μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
Εἰ κεῖνός γ' ἐλθὼν τὰ ἐμὸν βίον ἀμφιπολεύοι,
Μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον ἔπος·
Νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέκλωσεν κακὰ δαίμων·
Ὅσσοι γὰρ νήσοισιν ἐπικραιαίουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
Οἵ τ' αὐτὴν Ἰθάκην δυδείελον ἀμφινέμονται,
Τοί μ' ἀέκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
Τῷ οὔτε ξείνων ἐμπάζομαι, οὐδ' ἱκετάων,
Οὔτε τι κηρύκων, οἱ δημιοεργοὶ ἔασιν·
Ἀλλ' Ὀδυσῆα ποθέουσα, φίλον κατατήκομαι ἦτορ.
Οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω·
Φάρεϊ μοι πρῶτον κεφάλωσε θεὸς Δαίμων
Στησαμένῃ μέγαν ἱστὸν, καὶ μεγάροισιν ὑφαίνειν,

" Nè mihi magis animum impleas doloribus
" Recordanti: valdè enim sum suspiriosus; neque aliquid me decet
" Domo in alienâ lugentemque flentemque
" Sedere; quoniam pejus lugere valdè semper.
" Nè aliqua mihi ancillarum irascatur, vel ipsa tu ipsa;
" Dicatque lacrymas spargere gravatum me mentibus vino.
Huic respondit statim prudens Penelope,
" Hospes, certè quidem meam virtutem, speciemque, corpusque,
" Perdiderunt immortales, quandò ad Ilium conscenderunt
" Argivi; cum his quoque meus maritus ivit Ulysses.
" Si ille redux hanc meam vitam gubernaret,
" Major gloria esset mea, & melius sic *esset mihi*:
" Nunc autem doleo; tot enim mihi destinavit mala sinistrum numen.
" Quicunque enim insulis dominantur optimi,
" Dulichioque, Samæque, & sylvosæ Zacyntho,
" Quique ipsam Ithacam temperatam incolunt,
" Hi me nolentem petunt uxorem, conterunturque domum.
" Ideò neque hospites curo, neque supplices,
" Neque præcones, qui publicè operam suam navant:
" Sed Ulyssem desiderans dilecto contabesco animo,
" Hi tamen nuptias festinant: ego verò dolos adorno;
" Vestem quidem mihi primùm inspiravit mentibus Deus
" Statuenti magnam telam in domibus texere,

ΣΧΟΛΙΑ.

121. Νεμεσήσεται.] Μέμψεται.
122. Δακρυπλώειν.] Δακρύων πλησθύειν.
127. Τὸν ἐμὸν βίον ἀμφιπολεύοι.] Τὰ ἐμὰ βόα θεραπεύοιτο.
133. Ἀεκαζομένην.] Ἄκουσαν, μὴ βουλομένην.
137. Τολυπεύω.] Κατειργάζομαι, μηχανῶμαι.

NOTÆ.

122. Φῆ δ' δακρυπλώειν) Inter *Var. Lect.* habes aliam hujus Versûs longè diversam Lectionem, ex *Aristotele*, Problem. §. 30. fol. 816. undè colligas, illum Sensum tantùm respexisse, vel aliam Editionem secutum.

124. Ξεῖν', ἦτοι μὲν ἐμοὶ ἀρετὴν) Toti sex abhinc Versus ab eâdem *Penelopâ* suprà dicti, σ'. v. 250. Εὐρύμαχ', ἦτοι ἐμοὶ ἀρετὴν, κλ.

128. Μεῖζόν κε κλέος) Vid. ad σ'. v. 254.

133. Τοί μ' ἀέκαζομένην) Ità pro οἵ μ', lego hìc τί μ', quòd *Homero* sit familiare, post οἵ, inferre τί, ut οἵ, sit pro *qui*, τί, pro ἕτι, *hi*. Ità infrà, v. 565. & 567.

139. Στησαμένῃ μέγαν ἱστὸν) Hic locus, per Novem totos Versûs, extat suprà, β'. v. 94. &c. item infrà, ω'. v. 128. Ità *Iliad.* β'. v. 110. ad v. 112. & *Iliad.* ι'. v. 17. ad v. 27. *Archaismum* redolet.

VARIÆ LECTIONES.

122. Φῆ δ' δακρυπλώειν βεβαρηότα μὲ φρένας οἴνῳ) γρ. Καὶ τύ μοι φῆσι δακρυπλόειν βεβαρημένον οἴνῳ. *Aristot.* vid. Not. in *Textum*. *Ibid.* Δακρυπλώειν) γρ. δάκρυ πλώειν. *H. Steph.*
126. Τοῖσι δ' ἐμὸς) γρ. τοῖς ἦ ἐμὲς, *H. Steph.*
128. Μεῖζόν κε κλέος) γρ. μεῖζόν κεν κλέος.
129. Ἐπέκλωσεν) γρ. ἐπέκλωσε, *H. Steph.*
133. Τοί) γρ. οἱ, vid. in *Textum*.

Δεσπίνα

Λεπτὸν καὶ εὐρύμετρον· ἄφαρ δ' αὐτοῖς μετέφατον,
Κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
Μίμνετ' ἐπειγόμενοι τὸ ἐμὸν γάμον· εἰσόκε φᾶρος
Ἐκτελέσω, μή μοι μεταμώλια νήματ' ὄληται,
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰσότε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλῃσι ταναηλεγέος θανάτοιο·
Μή πῃ μοὶ κτ' δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
Αἴ κεν ἄτερ σπείρου κεῖται, πολλὰ κλεαπίσας.
Ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγλαΐηφι.
Ἔνθα κὲν ἡματίη μὲν ὑφαίνεσκον μέγαν ἱστὸν,
Νύκτας δ' ἀλλύεσκον, ἐπὴν δαΐδας παραθείμην.
Ὣς τρίετες μὲν ἔληθον ἐγὼ, καὶ ἔπειθον Ἀχαιούς·
Ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
Μηνῶν φθινόντων, πολλοὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
Καὶ τότε δή μευ, δμῳὰς, κυνὸς οὐκ ἀλεγούσας,
Εἷλον ἐπελθόντες, καὶ ὁμοκλήσαντ' ἐπέεσσιν.
Ὣς τὸ μὲν ἐξετέλεσα καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης·
Νῦν δ' οὔτ' ἐκφυγέειν δύναμαι γάμον, οὔτε τιν' ἄλλην
Μῆτιν ἐφευρίσκω· μάλα δ' ὀτρύνουσι τοκῆες
Γήμασθ'· ἀχαλάα δὲ παῖς βίοτον κατεδύντων,
Γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
Οἶκον κήδεσθαι, τῷ τε Ζεὺς κῦδος ὀτάζῃ.
Ἀλλὰ καὶ ὥς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
Οὐ γὰρ ἀπὸ δρυὸς ἐσσι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης.

" Tenuem & immensam: statim igitur inter illos dixi,
" Juvenes, mei proci, quoniam mortuus est divinus Ulysses,
" Expectate festinantes has meas nuptias, donec vestem
" Perficiam, nè mihi vana fila pereant,
" Laertæ heroi funebrem, *in tempus* quando ipsum
" Parca perniciosa capiet in-longum-extendentis *homines* mortis:
" Nè aliqua mihi in populo Græcarum indignetur,
" Si sine veste jaceat, multa qui possederit.
" Sic dixi; his autem persuasus est animus superbus.
" Tunc interdiu quidem texebam magnum telam,
" Noctes verò resolvebam, postquam lampades apponebam.
" Sic triennium quidem latui ego, & persuasi Achivis, i. e. *Procis*:
" Sed quando quartus venit annus, & venerunt horæ
" Mensibus desinentibus, & in orbem dies multi perfecti,
" Et tunc me, propter famulas canes non curantes,
" Ceperunt ingredientes, & minari sunt verbis.
" Sic hanc telam perfeci, & non volens necessitate.
" Nunc igitur neque effugere possum nuptias; neque aliquod aliud
" Consilium invenio; valde enim hortantur parentes
" Nubere, & ægrè-ferat filius facultates *illos* dilapidare,
" Cognoscens: jamdudum enim Vir *est* maximè habilis
" Ad domum curandam, cuique Jupiter gloriam præbet.
" Sed & sic mihi dic tuum genus, unde sis?
" Non enim à quercu es antiquâ, neque a petrâ.

Σ Χ Ο Λ Ι Α.

150. Ἀλλύεσκον.] Ἀνέλυον.
153. Ἐτελέσθη.] Ἐτελειώθη, ἐπερράχθη.
154. Οὐκ ἀλεγούσας.] Φροντίδα μὴ ποιεμένας.
155. Ὁμοκλήσαντ'.] Ὁμοῦ πάντες ἐπέπληξαν.
161. Ὀπάζῃ.] Παρέχῃ.
163. Παλαιφάτου.] Παλαιᾶ φατῆς ὁμῶς, ἀπὸ τῆς παλαιᾶς μυθεύεται· οἱ γὰρ παλαιοὶ ἐπελάμβανον τὰς ἀπὸ ἑαυτῶν ἐκ δρυῶν καὶ πετρῶν γενέσεις, ἀφ' τὸ

Ν Ο Τ Æ.

141. Κοῦροι ἐμοὶ μνηστῆρες) Idem locus suprà, β'. v. 96.
151. Ἀχαιὰς) Ἀντὶ Ε, μνηστῆρας, ut, σ'. v. 190. &c.
160. Οἷός τε μάλιστα) Hæc Vera *Lectio*, οἷός τε μάλιστα· Ὅς καὶ πάντα δυνατός ἐστιν οἶκον κήδεσθαι.
163. Οὐ γὰρ ἀπὸ δρυὸς ἐσσι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης) Huc omninò refer *Duporti* Gnomolog. in Quare cavendum, nequis *Lectionem Henrici Stephani* admittat, οἷός π, μίγας τὶ, errore ex alio loco orto, ἡὺς τε, μίγας τέ

Variæ Lectiones.

143. Μεταμώλια) γρ. μεταμώνια, *H. Steph.* Vid. σ'. v. 331. & v. 391.
144. Εἰσότ') γρ. εἰς ὅτε, vid. ad β'. v. 99.
160. Οἷός τε μάλιστα) γρ. οἷός τε, μίγας τὶ, *H. Steph.* Vid. Not. in *Textum*.
161. Κῆδος) γρ. ὅλον. *H. Steph.*
163. Παλαιφάτου) γρ. παλαιφάγου, παλαιφύτου, vid. Not. in *Textum*.

Τὼ δ'

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
" Hanc respondens alloquutus est prudens Ulysses,
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
" O uxor venerabilis Laërtiadæ Ulyssis,
Οὐκ ἔτ' ἀπολλήξεις τ' ἐμὸν γόνον ἐξερέουσα,
" Non ampliùs cessabis meum genus interrogare?
Ἀλλ' ἔκ τοι ἐρέω· ἦ μὰν μᾶλλόν γε δώσεις
" Verùm agè tibi dicam; certè quidem me doloribus dabis
Πλείοσιν, ἢ ἔχομαι· ἦ γὰρ δίκη, ὁππότε πάτρης
" Pluribus, quàm teneor: nempe hic mos, quandò à patriâ
Ἧς ἀπέησιν ἀνὴρ τόσσον χρόνον, ὅσσον ἐγὼ νῦν,
" Suâ abest vir tanto tempore, quanto ego nunc,
Πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἄλγεα πάσχων·
" Multas hominum ad civitates errans, dolores patiens:
Ἀλλὰ καὶ ὣς ἐρέω, ὅ μ' ἀνείρεαι, ἠδὲ μεταλλᾷς.
" Sed & sic dicam, quodcunque me interrogas, & inquiris.
Κρήτη τίς γαῖ' ἐστὶ, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
" Creta quædam terra est, medio in nigro ponto,
Καλὴ, καὶ πίειρα, περίῤῥυτος· ἐν δ' ἄνθρωποι
" Pulchra, & pinguis, circumfluа; in hâc autem homines
Πολλοὶ, ἀπειρέσιοι καὶ ἐννήκοντα πόληες.
" Multi infiniti, & nonaginta civitates.
Ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοὶ,
" Alia autem aliorum lingua mixta: in ipsâ quidem Achivi,
Ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
" In eâ Indigenæ-Cretenses magnanimi, in eâ Cydones,
Δωριέες τε τριχάϊκες, δῖοί τε Πελασγοί.
" Dorienseſque triplicitèr-diviſi, divinique Pelaſgi.

ΣΧΟΛΙΑ.

τὰς πτυόσας εἰς τὸ πλέκειν ἢ σπλῆναι σύμβασιν τοῦ παιδίου· ἔστι δὲ ὁ λόγος, ἐὰν ἀφ' ἧς ἐκείνων εἶ σύ· * εἰς πηδαλιὸν δὲ τὰς πάλας ἀνθρώπους ἐν τοῖς ἱερημίαις τῶν μίξεις ποιεῖσθαι πλησίον δρυῶν καὶ πιτυῶν· πῶς δὲ παλαιφάτου, ἐπειδὴ οἱ παλαιοὶ ἐκάλουν φάτνην· παρὰ τοῦτο καὶ φηγὸς, ὡς φαγὸς τις ὤσπερ.

166. Ἀπολλήξεις.] Ἀποπαύσῃ.

167. Ἀχέοιτο.] Λύπας. Δώσεις.] Ἐμβαλεῖς.

169. Ἀπίῃσιν.] Ἄπεισιν.

173. Πίειρα.] Λιπαρά. Περίῤῥυτος.] Ὑδρηλή.

174. Πολλοὶ ἀπειρέσιοι.] Ἐπλώνυκε τὸ πολλοί, τὸ ἀπειρέσιοι, αὐξήσεως ἕνεκεν. Ἐννήκοντα πόληες.] Ἐν Ἰλιάδι ἑκατόμπολιν τὴν Κρήτην λέγει, ἐκ ἐπισημότερον

ἑκατὸν πόλεις ἔχουσαν, ἀλλὰ ἀντὶ τοῦ, πολλάς. Ἔνιοι δὲ φασὶν, Ἰδομενέα, καθὼς τὸν ἐξ Ἰλίου ἀναπλεύσαντα, ἀποκαταστάντα τῆς Κρήτης * ὑπὸ Λύκου, ὃν ἦτον ὅτε παῖδα, φυλακὴν τῆς βασιλείας, δύο πόλεις πορθῆσαι· μετὰ δὲ τὰ * Τρωϊκὰ αἱ δύο πόλεις * ᾠκίσθησαν.

175. Ἄλλη δ' ἄλλων γλῶσσα.] Περιφερόμενον, ἵνα μή τις αὐτὸν ἐλέγξῃ, ἀφ' τὸ μὴ χρήσασθαι τῇ ἀφελότητι αὐτῶν. Ἐν μὲν Ἀχαιοί.] Μετὰ τὴν Ἰλιακὴν Ταλθύβιος ἐκ Μυκηνῶν ἤγαγε λαοπλοίαν.

176. Ἐτεόκρητες.] Οἱ αὐτόχθονες Κρῆτες· ἢ οἱ Ἰαπυγιοῦς.

177. Τριχάϊκες.] Τριχῆ ἀφωρισμένοι· οἱ μὲν γὰρ Εὐβοίαν κατῴκησαν· οἱ δὲ Πελοπόννησον· οἱ δὲ Κρήτην.

NOTÆ.

locum; qui dicit παροιμιωδῶς dictum pro, ὁ δυσμενὴς καὶ ἀνώνυμος. Confer *Etymolog.* M. v. Παλαιφάτη, *Hesych.* v. Οὐδ' ἀπὸ παλαιφάτου δρυὸς, & *Br. Schol.* Legitur & παλαιφότη eidem *Hesychio*, & παλαιφάγη, *H. Stephanus*, ex *Eustathio*, *Hesych. Br. Schol. Seber.* &c.

173. Καλὴ καὶ πίειρα.) Hinc *Theocrit.* Helen. *Epithalam.* v. 29. Πίειρα, μεγάλα.

177. Τριχάϊκες.) *Etymolog.* M. v. Οἱ σωμικῶς κινοῦντες τὸ τοῖς πολίμοις τοὺς καθ' ὁδὸν τρίχας· τοιοῦτο καὶ τὸ κορυθαίολος. Ἕκτωρ· Ἡσίοδος δὲ ἀφ' τὸ τριχῆ

NOTÆ IN SCHOLIA.

163. * Εἰς πηδαλιὸν) Τὸ εἰς tollendum puto, quòd ex vocibus præcedentibus εἶ σὺ, malè fictum fuerit.

174. * Ὑπὸ λεύκῳ * ὅτε παῖδα) *Hiatum* hunc, quem ex *Aloysii* MSto omnes pòst Editiones sumpserunt, supplevimus, ὑπὸ Λεύκου, ὃν ἦτον ὄντα παῖδα, ex *Eustathio*, fol. 689. lin. 50. Ἐννηκοντάπολις δὲ νῦν Κρήτη, ἡ δὲ Ἰλιάδι ἑκατόμπολις, καθὼς εἰρήκεσαν· ἀναπλωθῆναι γάρ φασι δύο πόλεις ὑπὸ Ἰδομενέως ἀποικισθέντος ἐξ Ἰλίου· ὅτε Λεύκου αὐτὸν ἀπέλαυνεν·

ὃν δὲ ἦτον ὄντα παῖδα, φύλακα τῆς βασιλείας κατέλιπε, δράκοντος θρεπτὸν, ὡς ὁ * Λυκόφρων φησί. Τὰς δὲ τοιαύτας δύο πόλεις * ᾠκίσθαι φασὶ ὕστερον, μετὰ τὰ * Τρωϊκά. Ex quibus voculis ᾠκίσθαι & Τρωϊκὰ, *Scholion* hoc insuper emendandum, legendo Τρωϊκὰ, pro * ἡρωϊκὰ, & ᾠκίσθαι, pro * ᾠκίσθησαν. * *Lycophronis* locus, v. 1223. vid. *Scholiasten* ibidem, & confer hæc *Br. Schol.* cum iis ad *Iliad.* β'. v. 649.

177. Τριχάϊκες) Hoc in *Scholio* * εἰς τὸ infero

VARIÆ LECTIONES.

166. Ἀπολλήξεις) γρ. ἀπολλήξεις, *H. Steph.* Vid. ad σ'. v. 361.

